13. Θεόκριτος] Theocr. 6, 20: τῷ δ' ἐπι Δαμοίτας ἀνεβάλλετο καλὸν ἀείδειν. 14. Ἀφθόνιος] Aphthon. Progymn. c. 1 in Rhet. Gr. vol. 1 p. 60, 6. οἱ δὲ] οἱ μὲν Aphthonius.

σύντονον. καὶ ἀναβάλλεται ἀντὶ τοῦ ἀναδέχεται καὶ ὑπομένει. Ἡρόδοτος· ἀλλὰ περὶ μὲν χώρης ἄρα οὐ πολλῆς οὐδὲ οὕτω χρηστῆς καὶ οὔρων σμικρῶν χρεών ἐστιν ἡμᾶς μάχας ἀναβάλλεσθαι πρός τε Μεσσηνίους.

14. ἀποποιεῖται ἀντὶ τοῦ ἀρνεῖται. Μάξιμος· καὶ τὰ μὲν ἄλλα ἅπαντα ἀποποιεῖται εἰδέναι.

15. ἀνασπᾷ τὰς ὀφρῦς ἀντὶ τοῦ ἀλαζονεύεται. Χρυσόστομος· ἵνα, κἂν μυριάκις τὰς ὀφρῦς ἀνασπάσωμεν, καταστελλώμεθα. καὶ ἀνασπᾷ ἀντὶ τοῦ ἀνιμᾶται. Ἰώσηπος· ἐκ τοῦ φρέατος ἀνέσπασαν ὕδωρ.

16. ἄκριτος ὁ μὴ κριθείς. καὶ ἄκριτος ὁ ἀδιάκριτος παρὰ Δημοσθένει ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

17. ἀναβάλλει ἐνεργητικῶς ἀντὶ τοῦ ἀναβολὰς καθίστησι. Δημοσθένης ἐν προοιμίοις· δεηθεὶς ὑμῶν μὴ θορυβῆσαι μηδ' ἀναβάλλειν ποιῆσαί με καὶ χρόνον ἐμποιεῖν.

18. ἄνθη λέγουσιν οἱ Ἀττικοὶ ὡς βλάστη. Συνέσιος· τὸ δὲ δὴ παιδαρίοις ἐπιτρέπειν τὴν ἄνθην τῆς κόμης.

---

1. Ἡρόδοτος] Herodot. V, 49, 8. 2. μὲν om. ed. pr. contra codicis fidem. 3. χρεών ἐστιν ἡμᾶς] χρεών ἐστι ὑμέας recte in Herodoto editur. 5. Μάξιμος] Maximus Tyr. XXIV, 4 vol. 1 p. 462. 9. Ἰώσηπος] Iosephus Ant. II, 11, 2 vol. 1 p. 109, 31. ceterum Ἰώσηπ ed. pr., non codex. 11. 12. cf. Harpocr. p. 10, 1: ἄκριτος ἀντὶ τοῦ ἀδιάκριτος Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. similiter Suidas v. ἄκριτος et Zon. Lex. p. 100, qui orationis titulum omittunt.

11. Δημοσθένει] Dem. 18, 18: ἀλλά τις ἦν ἄκριτος καὶ παρὰ τούτοις καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἔρις καὶ ταραχή. 13. 14. cf. Harpocr. p. 16, 15: ἀναβάλλει ἀντὶ τοῦ εἰς ἀναβολὰς καθίστησι καὶ οἱονεὶ ἀναβάλλεται Δημοσθένης Φιλιππικοῖς. 13. ἀναβολὰς] εἰς ἀναβολὰς recte Harpocr. et Suidas v. ἀναβάλλειν. 14. Δημοσθένης ἐν προοιμίοις] Demosth. Prooem. 21 p. 1432 R. 15. ἀναβάλλειν] minus recte ἀναβαλεῖν vel ἀναλαβεῖν plerique Demosthenis libri. ποιῆσαι με cod., ποιῆσαί με ed. pr., νομίσαι με Demosth. 16. Συνέσιος] Synes. Calv. enc. c. 6 p. 69 B. 17. παιδαρίοις] παιδαρίοις μὲν Synes.

19. ἀπήρχοντο ἀντὶ τοῦ προκατῆρχον. Θεολόγος· ἧς αὐτὸς ἀπήρξατο. καὶ ἀπήρχοντο ἀντὶ τοῦ ἀπαρχὰς ἐποίουν. Λιβάνιος· ἤδη τινὲς τῶν παλαιῶν καὶ δρυῶν καὶ κόμης ἀπήρχοντο.

20. ἀνάκρισις ἐξέτασις ὑφ' ἑκάστης ἀρχῆς γινομένη πρὸ τῶν δικῶν περὶ τῶν συντεινόντων εἰς τὸν ἀγῶνα, εἰ ὅλως εἰσάγειν χρή.

21. ἀναμετροῦνται ἀντὶ τοῦ ὑφίστανται. Λιβάνιος· οἱ τὴν θάλατταν τολμῶντες οὐ μικροῦ κέρδους ἕνεκα ἀναμετροῦνται κινδύνους. πληθυντικῶς δὲ λέγεται.

22. ἄγει ἀντὶ τοῦ πανηγυρίζει. Ἀριστοφάνης· ἄγουσιν οὖν τὸν Ἴακχον ὅνπερ ὁ Διαγόρας. καὶ ἄγει ἀντὶ τοῦ ἡγεῖται. Ἀριστείδης· εἰκότως ἂν οὐ περίεργος νομιζοίμην ἐν πατρίδος μοίρᾳ τὴν πόλιν ὑμῶν ἄγων. καὶ ἄγω ἀντὶ τοῦ ἔχω, ὡς τὸ οὐκ ἄγω σχολήν. καὶ ἀντὶ τοῦ κομίζω. καὶ ἀντὶ τοῦ παιδαγωγῶ, ὅθεν καὶ ἀγωγή. Θεολόγος· τοὺς μὲν γὰρ ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγμασι. καὶ ἀντὶ τοῦ συντρίβω, ὅθεν καὶ κατεαγώς· ἔχει δὲ τὴν δύναμιν τοῦτο ἀπὸ τῆς προθέσεως.

23. ἀπαράκλητος ὁ μὴ παρακληθῆναι δυνάμενος. καὶ ἀπα-

---

1. θεολόγος] Greg. Naz. Orat. XL p. 638 A. 2. Λιβάνιος] Liban. Decl. vol. 4 p. 664, 19. καὶ δρυῶν καὶ κόμης] καὶ δρυῶν κόμαις Liban., ubi κα. δρυῶν κόμης scribendum videtur. 4. 5. cf. Harpocr. p. 18, 1 et Suidas v. ἀνάκρισις. 5. εἰ ὅλως] ἐξετάζουσι δὲ καὶ εἰ ὅλως recte Harpocr. et Suid. 6. Λιβάνιος] Liban. Decl. vol. 4 p. 666, 18. 7. οὐ] οἱ in Libanio editur. videtur οὐ praeferendum, ita ut interrogationis signum post κινδύνους ponatur. ἕνεκα cod., ἕνεκεν ed. pr., ἕνεκεν μεγάλους Liban. 9. Ἀριστοφάνης] Ar. Ran. 320. ἄγουσιν οὖν] ᾄδουσι γοῦν meliores Aristophanis libri, ᾄδουσιν οὖν vel ἄγουσι γοῦν deteriores. 10. τὸν om. ed. pr. mera neglegentia. ὁ Διαγόρας] Διαγόρας recte Aristoph. Ἀριστείδης] Aristid. vol. 1 p. 824. 11. ἂν] δ' ἂν Aristid. 13. θεολόγος] Greg. Naz. Orat. I p. 14 A. 14. γὰρ om. Greg. Naz. παραδείγμασι] παραδείγματι Greg. Naz. 14—16. verba καὶ ἀντὶ τοῦ συντρίβω κτέ. Byzantinae aetatis produnt barbariem: confundit lexicographus verba ἄγειν et ἀγνύναι.

ράκλητος ὁ μὴ κληθεὶς καὶ ἀπαντῶν. Θουκυδίδης· πολλοὶ τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν.

24. ἀναιρεῖ ἐνεργητικῶς ἀντὶ τοῦ φονεύει. καὶ ἀναιρεῖ ἀντὶ τοῦ ἐκβάλλει καὶ ἀφανίζει. Μάξιμος· καὶ τὰ μαντεῖα ἀναιρεῖ καὶ ταῖς φήμαις ἀπιστεῖ. καὶ ἀναιρεῖ ἀντὶ τοῦ νικᾷ. Ἡρόδοτος· Ὀλύμπια ἀνῃρηκώς. ἀναιρεῖται δὲ παθητικῶς ἀντὶ τοῦ φονεύεται. καὶ ἀντὶ τοῦ ἀναλαμβάνει καὶ ἰδιοποιεῖται. Ἑρμογένης· ἐξετίθεσαν Ἀθηναῖοι τὰ γένη, Μεγαρεῖς ἀναιρούμενοι ἔτρεφον.

25. ἀντιγραφὴ ἰδίως μὲν ἐπὶ ταῖς τῶν κλήρων διαδικασίαις λέγεται, ὅταν τις ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον κατὰ γένους δόσιν· κοινῶς δὲ ἐν ταῖς δίκαις ταῖς δημοσίαις τὰ τῶν δικαζομένων γράμματα ἃ ἐδίδοσαν περὶ τοῦ πράγματος ἀντιγραφαὶ ἐκαλοῦντο. ἀντιγραφὴ λέγεται καὶ τὰ μαρτύρια, ὡς ἔστι παρὰ Πλάτωνι ἐν Σωκράτους ἀπολογίᾳ.

26. ἄπαγε ἀντὶ τοῦ ἄπελθε, ὡς Ἀριστοφάνης· ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε. καὶ ἄπαγε ἀπαγορευτικὸν ἐπὶ τῶν ἀποτροπῆς ἀξίων λεγόμενον. καὶ ἄπαγε ἀντὶ τοῦ ἀπαγωγῇ χρῶ, ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. ἔστι δὲ ἀπαγωγὴ εἶδος δίκης.

---

1. Θουκυδίδης] Thuc. II, 98, 3. πολλοὶ] πολλοὶ γὰρ Thuc. 4. Μάξιμος] Max. Tyr. XIV, 6 vol. 1 p. 261. unde ἀναιρεῖν et ἀπιστεῖν scribendum. 5. Ἡρόδοτος] Herod. VI, 36, 1. ubi Ὀλύμπια ἀναραιρηκὼς extat. 7. Ἑρμογένης] Hermog. de invent. I, 1 in Rhet. Gr. vol. 3 p. 70, 5. 9—14. excerpta haec sunt ex Harpocr. p. 22, 9. quicum cf. Suid. v. ἀντιγραφή. 10. ὅτάν τις cod., ὅταν τις ed. pr.

11. γένους δόσιν] γένος ἢ δόσιν recte Harpocr. 14. παρὰ Πλάτωνι ἐν Σωκράτους ἀπολογίᾳ] Plat. Apol. p. 27 C: καὶ ταῦτα καὶ διωμόσω ἐν τῇ ἀντιγραφῇ. 15. ἄπελθε] supra scriptum est ἀποκόμισον, recte an secus, haud facile dixeris. fortasse post ἄπελθε complura verba exciderunt. Ἀριστοφάνης] Ar. Nub. 32. 17—19. ἄπαγε — δίκης] cf. Harpocr. p. 24, 13. 18. ὁ Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος] Dem. 54, 1: ἔνοχον μὲν φασκόντων αὐτὸν ἐκ τῶν πεπραγμένων εἶναι καὶ τῇ τῶν λωποδυτῶν ἀπαγωγῇ καὶ ταῖς τῆς ὕβρεως γραφαῖς.

27. ἀνάκειται σκώμμασιν ἀντὶ τοῦ σκώπτεται· ἀνακεῖται δὲ πόρναις, κύβοις, συμποσίοις, ἀντὶ τοῦ πορνεύει, κυβεύει, συμποσιάζει.

28. ἀθύρει ἀντὶ τοῦ παίζει. Πλάτων· κεναῖς χερσὶν οὐκ ᾠήθη δεῖν ἀθύρειν.

29. ἀκράτεια ἡ ἀσθένεια παρὰ Ξενοφῶντι· οἰόμενοι δι' ἀμέλειάν τε καὶ ἀκράτειαν ἀπολωλέναι τὰς ναῦς.

30. ἀπεργασάμενος ἀντὶ τοῦ ποιήσας, καὶ ἀπεργασάμενος ἐκ τῶν ἔργων ὧν εἰργάσατο ἀποδούς.

31. ἀμβλισκάνει ἀντὶ τοῦ ἐξαμβλώττει. Μάξιμος· ἀλλὰ πολλαὶ ἀμβλισκάνουσιν ἢ δι' ἀτεχνίαν τῶν μαιουμένων ἢ διὰ σφοδρότητα τῶν ὠδίνων.

32. ἄθυμος ὁ μὴ θυμούμενος. Μάξιμος· ὡς ἄθυμος λέων, ὡς βοῦς ἄκερως. καὶ ἄθυμος ὁ ἀπρόθυμος. Συνέσιος· ἀλλ' ὁ μὴ πάσῃ τῇ γνώμῃ δεδογμένα ποιῶν ἄθυμος ἔρχεται πρὸς τὴν πρᾶξιν.

33. ἀπολελοιπότες ἐκλαμβάνεται καὶ ἐπὶ νίκης ἀπὸ μεταφορᾶς τῶν δρομέων.

34. ἀβασάνιστος ἀντὶ τοῦ ἀνεξέταστος, ἀπὸ βασάνου τῆς

1—3. cf. Suidas v. ἀνάκειται. 1. ἀντίκειται δὲ πόρναις cod., ἀνάκειται δὲ πόρναις ex Suida scripsi. sic Ath. IV p. 177 B: οἷον ἂν γένοιτο νεανίσκων μέθαις καὶ ἔρωσιν ἀνακειμένων. 4. 5. cf. Anecd. Bekk. p. 350, 6 et Suid. v. ἀθύρειν. 4. Πλάτων] Plat. Leg. VII p. 796 B. 6. Ξενοφῶντι] Xen. Hist. Gr. I, 5, 16. 7. ἀπολωλέναι] ἀπολωλεκέναι Xen. 8. 9. cf. Harpocr. p. 25, 12: ἀπεργασάμενος ἀντὶ τοῦ ἀποδοὺς ἐκ τῶν ἔργων ὧν εἰργάσατο Ἰσαῖος ἐν τῷ πρὸς Ἀπολλόδωρον. 10. Μάξιμος] Max. Tyr. XVI, 4 vol. 1 p. 292 sq. 12. ὀδύνων cod., ὠδίνων Max. Tyr. 13. Μάξιμος] Max. Tyr. XVII, 5 vol. 1 p. 318. 14. ἄκερως] ἄκερος in Max. Tyr. editur. Συνέσιος] Synes. Epist. 57 p. 200 C. 16. 17. cf. Harpocr. p. 27, 25 (Anecd. Bekk. p. 430, 18 et Suidas): ἀπολελοιπότες ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων· οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους. Ἰσοκράτης Παναθηναϊκῷ καὶ Πανηγυρικῷ. 17. δρομαίων cod., δρομέων Harp. et Suid., τρεχόντων Anecd. Bekk.

λίϑου. καὶ ἀβασάνιστος ὁ ἀτιμώρητος. ϑεολόγος· πότερον ἀρετῆς ἔλεγχος ἢ κακίας βάσανος. ἀπὸ γὰρ βασάνου γίνεται τὸ βασανίζειν.

35. ἀπόμισϑοι οἱ μισϑὸν μὴ λαμβάνοντες. παρὰ Δημοσϑένει ἐν Φιλιππικοῖς καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους.

36. ἁβραῖς ἀντὶ τοῦ ἁπαλαῖς καὶ τρυφεραῖς. Αἰλιανός· ἐπὶ κλίναις μάλα ἁβραῖς.

37. ἀποικοδομεῖ ἀντὶ τοῦ οἰκήματά τινα ἀποφράττει, ὡς παρὰ Δημοσϑένει ἐν τῷ πρὸς Καλλικλέα.

38. ἀποστησάμενον ἀντὶ τοῦ πρὸς σταϑμὸν παραλαβόντα, ὡς παρὰ Δημοσϑένει ἐν τῷ πρὸς Τιμόϑεον.

39. ἀγενὴς ὁ εὐτελὴς κατὰ γένος, καὶ ἀγενὴς ὁ ἄνανδρος. Προκόπιος· ἔϑεντο γὰρ οἱ Ῥωμαῖοι σπονδὰς ἀγενεῖς πρὸς Οὔνους.

40. ἀπόταφος ὁ τῶν προγονικῶν τάφων στερηϑείς. Δείναρχος οὕτω λέγει ἐν τῇ κατ' Ἀγασικλέους εἰσαγγελίᾳ.

41. ἀγνώμονες οἱ ἀχάριστοι· παρὰ δὲ Πλάτωνι οἱ ἀμαϑεῖς· παρὰ δὲ Δημοσϑένει οἱ ἀλόγιστοι.

---

1. ϑεολόγος] Greg. Naz. Orat. XV p. 227 D. 3. 4. ex Harpocr. p. 28, 21. Δημοσϑένει ἐν Φιλιππικοῖς] Dem. 4, 46: ἀϑλίων ἀπομίσϑων ξένων. 4. ἐν τῷ κατὰ Ἀριστοκράτους] Dem. 23, 154: ἐκεῖνος ὡς ἀπόμισϑος γίγνεται. 5. 6. Suidas v. ἁβραῖς. Αἰλιανός] Aelian. fr. 72. 7. 8. cf. Harpocr. p. 27, 14 et Suid. v. ἀποικοδομεῖς.

7. οἰκήματα τινὰ cod. 8. Δημοσϑένει ἐν τῷ πρὸς Καλλικλέα] Dem. 55, 20: εἰ Καλλικλῆς μὲν εἰς τὸ χωρίον εἰσπεσόντος τοῦ ὕδατος ἁμαξιαίους λίϑους προσκομίσας ἀποικοδομεῖ. 9. 10. Harpocr. p. 30, 5 et Suid. v. ἀποστησάμενον. 10. Δημοσϑένει ἐν τῷ πρὸς Τιμόϑεον] Dem. 49, 52: τὸν ὑποδεξάμενον καὶ ἀποστησάμενον τὸν χαλκὸν τῶν οἰκετῶν τῶν ἡμετέρων. 11. 12. cf. Suidas v. ἀγεννῶς, ubi Procopii nomen omittitur. 12. ἀγενεῖς πρὸς Οὔνους] ἀγεννεῖς διὰ δέος πρὸς Οὔννους Suid. 13. 14. Harpocr. p. 31, 4. 15. 16. verba ἀγνώμονες — ἀμαϑεῖς habes in Lex. Cantabr. fragm. post Phot. ed. p. 664, 1; de extremis verbis cf. Harpocr. p. 3, 10. 15. Πλάτωνι] Plat. Reip. V p. 450 D: οὔτε γὰρ ἀγνώμονες οὔτε ἄπιστοι οὔτε δύσνοι οἱ ἀκουσόμενοι.

16. Δημοσϑένει] Dem. 2, 26: εἶϑ' οὕτως ἀγνωμόνως ἔχετε.

42. ἀποτειχίσαι καὶ ἀντὶ τοῦ περικλεῖσαι ἐντὸς τειχῶν καὶ ἀντὶ τοῦ ἀφεῖναι ἐκτὸς τειχῶν.

43. ἀναβιώσκεται μᾶλλον λέγουσιν οἱ Ἀττικοὶ ἢ ἀναβιοῖ καὶ ἀναζῇ.

44. ἀγώνισμα ἡ σπουδὴ καὶ ἐπιμέλεια. ἀγώνισμα τίθεται συλλαβεῖν αὐτόν.

45. ἀναίρεσις ἡ σφαγή· καὶ ἀναίρεσις ἡ ἀνακομιδή. Εὐριπίδης· ὀστέων φυλάσσων ἀναίρεσιν. καὶ Λυσίας· πέμψαντες κήρυκας ἐδέοντο αὐτῶν δοῦναι τῶν νεκρῶν ἀναίρεσιν. καὶ ἀναίρεσις ἡ ἐκβολὴ καὶ ὁ ἀφανισμός. Θεολόγος· οὐ γὰρ ὥσπερ τῶν ἁμαρτημάτων ἐξάλειψιν ἔχει τὸ λουτρόν, οὕτω καὶ τῶν κατορθωμάτων ἀναίρεσιν.

46. ἀνάστασις ἡ ἔγερσις. καὶ ἀνάστασις ἡ ἀναστάτωσις καὶ ὁ ἀφανισμός. Μάξιμος· ταῦτά ἐστιν ὑμῶν, ὦ πονηροί, τὰ θέσκελα ἔργα, ἀνάστασις καὶ κακῶν αὐχμὴ καὶ φλεγμονὴ νόσου.

47. ἀθανὴς γράφουσιν οἱ Ἀττικοὶ καθ' ὁμοίωσιν τοῦ ἡμιθανής. Μάξιμος· ἡ ψυχὴ ἀναπτᾶσα οἰχήσεται ἀθανὴς καὶ ἀγήρως.

48. ἀργυρόπους ὁ δίφρος ἐκαλεῖτο τοῦ Ξέρξου ὁ καὶ αἰχμάλωτος, ἐφ' οὗ καθεζόμενος ἐθεώρει τὴν ναυμαχίαν. ἀνετέθη δὲ ὑπὸ τῶν Ἀθηναίων εἰς τὸν παρθενῶνα τῆς Ἀθηνᾶς.

49. ἀποκτείνειν μᾶλλον λέγουσιν οἱ Ἀττικοὶ ἢ ἀποκτιννύειν. καὶ ἀπεκτόνασιν, οὐκ ἀπεκτάκασι. Συνέσιος· ἀπέκτονέ τις φησὶν

---

3. ἢ ἀναβιοῖ ἢ perperam ed. pr., ἢ ἀναβιοῖ καὶ cod. **4. 5.** cf. Suid. et Zon. Lex. p. 33. τίθεται] τίθενται Suid., τίθεσθαι Zon. **7.** Εὐριπίδης] Eur. Or. 404: νυκτὸς φυλάσσων ὀστέων ἀναίρεσιν. **8.** Λυσίας] Lys. 2, 7. **10.** Θεολόγος] Greg. Naz. Orat. XL p. 652 C. **14.** Μάξιμος] Max. Tyr. XIII, 4 vol. 1 p. 288. **15.** ἀνάστασις] φθορὰ καὶ ἀνάστασις Max. Tyr. κακῶν αὐχμὴ] recte κακῶν ἀκμὴ Max. Tyr. **17.** Μάξιμος] Max. Tyr. XVI, 2 vol. 1 p. 287, ubi ἡ δὲ ψυχὴ legitur. **18—20.** Harpocr. p. 33, 13. cuius locum contraxit Suidas v. ἀργυρόπεζα. **22.** Συνέσιος] Synes. Epist. 50 p. 188 B. ἀπέκτονέ τις φησὶν] ἀπέκτονέ τίς φησιν ed. pr. codice invito, ἀπέκτονε, φησί τις, Synesius et Thomas Mag. p. 326, 2.

Ἰωάννης Αἰμύλιον. καὶ Ἡρόδοτος· ἀπέκτονε καὶ τὸν γαμβρὸν Τυδέα.

50. ἁρμοσταὶ οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι.

51. ἀπολεγόμενος ἀντὶ τοῦ παραιτούμενος. Πολύβιος· ὁ δὲ παρῃτεῖτο τοὺς Ἀχαιοὺς ἀπολεγόμενος τὴν ἀρχήν.

52. ἀρετῶμαι τὸ ἀρετῆς ἐφίεμαι. Προκόπιος· οἱ μὲν θανατῶνται, οἱ δὲ ἀρετῶνται.

53. αἷμα ὁ εἷς τῶν τεσσάρων χυμῶν, ὅπερ ἐστὶ θερμὸν καὶ ὑγρόν, αὐξάνον τῷ ἔαρι, τὴν ἀρχὴν ἔχον ἐκ τῆς καρδίας. καὶ αἷμα τὸ ἐγγύτατον τοῦ γένους. καὶ αἷμα ὁ φόνος.

54. αὐτομαχεῖν τὸ δι' ἑαυτοῦ ἀλλὰ μὴ δι' ἑτέρου μάχεσθαι.

55. ἀφανὴς οὐσία ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύεσι· φανερὰ ἡ ἔγγειος.

56. ἀναζυγὴ λέγεται ἡ εἰς τὸ ὀπίσω ἀνάζευξις, καὶ ἀναφυγὴ ἡ εἰς τὸ ὀπίσω φυγή. Θουκυδίδης· οὐ γὰρ ἦν ἀναφυγὴ οὐδ' ἀνάζευξις.

---

1. utrum Αἰμύλιον (sic ed. pr.) an Αἰμύλιον in codice sit, non potest dignosci. Ἡρόδοτος] Herod. V, 67, 5: ὅς τόν τε ἀδελφεόν οἱ Μηκιστέα ἀπεκτόνεε καὶ τὸν γαμβρὸν Τυδέα. **3. 4.** Harpocr. p. 35, 3. ubi Eratosthenes et Demosthenes afferuntur. **5. 6.** Suidas v. ἀπολεγόμενος. **5.** Πολύβιος] Polyb. fr. 37 p. 1178 ed. Bekk. **7. 8.** cf. Suid. v. ἀρετῶ. **7.** ἀρετῶμαι] immo ἀρετῶ. inter ἐφίεμαι et οἱ μὲν in codice vacuum spatium relictum est, quod explevi addito Προκόπιος nomine. Προκόπιος] Procop. Gotth. IV, 35 vol. 2 p. 639 sq. ed. Dind. **8.** θανατῶντες — ἀρετῶντες Procop. **9.** ὅπέρ ἐστι cod., ὅπερ ἐστὶ ed. pr. **12.** ex Harpocr. p. 41, 9. unde Anecd. Bekk. p 466, 9 et Suid. v. αὐτομαχεῖν pendent. μάχεσθαι] δικάζεσθαι recte ceteri, nisi quod μάχεσθαι ἢ δικάζεσθαι Suidae cod. E. **13. 14.** Harpocr. p. 41, 26. Anecd. Bekk. p. 468, 23. Suid. v. ἀφανὴς οὐσία. testis ab Harpocratione Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσην additur. **16.** Θουκυδίδης] nomen errori debetur; cuius scriptoris sint quae sequuntur verba, ignoro.

57. αὐϑημερὸν ἐν μιᾷ ἡμέρᾳ. ϑεολόγος· πλάττομεν αὐϑημερὸν τοὺς ἁγίους. καὶ πάλιν ὁ αὐτός· ὁ αὐϑημερὸν λυόμενος καὶ τριήμερος ἀνιστάμενος. καὶ Θουκυδίδης· καὶ ἐκέλευον ἐκτὸς ὅρων εἶναι αὐϑημερόν.

58. ᾄδειν καὶ κοκκύζειν ἐπὶ ἀλεκτρυόνων λέγεται· τὸ ᾄδειν καὶ ἐπὶ κύκνων καὶ χηνῶν.

59. ἀκόλαστος ὁ ἀσελγής· καὶ ἀκόλαστος ὁ ἀτιμώρητος. Συνέσιος· ὅστις δὲ χρόνον πολὺν ἀδικῶν ἀκόλαστος μένει, τοῦτον δεῖ νομίζειν τὸν ἀτυχέστατον.

60. ἄρχει τῆς ἵππου συνεκδοχικῶς ἀντὶ τοῦ τῶν σὺν ἵπποις στρατευόντων, καὶ ἄρχει τοῦ πεζοῦ ἀντὶ τοῦ τῶν χωρὶς ἵππου στρατευόντων. Θουκυδίδης· στρατηγὸν μὲν τοῦ παντὸς πεζοῦ οἱ ξύμμαχοι ᾕρηντο τὸν Ἀριστέα, τῆς δὲ ἵππου Περδίκαν.

61. ἁμιλλῶμαι τῷ δεῖνι· ἐξαμιλλῶμαι δὲ τὸν δεῖνα ἀντὶ τοῦ ἀποδιώκω. Εὐριπίδης· τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς.

62. ἀναφέρειν τὸ εἰς ἄνω μέρος βαστάζειν, ὅϑεν καὶ παρ' Ἀριστοφάνει ἀνάφορον τὸ ἀνὰ τοῖς ὤμοις βασταζόμενον. καὶ ἀναφέρειν ἀντὶ τοῦ κουφισμὸν λαμβάνειν τῆς νόσου. Συνέσιος· διὰ ταῦτα ῥᾷον ἦν καὶ ἀνέφερον. καὶ ἀναφέρειν ἀντὶ τοῦ εἰς τοὔπισϑεν φέρειν. Εὐριπίδης· λεὼς μὲν εἰς τοὔπισϑεν ἀναφέρει πόδα. καὶ ἀναφέρειν

---

1. 2. 4. αὐϑήμερον quater deinceps ed. pr., αὐϑημερὰν constanter cod. idem accentus alibi usitatus. **1.** ϑεολόγος] Greg. Naz. Orat. XX p. 335 D. **2.** ὁ αὐτός] Greg. Naz. Orat. XLIII p. 698 B. **3.** Θουκυδίδης] Thuc. II, 12, 2. ὄρων cod. **5.** κωκύζειν cod., κοκκύζειν scripsi. vide quae dixi in Aristoph. Byz. p. 218 sq. **6.** χηνῶν suspectum. **8.** Συνέσιος] Synes. Epist. 44 p. 184 A. **12.** Θουκυδίδης] Thuc. I, 62, 2. τοῦ παντὸς πεζοῦ] τοῦ πεζοῦ παντὸς Thuc. **13.** τὸν om. Thuc. Περδίκαν] Περδίκκαν Thuc. **15.** Εὐριπίδης] Eur. Or. 431. ἐξαμιλλῶνται σε cod., ἐξαμιλλῶνταί σε ed. pr. **17.** Ἀριστοφάνει] Ar. Ran. 8. ἀνόφορον cod., ἀνάφορον ed. pr. ἄνω ὤμοις ed. pr., ἄνω τοῖς ὤμοις cod., ἀνὰ τοῖς ὤμοις scripsi.

18. Συνέσιος] Synes. Calv. enc. c. 2 p. 64 A. **19.** ῥᾷον] ῥάων recte Synes. **20.** Εὐριπίδης] Eur. Phoen. 1410. λεώς] λαιὸν recte Eur.

*

ἀντὶ τοῦ φαντάζεσθαι καὶ ἀνασπᾶν. Συνέσιος· καὶ ἀναφέρων ἀπὸ τῶν ἐγγεγραμμένων τὴν ἔμψυχόν σου συνουσίαν. καὶ ἀναφέρειν ἀντὶ τοῦ τὴν αἰτίαν εἰς ἕτερον τιθέναι. Εὐριπίδης· εἰς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν. καὶ Προκόπιος Γάζης· τὴν σιγὴν ἀναφέρειν τῇ τῆς ὥρας ἀνάγκῃ. καὶ ἀναφέρειν τὸ ἱστορεῖν. Πλούταρχος· ὁ Ἴστρος ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἀττικῶν ἀναφέρει περὶ Αἴθρας. καὶ ἀναφέρειν τὸ πρὸς ὑπερέχον πρόσωπον γράμμασιν ἢ προσώποις πλησιάζουσι παραδηλοῦν περί τινος.

63. ἁγνεύω ἐγώ, ἁγνίζω δὲ ἕτερον.

64. ἀναγκαῖον τὸ ἀπαραίτητον. ὡς τὸ ἀναγκαῖον ζῶντι τῷ ἀνθρώπῳ ἀναπνεῖν. καὶ ἀναγκαῖον τὸ χρειῶδες. Ἰώσηπος· ὡς δ' ἀπιοῦσαν ἐπιλελοίπει τὰ ἀναγκαῖα, ἐν κακοῖς ἦν. καὶ ἀναγκαῖα τὰ αἰδοῖα.

65. ἀγωνίζομαι ἀμετάβατον, καὶ ἀγωνίζομαι τὸν ἐχθρὸν μεταβατικὸν ἀντὶ τοῦ κατατροποῦμαι.

66. ἀσκήσαντες ἀντὶ τοῦ μαθόντες· καὶ ἀσκήσαντες ἀντὶ τοῦ κοσμήσαντες. Ἰώσηπος· τὰς μάλιστα εὐπρεπεῖς καὶ βιάσασθαι καὶ νικῆσαι τὴν τῶν ὁρώντων σωφροσύνην ἱκανὰς διὰ τὸ κάλλος, ἀσκήσαντες τὴν εὐμορφίαν αὐτῶν ἐπὶ τὸ μᾶλλον εὐπρεπές.

67. ἀνίμησεν ἐκ τοῦ φρέατος, τὸ ἐναντίον καθίμησεν. Ἰώσηπος· ἠρέμα καθίμησεν εἰς τὸν λάκκον.

68. ἀναθεὶς ἀντὶ τοῦ ἀναρτήσας. Ἀριστοφάνης· ἡμῖν ἀναθεὶς ἅπαντα τὰ πράγματα. καὶ Προκόπιος Γάζης· τὸν ὅλον βίον

---

1. Συνέσιος] Synes. Epist. 123 p. 259 D. καὶ delendum. 2. ἐγγεγραμμένων] γεγραμμένων Synes. 3. Εὐριπίδης] Eur. Or. 76. 4. Προκόπιος Γάζης] Procop. Gaz. in Cuiacii Epist. Graec. p. 431. 5. Πλούταρχος] Plut. Thes. c. 34. 7. γράμμασι ἢ ed. pr., γράμμασιν ἢ cod. 11. Ἰώσηπος] Ioseph. Ant. I, 12, 3 vol. 1 p. 41, 4. 12. ἐπιλελοίπει] ἐπιλέλοιπε Ios. κακοῖσιν ἦν cod., cuius vitii originem facile quivis agnoverit. 17. Ἰώσηπος] Ios. Ant. IV, 6, 6 vol. 1 p. 205, 11. 20. Ἰώσηπος] Ios. Ant. II, 3, 2 vol. 1 p. 70, 13. 22. Ἀριστοφάνης] Ar. Nub. 1453. ἡμῖν] ὑμῖν Ar. 23. τὰ] τἀμὰ Ar. Προκόπιος Γάζης] Procop. Gaz. Epist. 103 in Maii Class. auct. vol. 4 p. 271.

ἀναθεὶς τῷ θεῷ πᾶσιν ἀπεχθάνεται τοῖς ἀδικεῖν βουλομένοις. καὶ ἀναθεὶς ἀντὶ τοῦ ἀναγαγών. Ἀριστοφάνης· ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν' αὐτὸν κᾆτα λιπὼν ἄπειμι. καὶ ἀναθέσθαι ἐπὶ τούτου τοῦ σημαινομένου γράφει Λουκιανός· καὶ δυνησόμεθα δύ' ὄντες ἀναθέσθαι ἀράμενοι τὸ Πήλιον ἢ τὴν Ὄσσαν. σημαίνει δὲ τὸ ἀναθέσθαι καὶ τὸ ὑπέρθεσιν ποιήσασθαι. Συνέσιος· καὶ ἀναθέσθαι τὸ σκέμμα μέχρις ἂν αὐτῷ γένηται πρὸς τὴν μακαριωτάτην σου κεφαλὴν ὑπὲρ τούτου ψηφίσασθαι.

69. ἀποστασίου δίκη ἐστὶ κατ' ἀμφισβητουμένων ἀπελευθέρων· ἀπροστασίου δὲ κατὰ τῶν οὐ προσνεμόντων προστάτην μετοίκοις.

70. ἀλγῶ ἀμεταβάτως· καὶ ἀλγῶ τὴν κεφαλὴν μεταβατικῶς.

71. ἀγωνία λέγεται φόβος περὶ ἀποτυχίας γενησομένου τινὸς πράγματος· ἀττικῶς δὲ λέγεται καὶ ὁ ἀγών. Ἱμέριος ὁ σοφιστής· καὶ σπεύδει μὲν ἐπὶ πᾶσαν ἀγωνίαν ἀθλητής, ὅταν σπουδαῖον τὸν Ἑλλανοδίκην αἰσθάνηται.

72. ἀπὸ πρόθεσις ἐνίοτε σημαίνει καὶ ἐπίτασιν. Συνέσιος· καὶ Ἀχιλλεὺς ἀνὴρ εὐψυχότατός τε καὶ φιλοκινδυνότατος ἀποδειλιᾷ πρὸς τὸν ἐν ὕδατι θάνατον. ποτὲ δὲ σημαίνει καὶ τὸ ὀλίγον. Θουκυδίδης· νεμόμενοί τε τὰ ἑαυτῶν ἕκαστοι ὅσον ἀποζῆν.

---

1. τοῖς ἀδικεῖν βουλομένοις] τοῖς ἀνθρωπίνοις, ἔχεται δὲ τῆς ἄνωθεν ἐλπίδος, καὶ διὰ τοῦτο πρόκειται τοῖς ἀδικεῖν βουλομένοις Procop. 2. Ἀριστοφάνης] Ar. Plut. 69. 3. κᾆτα λιπὼν] καταλιπὼν meliores Aristophanis libri. τούτου σοῦ ed. pr., τούτου τοῦ cod. 4. Λουκιανός] Lucian. Char. 4 vol. 1 p. 495. δυνησόμεθα] δυνησόμεθα ὦ Ἑρμῆ Luc. 5. τὸ Πύλιον ἢ τὴν Ὦσσαν cod. 6. Συνέσιος] Synes. Epist. 67 p. 209 B. 7. αὐτῷ] αὐτοῖς δὴ Synes. 8. ψηφίσασθαι] ψήφισμα πέμψαι Synes. 9—11. uberiora et partim meliora praebent Harpocr. p. 29, 21. 32, 5. Lex. Bekk. p. 201, 5. p. 434 sq. Suid. v. ἀποστασίου, cf. Thom. M. p. 37, 1. Ammon. Valck. p. 19. 9. 10. ἀπ' ἐλευθέρων cod., ἀπελευθέρων ed. pr. 14. Ἱμέριος ὁ σοφιστής] Himer. Orat. XXVII, 2: καὶ σπεύδει μὲν ἐπὶ πᾶσαν ἀθλητὴς ἀγω...., qui locus iam aliquot verbis ditatur. 17. Συνέσιος] Synes. Epist. 4 p. 164 sq. 19. Θουκυδίδης] Thuc. I, 2, 2.

73. **αὐτίκα** ἀντὶ τοῦ νῦν. **Σοφοκλῆς**· αὐτίκα γὰρ ἄνδρες τελοῦσι τοὔργον. καὶ αὐτίκα ἀντὶ τοῦ καὶ γάρ. **Ἀριστοφάνης**· αὐτίκα γὰρ ἄρχει διὰ τίν' ὁ Ζεὺς τῶν θεῶν; καὶ **Μάξιμος**· γίνεται τοίνυν ἡ μὲν τροφὴ κατὰ τὴν οὐσίαν τοῦ τρέφειν δυναμένου, ἡ δὲ ἡδονὴ κατὰ τὸ πάθος τοῦ ἥδεσθαι εἰθισμένου· τὸ δὲ ἔθος ἄλλο ἄλλῳ. αὐτίκα γὰρ Ἕλληνες μὲν καὶ Πέρσαι καὶ Λυδοὶ καὶ Φοίνικες καὶ εἴ τι ἄλλο γένος.

74. **ἀγοράζει** ἀντὶ τοῦ εἰς ἀγορὰν διατρίβει. **Λιβάνιος**· ἀγοράζει μὲν αὐτὸς οἴκοι μένοντος ἐμοῦ.

75. **ἀξιοῖ** ἀντὶ τοῦ δικαιοῖ. **Ἀριστοφάνης**· σὺ δ' ἀξιοῖς ἴσως με θεῖν πρὶν ταῦτα φράσαι. καὶ **Ἀριστείδης**· οὐ γὰρ ἠξίωσαν αὐτὸ δὴ τοῦτο κρύψαντες ἐξαρκεῖν. καὶ ἀξιοῖ ἀντὶ τοῦ καθικετεύει. **Λιβάνιος**· ἀξιῶ δέ σε μὴ δυσχερῶς ἀκούειν, μετὰ Πηνελόπης καὶ Κλυταιμνήστρας εἰ μνημονεύοιμι τῆς Βρισέως.

76. **ἀναλαμβάνει** τὸ σῶμα ἐκ τῆς νόσου ἀντὶ τοῦ ἀνακουφίζει καὶ παραμυθεῖται. ὅθεν καὶ ἀναληπτικὴ τροφὴ παρὰ τῷ **μεγάλῳ Βασιλείῳ**· ἡ μετάληψις τῆς ἀναληπτικῆς τροφῆς.

77. **ἀργύριον** τὰ χρήματα. **Ἀριστοφάνης**· ἄρχει διὰ τίν' ὁ Ζεὺς τῶν θεῶν; διὰ τἀργύριον· πλεῖστον γὰρ αὐτῷ. καὶ **Συνέσιος**· ὑποτείνει δὲ σμικρὸν ἀργύριον. καὶ ἀργύριον ὁ ἄργυρος. **Ἀριστο-**

---

1. Σοφοκλῆς] Soph. El. 1398: ἄνδρες αὐτίκα τελοῦσι τοὔργον. **2.** Ἀριστοφάνης] Ar. Plut. 130. **3.** Μάξιμος] Max. Tyr. XXVII, 5. 6 vol. 2 p. 43. **6.** γὰρ om. Max. Tyr. εἴ τι] εἴ τι δὴ Max. Tyr. **8.** Λιβάνιος] Liban. Decl. vol. 4 p. 579, 16. **10.** Ἀριστοφάνης] Ar. Plut. 259. **11.** φράσαι] καὶ φράσαι μοι Ar. Ἀριστείδης] Aristid. vol. 1 p. 166 sq. **12.** κρύψαντες] γῇ κρύψαντες Aristid. **12.** Λιβάνιος] Liban. Decl. vol. 4 p. 68, 5. **13. 14.** μετὰ Πηνελόπης καὶ Κλυταιμνήστρας εἰ] εἰ μετὰ Πην. καὶ Κλυτ. Liban. **14.** Βρυσέως cod., Βρισέως ed. pr. **18.** Ἀριστοφάνης] Ar. Plut. 130 sq. **19.** γὰρ αὐτῷ] γὰρ ἔστ' αὐτῷ Ar. Συνέσιος] Synes. Epist. 6 p. 171 A: προτείνει δὲ κομιδῇ σμικρὸν ἀργύριον. **20.** Ἀριστοφάνης] Ar. Plut. 356—358.

φάνης· εἴ τι κέκλοφας νὴ Δία ἀργύριον ἢ χρυσίον παρὰ τοῦ θεοῦ λαβών.

78. ἄχρι παντὸς ἀντὶ τοῦ διόλου. Λιβάνιος· τὸν οὐκ ἄχρι παντὸς ἀδικοῦντα.

79. ἀπέχω ἐνεργητικῶς ἀντὶ τοῦ διίσταμαι. Λιβάνιος· ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ μισεῖν Ἕκτορα διὰ τὴν ἀριστείαν. καὶ ἀντὶ τοῦ διιστῶ. Ἡσίοδος· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο ἀλλήλων ἀπέχειν. καὶ ἀπέχω ἀντὶ τοῦ ἀπολαμβάνω. θεολόγος· ἀπέχω τὰ τροφεῖα, ὦ παῖδες. καὶ Συνέσιος· ἀπέχω τὴν χάριν. ἀπέχομαι δὲ παθητικῶς ἀεί ποτε ἀντὶ τοῦ διίσταμαι. καὶ συντάσσεται γενικῇ, ἀττικῶς δὲ ἐνίοτε αἰτιατικῇ. Πλάτων· οὐκ ἀπειχόμην τὸ μὴ διὰ τοῦτον ἐλθεῖν.

80. αὐτόχειρ ὁ ἑαυτὸν οἰκείαις χερσὶ φονεύσας. καὶ αὐτόχειρ ὁ οἰκείαις χερσὶν ἕτερον φονεύσας. Σοφοκλῆς· εἰ δ' αὖ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς τὸν αὐτόχειρα, μὴ σιωπάτω. λέγεται δὲ καὶ αὐτόχειρ σφαγή. Εὐριπίδης· ἐπ' αὐτόχειρά τε σφαγάν.

81. ἀποδημῶ τῆς πόλεως καὶ ἐκ τῆς πόλεως.

82. ἀπορῶ τροφῆς. ἀπορῶ δὲ τόδε τὸ πρόβλημα ἀντὶ τοῦ εἰς ἀπορίαν λογικὴν προβάλλομαι.

---

1. κέκλοφας νὴ Δία] κεκλοφὼς νὴ Δία ἐκεῖθεν ἥκεις Ar. 2. λαβὼν om. Ar. 3. Λιβάνιος] Liban. Decl. vol. 4 p. 67, 20. 5. Λιβάνιος] Liban. Decl. vol. 4 p. 57, 20. 5. 6. ἐγώ δε cod., ἐγὼ δὲ ed. pr., ἐγὼ δὲ ἄρα Liban. 6. τὴν] τὴν νῦν Liban. 7. Ἰσίοδος cod., Ἡσίοδος ed. pr. locus Hesiodi extat Op. 134 sq. ἠδύναντο cod.

8. θεολόγος] Greg. Naz. Orat. XXII p. 405 B. 9. Συνέσιος] Synes. Epist. 14 p. 174 C. 11. δε cod., δὲ ed. pr. Πλάτων] Plat. Reip. I p. 354 B: οὐκ ἀπεσχόμην τὸ μὴ οὐκ ἐπὶ τοῦτο ἐλθεῖν.

13. 14. verba καὶ αὐτόχειρ ὁ οἰκείας χερσὶν ἕτερον φονεύσας in ed. pr. desiderantur. 14. Σοφοκλῆς] Soph. Oed. R. 230 sq. 15. εἶδεν ed. pr., οεῖδεν cod., οἶδεν ex Sophocle reposui, quod ipsum scribam voluisse manifesto apparet. σιωπ... ed. pr., σιωπτ' cod., unde σιωπάτω non dubitavi reponere. 16. Εὐριπίδης] Eur. Phoen. 332.

σφαγά cod., σφαγάν Eur. 18. ἀπορῶ δε cod., ἀπορῶ δὲ ed. pr.

83. ἄρχω ἀντὶ τοῦ προηγοῦμαι· ἄρχομαι δὲ ἀντὶ τοῦ ἀρχὴν ποιοῦμαι.

84. ἀναλαμβάνει ἀντὶ τοῦ ἀναδέχεται. καὶ ἀναλαμβάνει ἑαυτὸν ἀπὸ νόσου ἢ ἀπὸ δειλίας καὶ τροπῆς. ἐπεὶ δ᾽ ἐνέκειντο φεύγοντες οἱ βάρβαροι ἀνελάμβανόν τε αὐτοὺς καὶ ξυναγαγόντες τὰ στρατόπεδα ἡσύχαζον.

85. ἀγώγιμον πᾶν τὸ ὁπωσδήποτε ἀγόμενον. καταχρηστικῶς δὲ τὸ ἐμπόρευμα. Συνέσιος· ὅπου γλῶττα ὤνιος, τὸ ῥητόρων ἀγώγιμον. λέγεται καὶ τὸ εἰς ἄτιμον πομπὴν περιφερόμενον. Συνέσιος· ποῦ γὰρ ἱερέως εἰς ἰδίαν ὑπόθεσιν περιδεῖν ἀγώγιμον ἄνθρωπον ἐν νηστίμοις ἡμέραις;

86. ἄπεφθον καὶ ὄβρυζον ἐπὶ χρυσοῦ καθαρότητος λέγεται.

87. αἰτία ἡ πρόξενος ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ. καὶ αἰτία ἡ εὐθύνη. καὶ αἰτία ὁ ψόγος. Ἀριστείδης· μάλιστα μὲν γάρ, εἰ καὶ τοῦτο ἄξιον αἰτίας, οὐδὲ τὰ πρὸς τοὺς θεούς γε ἡμῖν παρεῖται τὸ μὴ οὐ τετολμῆσθαι.

88. αἰτιῶμαι τὸ προφασίζομαι. καὶ αἰτιῶμαι ἀντὶ τοῦ ἐγκαλῶ, ἐπεὶ καὶ αἰτία ἡ εὐθύνη καὶ τὸ ἔγκλημα. Ἱμέριος· Πλάτων δὲ αἰτιασαμένου τινὸς ὅτι μὴ στρατηγοίη μηδὲ πολιτεύοιτο.

89. ἄθλαστα κέραμος λέγεται καὶ ὕδωρ καὶ τὰ ὅμοια τούτοις. θλάσις γάρ ἐστιν ἐπιπέδου κατὰ μέρος εἰς βάθος μετάστασις.

4—6. ἐπεὶ δ᾽ — ἡσύχαζον] Thuc. II, 81, 8. **5.** ἀνελάμβανόν τε αὐτοὺς] ἀνελάμβανόν τε αὐτοὺς Thuc., ubi ἀναλαμβάνειν aliter intellegendum erit quam voluit hic lexicographus. **8.** Συνέσιος] Synes. Epist. 59 p. 203 C. **9.** Συνέσιος] Synes. Epist. 14 p. 174 C. **10. 11.** ἐν ἀτίμοις ed. pr., ἐνηστίμοις cod., ἐν νηστίμοις scripsi ex Synesio. **12.** ἄπευθον cod., ἄπεφθον scripsi. idem vitium infra A, 136 recurrit. εὔριζον ed. pr., εὔροιζον cod., ὄβρυζον scripsi. **14.** Ἀριστείδης] Aristid. vol. 1 p. 151. **18.** Ἱμέριος] Himer. Orat. XXIX, 4. ubi haec tantum leguntur:.... ὅτι μ... στρατηγοίη καὶ πολιτεύοιτο. quae Lexici Vind. ope nunc integriora tenemus. **19.** στρατηγείη cod., στρατηγοίη Himer. μὴ δὲ cod., μηδὲ ed. pr. **20. 21.** mira annotatio, quam fortasse alii expedient. **21.** ἐπὶ πέδου cod.

90. ἀνέχει ἐνεργητικῶς ἀντὶ τοῦ ὑπερανίσταται καὶ ὑπερφαίνεται. Ἀριστείδης· τρίτη δὲ ἀκόλουθος τοῦτον ἀνέχει, περιφανὴς ἄνω διὰ μέσης τῆς πόλεως, ἡ πάλαι μὲν πόλις, νῦν δὲ ἀκρόπολις. καὶ ἀνέχει μεταβατικῶς ἀντὶ τοῦ ἀναβαστάζει. Ἀριστείδης· νυνὶ δ' ἀτεχνῶς πάντας ἀνθρώπους καὶ πάντα γένη τῇ καλλίστῃ τῶν εὐεργεσιῶν ἀνέχετε. καὶ ἀνέχει ἀντὶ τοῦ ἀναχαιτίζει καὶ ἀναστέλλει. σὺ δ' οὐκ ἀνεῖχες σαυτόν. ἀνέχεται δὲ παθητικῶς ἀντὶ τοῦ ὑπομένει· καὶ συντάσσεται κοινῶς μὲν γενικῇ. Λιβάνιος· οὔτε γὰρ ἀνέξῃ μηχανωμένης. ἀττικῶς δὲ αἰτιατικῇ. Ἰουλιανός· ἐβουλόμην γὰρ ἐθίζειν ἐμαυτὸν ἀνέχεσθαι τὸν ἀέρα. καὶ ἀνέχεται ἀντὶ τοῦ ἀναβαστάζεται, ἀνυψοῦται. Μάξιμος· εἰ ταῦτα ὑπάρχοι καὶ σταίη μὲν ὁ ἥλιος, ἀνέχοιντο δὲ οἱ ὀφθαλμοὶ πρὸς αὐτὸν διηνεκῶς δεδορκότες, καὶ ἀνέχεται ἀντὶ τοῦ καταφρονεῖ.

91. αἴρομαι τὸ εἰς φόρτον λαμβάνω. Ἀριστοφάνης· φέρε νῦν ἐγὼ τὰ στρώματ' αἴρομαι. καὶ αἴρομαι ἀντὶ τοῦ ὡς φόρτος φέρομαι.

92. αἴρω τὸ ἁπλῶς λαμβάνω. Λιβάνιος· ἂν ἄρω τὸ τάλαντον μετὰ τῆς ὑγείας, ἄμεινον. καὶ αἴρω τὸ ἐκβάλλω καὶ ἀφανίζω. ἆρον τὸν κλοιόν. καὶ αἴρω τὸ ἀνυψῶ. Σοφοκλῆς· ὑψοῦ γὰρ αἴρει θυμὸν Οἰδίπους ἄγαν. καὶ αἴρω τὸ κομίζω. ὁ αὐτός· αἶρ' αὐτόν, αἶρε δεῦρο· ταρβήσει γὰρ οὔ.

---

2. Ἀριστείδης] Aristid. vol. 1 p. 159. τοῦτον] τούτων recte Aristid. 3. παλαιά, cod., πάλαι Aristid. 4. Ἀριστείδης] Aristid. vol. 1 p. 296. 7. σὺ δ' οὐκ ἀνεῖχες σαυτόν Aristophanis sunt verba, v. Com. 2 p. 1191. σεαυτόν cod., σαυτόν scripsi, αὑτόν alii. 8. Λιβάνιος] Liban. Decl. vol. 4 p. 750, 11. 9. Ἰουλιανός] Iulian. Misop. p. 341 C. 10. ἐθίζειν ἐμαυτὸν] ἐμαυτὸν ἐθίζειν Iul. 11. Μάξιμος] Max. Tyr. V, 1 vol. 1 p. 66. 14. verba εἰς φόρτον primitus omissa postea librarius versibus interposuit. Ἀριστοφάνης] Ar. Ran. 502. 17. Λιβάνιος] Liban. Decl. vol. 4 p. 661, 28. ubi quod editur ἄρα ex hoc loco in ἄρω mutandum est. ceterum ᾄρω cod., ἄρω ed. pr. 19. Σοφοκλῆς] Soph. Oed. R. 914. 20. ὁ αὐτός] Soph. Ai. 545. 21. ταρβήσῃ cod., ταρβήσει Soph.

93. ἀτιμάζω τὸ ὑβρίζω, ἀτιμῶ δὲ ἐπὶ τρίτης συζυγίας τῶν περισπωμένων τὸ ἄτιμον καὶ ἄδοξον ἐξ ἐνδόξου καὶ ἐντίμου ποιῶ. Συνέσιος· ὃς ἐπὶ τὸ τὴν ἐκκλησίαν ἀτιμοῦν προκαϑέζεται. καὶ ἀτιμῶ ἐπὶ δευτέρας συζυγίας τῶν αὐτῶν, ἐπὶ τοῦ σημαινομένου τοῦ ἀτιμάζειν. Λιβάνιος· καὶ τῶν Ἀτρειδῶν ἀτιμᾷ τὴν ἀξίαν.

94. ἄτοπον τὸ παράδοξον. Ἀριστείδης· ἕνα μὲν τοίνυν καὶ πρῶτον ἄτοπον πόλεμον καὶ ϑαυμαστὸν ἤρετο. καὶ Ἱμέριος· τίνα δή ποτε λύρας ἄτοπον ἦχον ἐξεύρωμεν ἐμβατήριον ὁμοῦ καὶ ἐκβατήριον; καὶ ἄτοπον τὸ ἄδικον καὶ παράλογον. ὁ αὐτός· ἄτοπον εἶναι ἡγούμενος πλαστικὴν μὲν καὶ τὰς ἀδελφὰς πλαστικῇ τέχνας τοσοῦτον κατὰ ϑεῶν αὐϑαδίζεσϑαι.

95. ἀλύειν τὸ ἀδημονεῖν καὶ τὸ ἀνέσεως τυγχάνειν. Πλούταρχος· ὁ νεωκόρος τοῦ Ἡρακλέους ἀλύων ὡς ἔοικεν ὑπὸ σχολῆς προύϑετο πρὸς τὸν ϑεὸν διακυβεύειν.

96. ἀνακαίειν ἐπὶ ὕλης. καὶ ἀνακαίειν ἐπὶ πυρὸς ἀντὶ τοῦ ἐξάπτειν. Χρυσόστομος· καὶ πῦρ ἀνακαίειν καὶ τὰ ἄλλα δὴ τὰ τοιαῦτα ποιεῖν.

97. ἄπειρος ὁ μὴ σχὼν μετουσίαν. Συνέσιος· ἕως ἦν ἄπειρος τῶν τοῦ βίου κακῶν. καὶ ἄπειρος ὁ πολὺς καὶ μὴ ἔχων πέρας. Θεολόγος· ἄπειρον οὖν τὸ ϑεῖον καὶ δυσϑεώρητον. καὶ ἄπειρος χιτὼν ὁ μὴ ἔχων ἔξοδον. Εὐριπίδης· ἢ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι

---

3. Συνέσιος] Synes. Epist. 57 p. 197 C. ἐπὶ τὸ] ἐπὶ τῷ recte Synes. προκαϑίζεται ed. pr., προκαϑέζεται cod. cum Synesio. 5. Λιβάνιος] Liban. Decl. vol. 4 p. 98, 13. ubi non ἀτιμᾷ, sed οὐ τιμᾷ scribitur rectissime. omnino enim ἀτιμᾶν, quod in Homeri et aliorum poetarum libris haud raro legitur, artis legibus repugnat nec potuit usurpari nisi ab iis hominibus qui nativum sermonem deseruissent. vide quae diximus *Eurip. Studien* II p. 179 sq. 6. Ἀριστείδης] Aristid. vol. 1 p. 274. 7. ἤρετο] ἤρατο Aristid. 8. δήποτε ed. pr., δή ποτε cod. 10. πλαστικὴ cod., πλαστικῇ scripsi. 12. Πλούταρχος] Plut. Rom. c. 5. 13. προῦϑετο cod. 18. Συνέσιος] Synes. Epist. 16 p. 175 B. ἕως] μέχρις Synes. 19. Θεολόγος] Greg. Naz. Orat. XXXVIII p. 616 B sive Orat. XLII p. 678 B. 21. Εὐριπίδης] Eur. Or. 25. ἢ] ᾗ Eur.

ἐκτεινε. καὶ ἄπειρος ὁ ἀδίδακτος καὶ ἀμαθής. Ἱμέριος· τὸ μὲν ἄπειρον ἐπὶ τῆς χρείας ταράττεται, τὸ δὲ μελετῆσαν θαρρεῖ τὴν τέχνην. καὶ Ἀριστοφάνης· εἶτα πῶς δυνήσομαι ἄπειρος καὶ ἀθαλάττωτος.

98. ἀπείρατος ὁ ἀμέτοχος. Ἀριστείδης· οὐ γάρ ἐστι γένος οὐδὲν τῆς Ἑλλάδος ὡς ἔπος εἰπεῖν, ὃ τῆσδε τῆς πόλεως ἀπείρατόν ἐστι. καὶ Ἱμέριος· τίνες δὲ πόλεις τῶν Φλαβιανοῦ κατορθωμάτων ἀπείρατοι; πολλάκις ἀπείρατος καὶ ὁ ἀμέθεκτος.

99. ἀνήκει ἀντὶ τοῦ ἀκόλουθον καὶ πρέπον ἐστί. καὶ ἀνήκει ἀντὶ τοῦ ἀνέρχεται. Πλούταρχος· τὸ μὲν πατρῷον γένος εἰς Ἐρεχθέα καὶ τοὺς πρώτους αὐτόχθονας ἀνήκει.

100. ἀνδροληψίου δίκη ὅταν τις τοὺς φονεῖς εἰς νόμιμον γέρας αἰτῶν οὐ λαμβάνει.

101. ἀνθρακίας ὁ βάναυσος. Λουκιανός· ἀνθρακίας τις ἰδεῖν καὶ σποδοῦ πλέως καὶ κατωπτημένος.

102. ἀπεοικέναι παρὰ Ἀττικοῖς, οὐ μὴν καὶ ἀπεοικέναι ἐπὶ μετοχῆς λέγεται.

103. ἀνθρωπικὸν γράφεται. Λουκιανός· ἀπέρχομαι γὰρ διακονησόμενος τῷ ἄνω Διὶ τῶν ἀνθρωπικῶν.

104. ἀφήλικες ἄνδρες μέχρι τῶν κε΄ χρόνων· γυναῖκες δὲ μέχρι τῶν ιη΄.

---

1. Ἱμέριος] Himer. Ecl. XXXI, 3. τὸ μὲν] τὸ γὰρ Phot. Bibl. p. 375 a 13. fortasse τὸ μὲν γὰρ ἄπειρον Himerius scripsit. 3. Ἀριστοφάνης] Ar. Ran. 203 sq. εἶτα] κᾆτα Ar. καὶ delendum.
5. Ἀριστείδης] Aristid. vol. 1 p. 173. 8. ολλάκις cod., πολλάκις ed. pr. 10. Πλούταρχος] Plut. Thes. c. 3. 12. 13. locus epitomatorum culpa ita deformatus ut intellegi nequeat. quid dici debuerit docet praeter alios Suidas v. ἀνδροληψία. 12. ὅτάν τις cod., ὅταν τις ed. pr. 13. λαμβάνῃ scribere non ausus sum. 14. Λουκιανός] Lucian. Icarom. c. 13 vol. 2 p. 766. 16. οὐ μὴν καὶ ἀπεοικὼς expectaris. 18. Λουκιανός] Lucian. Char. c. 1 vol. 1 p. 488. γὰρ] γάρ τι vel γάρ τοι Luciani libri.

105. αὐτουργὸς ὁ γεωργός. Εὐριπίδης· αὐτουργὸς οἵπερ καὶ μόνοι σώζουσι γῆν. καὶ Θουκυδίδης· αὐτουργοί τε γάρ εἰσι Πελοποννήσιοι καὶ οὔτε ἰδίᾳ οὔτε ἐν κοινῷ χρήματά εἰσιν αὐτοῖς. καὶ αὐτουργὸς ὁ ἐργασάμενος πρᾶγμά τι μὴ μόνον οἰκείαις χερσίν, ἀλλὰ καὶ προσταγῇ. ϑεολόγος· ἐπεὶ δὲ τὰ δῶρα τῇ ϑείᾳ τραπέζῃ προσενεγκεῖν ἔδει ὧν αὐτουργὸς ἦν.

106. ἀπειπεῖν ἀντὶ τοῦ ἀπαγορεῦσαι· οἷον ἀπειπεῖν πρὸς ἀλλεπαλλήλους συμφοράς. καὶ ἀντὶ τοῦ ἀπαρνήσασϑαι. Συνέσιος· τοῦτο οὖν οὐκ ἔστιν ὅλως φιλίαν ἀπειπεῖν, ἀλλ' ἔχϑραν ἀνειπεῖν ἤτοι κηρῦξαι.

107. ἀπολαύω γενικῇ, ὅτε χωρὶς αἰτίας λέγεται· καὶ αἰτιατικῇ, ὅτε μετὰ αἰτίας τίϑεται. οἶμαι δὲ κάλλιον εἶναι κατὰ Ἀττικοὺς συντάσσεσϑαι τοῦτο αἰτιατικῇ. ὡς Ἀριστοφάνης· ἀγαϑὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε. καὶ Συνέσιος· πλέω καλὰ τῆς Σιμωνίδου συνουσίας ὁ Ἱέρων ἀπήλαυσε. τίϑεται δὲ τὸ ἀπολαύω καὶ ἐπὶ κακοῦ.

108. αὖ πάλιν τίϑεται καὶ παρὰ λογογράφοις. Δίων· τὴν δ' αὖ πάλιν ἐν τῷ χϑαμαλῷ.

109. ἀναλαβεῖν ἀντὶ τοῦ ἀνακαλέσασϑαι καὶ εἰς ὀρϑὸν στῆσαι. Ἡρόδοτος· ἄνδρες φίλοι, ἡμῖν κότε κάλλιον παρέξει ἀνασώσασϑαι τὴν ἀρχὴν ἢ εἴ γε μὴ οἷοί τε ἐσόμεϑα ἀναλαβεῖν, ἀποϑανεῖν.

---

1. Εὐριπίδης] Eur. Or. 920. αὐτουργοὶ οἵπερ ed. pr., αὐτουργὸς οἵπερ cod. cum Euripide. 2. Θουκυδίδης] Thuc. I, 141, 3. 3. εἰσιν] ἐστιν Thuc. 5. ϑεολόγος] Greg. Naz. Orat. XX p. 351 C. ἐπεί δε cod., ἐπεὶ δὲ ed. pr. 8. Συνέσιος] Synes. Epist. 46 p. 186 C. 9. τοῦτο οὖν] τοῦτο μὲν οὖν Synes. 9. 10. verba ἤτοι κηρῦξαι interpretis sunt, non Synesii. 13. Ἀριστοφάνης] Ar. Plut. 236. 14. αὐτῆς ed. pr., αὐτοῦ cod. cum Aristophane. Συνέσιος] Synes. Epist. 49 p. 187 D. 15. ὁ Ἱέρων ἀπήλαυσε] Ἱέρων ἀπέλαυσεν Synes. 17. Δίων] Dio Chrys. Orat. VI, 2 (vol. 1 p. 95, 24 ed. L. Dind.), ubi nunc τὴν δὲ αὖ πόλιν scribitur cum Reiskio. 19. ἐς ὀρϑὸν ed. pr., εἰς ὀρϑὸν cod. 20. Ἡρόδοτος] Herodot. III, 73, 1. 21. ἀναλαβεῖν, ἀποϑανεῖν] αὐτὴν ἀναλαβέειν, ἀποϑανέειν Herod.

110. ἀντιτιθέναι ἀντὶ τοῦ παραθέσει βλέπειν καὶ συγκρίνειν. Ἑρμογένης· δεῖ δὲ ἀντιτιθέναι τοῖς μάρτυσι τοὺς μάρτυρας.

111. ἀγγελία λέγεται ὑποθέντος ἑτέρου εἰπεῖν. λέγεται καὶ εἰπεῖν περὶ ἑτέρου, ἐκείνου μὴ ὑποθέντος.

112. ἄδεια ἡ ἀφοβία. Λυσίας· καὶ τῶν Ἡρακλέους παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν. λέγεται δὲ καὶ ἄδεια ἡ ἄνεσις καὶ σχολή.

113. ἀγαπῶ τὸ ἀρκοῦμαι πρὸς δοτικὴν ἔχει τὴν σύνταξιν, ὡς καὶ παρὰ τῷ Λυσίᾳ· ὁ γὰρ τῆς Ἀσίας βασιλεὺς οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσασθαι ἔστειλε πεντήκοντα μυριάδας στρατιάν.

114. ἀγήρατον τὸ ἄληκτον ἢ τὸ νεάζον. Λυσίας· ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι.

115. ἅπτει βρόχον καὶ ἅπτεται. καὶ ἅπτει πῦρ. Ἀριστοφάνης· ἅπτε παῖ τὸν λύχνον. καὶ Συνέσιος· καὶ φῶς ἅπτων τὸ χειροποίητον.

116. ἄρδην ἐπὶ ἀφανισμοῦ κεῖται. Συνέσιος· ἔδει μὲν ἄρδην ἀναιρεῖσθαι τὴν πρὸς Κυρήνην Πεντάπολιν.

117. ἀγαπᾶν ὅτε οὐ μεταβαίνει πρὸς πτῶσιν ἢ ἀπαρέμφατον, πρὸς μετοχὴν ποιεῖται τὴν σύνταξιν. οἷον ἀγαπᾷ ἐμπιπράμενος, ἀγαπᾷ διωκόμενος.

118. αἰθὴρ τὸ ὑφηπλωμένον τῷ στερεώματι πῦρ, ποιητικῶς δὲ ὁ ἀήρ. ἐνίοτε δὲ χρῶνται καὶ λογογράφοι ἀντὶ τοῦ ἀέρος. Μάξιμος· ἄφνω χειμὼν ἐπετάραξε τὸν αἰθέρα καὶ πνεῦμα κάτεισι λάβρον.

---

2. Ἑρμογένης] Hermog. in Rhet. Gr. vol. 3 p. 19, 13. 5. Λυσίας] Lys. 2, 15. 9. Λυσίᾳ] Lys. 2, 21. 12. Λυσίας] Lys. 2, 79. 14. Ἀριστοφάνης] Ar. Nub. 18. unde τὸν delendum. 15. Συνέσιος] Synes. Calv. encom. c. 11 p. 74 D. ἅπτων τὸ] ἅπτοντα Synes. 17. Συνέσιος] Synes. Epist. 73 p. 220 B. 18. ἀναιρεῖσθαι] ἀνῃρῆσθαι Synes. Κυρήνην] Κυρήνη Synes. 23. ἐνιότε ed. pr., ἐνίοτε cod. Μάξιμος] Max. Tyr. I, 3 vol. 1 p. 10. 24. κάτει λαῦρον cod., κάτεισι λάβρον Max. Tyr.

119. ἀφὴ λέγεται ἡ αἴσθησις, οἷον ἡ ἁπτικὴ δύναμις. λέγεται καὶ ἡ ἔξαψις. Ἡρόδοτος· περὶ λύχνων ἁφάς. τὸ μὲν γὰρ ἀπὸ τοῦ ἅπτω, τὸ δὲ ἀπὸ τοῦ ἅπτομαι.

120. ἀχρεῖος ὁ ἀσυντελής. Συνέσιος· ἀχρεῖοι γὰρ ἂν ἑαυτοῖς τε καὶ ἡμῖν γένοιντο τῶν βασιλικῶν δωρεῶν ἀφῃρημένοι.

121. ἔθρεψεν ἀντὶ τοῦ ἐπαιδαγώγησε. τὸ γὰρ ἀνέθρεψεν οὐ γενναῖον. ὅμως εὕρηται. Λιβάνιος· τὸν σπείραντα, τὸν παιδεύσαντα, τὸν ἀναθρέψαντα.

122. ἀναβαίνει ἐπὶ θέσεως τόπου μετὰ προθέσεως λέγεται, ἀναβαίνει δὲ ἐπὶ ὀχείας ζώων ἀλόγων ἀμέσως, ὡς παρ' Ἡροδότῳ· ἀνέβαινε γὰρ ἕκαστος τῶν ἀρσένων τούτων κ' ἵππους.

123. ἐμποδὼν καὶ ἐμπόδιον καὶ ἀνεμπόδιον γράφεται. Ἰώσηπος· καὶ τὰ ἄλλα ὅσα συμπεριάγειν μέλλουσιν αὐτοῖς ἃ ἦν ἀνεμπόδια πονεῖν ἀπέθεντο εἰς αὐτούς.

124. ἀγριαίνει εἰς παθητικὴν σημασίαν. Λιβάνιος· αἰδεῖται καὶ τὰ θηρία τὴν φύσιν καὶ περὶ τοὺς ἄλλους ἅπαντας ἀγριαίνοντα φιλίᾳ τοῦ γένους τὸ ἡμερώτερον ἐπιδείκνυσιν.

125. ἄντικρυς ἀντὶ τοῦ σχεδόν. Λιβάνιος· πρῶτον μὲν μανία δήπουθεν ἄντικρυς ἐπιβουλεύειν μὲν τῶν ἀνηκέστων τι διαπράξασθαι, προφανῶς δὲ τοῦτο καταμηνύειν. ἀντικρὺ δὲ ἀντὶ τοῦ κατ' εὐθεῖαν κείμενον.

---

2. Ἡρόδοτος] Herodot. VII, 215, 1. 4. Συνέσιος] Synes. Epist. 78 p. 223 D. 5. τε om. ed. pr., habet codex sicut Synes. 6. ἐπαιδογώγησεν ed. pr., ἐπαιδαγώγησε cod. 7. Λιβάνιος] Liban. Decl. vol. 4 p. 751, 2. τὸν παιδεύσαντα] καὶ παιδεύσαντα Liban.

10. δὲ om. ed. pr. Ἡροδότῳ] Herodot. I, 192, 3. 11. ἀρσένων] ἐρσένων Herod. 12. λέγεται ed. pr., γράφεται cod. 13. Ἰώσηπος] Ioseph. Ant. IV, 7, 3 vol. 1 p. 212, 28. ἃ delendum cum Iosepho. 14. ἀνεμπόδια πονεῖν] ἐμπόδια τοῦ πονεῖν Iosephus.

15. Λιβάνιος] Liban. Decl. vol. 4 p. 751, 21. 17. τὸ ἡμερώτερον] πολύ τι τὸ ἥμερον (vel ἡμερώτερον) Liban. 18. Λιβάνιος] Liban. Decl. vol. 4 p. 760, 23. 19. τῶν ἀνηκέστων] τῶν ἀνηκέστων λάθρᾳ Liban. τί cod., τι ed. pr. 20. προφανῶς δε cod., προφανῶς δὲ ed. pr.

126. ἀνάμεινον ἀντὶ τοῦ ὑπέρθες, καὶ ἔστι μεταβατικόν. Εὐριπίδης· ἀνάμεινον δὲ φασγάνου τομάς. καὶ ἀνάμεινον ἀντὶ τοῦ προσκαρτέρησον. Ἀριστοφάνης· ἀνάμεινον, ὦ δαιμόνιε, ἐὰν ξυμβῶ τίσιν.

127. ἄριστος ἐπὶ σώματος, βέλτιστος ἐπὶ ψυχῆς.

128. ἄρδιν τὸ βέλος. Ἡρόδοτος· ἄρδιν ἕκαστον μίαν ἀπὸ τοῦ ὀιστοῦ κομίσαι.

129. ἀπέλαχε τόδε ἀντὶ τοῦ κλήρῳ ἔλαβε. Ἡρόδοτος· ἀπέλαχέ τε τῶν κτημάτων τὸ μέρος.

130. ἀνήλωκα κοινόν, ἀνάλωκα ἀττικόν.

131. ἄστρον λέγεται καὶ ὁ μονοφεγγής. ὁ μέγας Βασίλειος· τί γάρ φησιν ὅτι τῶν κινουμένων ἄστρων ἡ ἐπιπλοκὴ πρὸς τοὺς ἐν τῷ ζωδιακῷ κειμένους ἀστέρας. καὶ Πλάτων· ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα.

132. ἀπόλογος ἡ ἀπολογία. Κύπριος· ὁποῖον ἂν σαυτοῦ τὸν ἀπόλογον δώσεις.

133. ἀεὶ ἐπὶ ἐνεστῶτος λέγεται, παρεληλυθότος καὶ μέλλοντος, ἐσαεὶ δὲ ἐπὶ μέλλοντος.

134. ἀκέραιον τὸ ὁλόκληρον. Εὐριπίδης· σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους ἀκέραιος ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο. καὶ ἀκέραιον τὸ ἄκακον. καὶ τῆς περιστερᾶς τὸ ἀκέραιον.

---

2. Εὐριπίδης] Eur. Or. 1101. καὶ ἄμεινον cod., καὶ ἀνάμεινον scripsi. 3. Ἀριστοφάνης] Ar. Ran. 175. 4. τίσιν] τί σοι leg. ex Aristoph. 5. vilis observatio infra B, 9 recurrit, cf. Georg. Lecap. in Matthaei Lect. Mosq. p. 56. 6. Ἡρόδοτος] Herodot. IV, 81, 4. 8. Ἡρόδοτος] Herodot. IV, 114, 5. 8. 9. ἀπέλαχέ τε] ἀπολάχετε Herodot. 13. 14. verba καὶ Πλάτων — ἄστρα in margine addita sunt literis minoribus. 13. Πλάτων] Plat. Tim. p. 38 C: ἥλιος καὶ σελήνη καὶ πέντε ἄλλα ἄστρα. 15. σαυτὸν ed. pr., σαυτοῦ cod. 17. λέγεται καὶ παρεληλυθότος malim. 18. verba ἐσαεὶ δὲ ἐπὶ μέλλοντος e codice addidi, ed. pr. ignorat. 19. Εὐριπίδης] Eur. Phoen. 942 sq. 20. ἄπω cod., ἄπο Eur.

135. ἀμείβω καὶ ἀμείβομαι τὸ ἀνθ' ἑτέρου ἕτερόν τι λαμβάνω. καὶ ἀμείβω τὸ μεταπίπτω. ἀμείβω τὸν μείρακα, ἀντὶ τοῦ μεταπίπτω ἀπὸ τῆς τοῦ μείρακος ἡλικίας. καὶ ἀμείβω τὸ ποτὲ μὲν ἕτερόν τι λαμβάνω, ποτὲ δὲ ἕτερον. Ἑρμογένης· πολλάς τις ἀμείβων γυναῖκας καὶ πολλοὺς τιθέμενος παῖδας.

136. ἄπεφθος καὶ εἰλικρινὴς ἐπὶ ἀργύρου καὶ χρυσοῦ λέγεται.

137. ἀπῆραν ἀντὶ τοῦ ἀπ' ἀλλοτρίου τόπου εἰς τὸν οἰκεῖον τόπον ἐπανεστράφησαν. Ἀριστείδης· ἔπειτα ἀπῆραν ὥσπερ πτηνοῖς ἀκολουθεῖν μὴ δυνάμενοι.

138. ἀνενεγκὼν καὶ ἀνενέγκας. Κύπριος· ὑπόμνησιν ὁμοῦ καὶ ἱκεσίαν ὑπὲρ αὐτοῦ ἀνενέγκας.

139. ἀποφέρομαι κλέος, ἀντιφέρομαι δὲ τὸ ἐναντιοῦμαι.

140. αὐτόματον τὸ ἀφ' ἑαυτοῦ γεγονὸς καὶ ἀφ' ἑαυτοῦ τὴν ἰσχὺν ἔχον. Ἑρμογένης· οὐ δεῖται γὰρ ἰσχυρῶν λόγων τὸ αὐτομάτως ἰσχῦον πρᾶγμα. καὶ αὐτόματος ὁ ταῖς ὄψεσιν ἀμέσως θεωρούμενος. Ἀριστοφάνης· ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεστιν ἐνθάδε, αὐτόματος ἥκων. καὶ Προκόπιος· ὄψει με πάντως αὐτόματον ὑμῖν προσιόντα.

141. ἄρχει χειρῶν ἀντὶ τοῦ μάχης. αἱρετώτερον τοῖς ἄρχουσι χειρῶν ἀντιπρᾶξαι.

142. ἀπαρτὶ ἀντὶ τοῦ ἀπὸ τοῦ νῦν. Ἀριστοφάνης· ἀπαρτὶ ποιήσω σε πλούσιον.

---

4. Ἑρμογένης] Hermog. in Rhet. Gr. vol. 3 p. 43, 9. 6. ἄπευθος cod., ἄπεφθος scripsi. cf. quae supra p. 16, 12 dicta sunt. 8. Ἀριστείδης] Aristid. vol. 1 p. 246. ἀπῆραν hoc loco cod., ἀπῆραν ed. pr. 9. μὴ] οὐ nonnulli Aristidis libri. 14. Ἑρμογένης] Hermog. in Rhet. Gr. vol. 3 p. 94, 17. 15. ἰσχῦον ed. pr., ἰσχυον cod. 16. Ἀριστοφάνης] Ar. Plut. 1189 sq. 17. Προκόπιος] Procop. Epist. 2 in Maii Class. auct. vol. 4 p. 204. ἡμῖν cod., ὑμῖν Procop. 19. 20. αἱρετώτερον — ἀντιπρᾶξαι] locus desumptus e Bruti Epist. 54 p. 19 ed. Westerm. 21. ἀπὸ primitus in cod. scriptum erat, tum accentus deletus est. Ἀριστοφάνης] Ar. Plut. 388: ἀπαρτὶ πλουτῆσαι ποιήσω.

143. ἀνελεύθερος ὁ φειδωλός. Ἀριστοφάνης· εἰ πλούσιος ὢν ἀνελεύθερος. τὸ ἐναντίον μεγαλόψυχος, οὐκ ἐλεύθερος.

144. ἄγροικος ὁ ἀπαίδευτος. Ἀριστοφάνης· ἐμοὶ γὰρ ἄγροικος ἥδιστος βίος. καὶ Λιβάνιος· ἄγροικος κορύζης καὶ λέμφου ἔμπλεως. ἀγροῖκος ὁ ἐν τῷ ἀγρῷ οἰκῶν. Ἀριστοφάνης· ἔπειτ' ἔγημα Μεγακλέους ἀδελφιδῆν, ἀγροῖκος ὢν ἐξ ἄστεος. λέγεται ἀγροῖκος ἀττικῶς καὶ ὁ ἀμαθής. Ἀριστοφάνης· λέγεις ἀγροῖκον ἄρα σύ γ' εἶναι τὸν θεόν. καὶ ἀγροῖκος ὁ ἐκ τοῦ ἀγροῦ. Συνέσιος· οἱ τὸν ἀγροῖκον λαὸν παρακαλέσαντες. λέγεται δὲ καὶ ἀγρεῖος ὁ ἀμαθής. Ἀριστοφάνης· ἀγρεῖος εἶ καὶ σκαιός. λέγεται καὶ ἀγροικίας. θεολόγος· πῶς γὰρ οὐκ ἄτοπον Ῥωμαίων μὲν νόμον μηδενὶ ἀγνοεῖν ἐξεῖναι, μηδ' ἂν σφόδρα ᾖ τις ἀγροικίας καὶ ἀμαθέστατος.

145. ἀπὸ πρόθεσις σημαίνει καὶ αἰτίαν. Ἰώσηπος· ὁ μὲν οὖν ὄφις εὐθὺς δακὼν ἀπέκτεινεν ἀπὸ τοῦ ἰοῦ.

146. ἀνασχὼν ἀντὶ τοῦ ἀναβιβάσας. καὶ ἀνασχὼν ὁ ἀνατείλας. Λιβάνιος· ἀνασχούσης δέ ποτε τῆς εὐδαίμονος, ὡς ἐνόμιζον, ἀκτῖνος.

146b. ἀνίσχει ὁ ἥλιος ἀντὶ τοῦ ἀνατέλλει. καὶ ἀνίσχει ἀντὶ τοῦ ἀπείργει. Ἡρόδοτος· πολλαχῇ τε ἀνίσχει ἐμεωυτόν.

---

1. Ἀριστοφάνης] Ar. Plut. 591. 3. Ἀριστοφάνης] Ar. Nub. 43. γὰρ] γὰρ ἦν Ar. 4. Λιβάνιος] Liban. Decl. vol. 4 p. 630, 20. ubi ἀγροῖκος scribitur. 5. Ἀριστοφάνης] Ar. Nub. 46 sq. 6. Μεγακλέους] Μεγακλέους τοῦ Μεγακλέους Ar. ἀδελφιδὴν cod. ἀγροῖκος ὢν] ἄγροικος ὢν in Aristophane scribitur. 7. Ἀριστοφάνης] Ar. Plut. 705. ἀγροῖκος cod., ἀγροῖκον scripsi, ἄγροικον Aristophanis libri. 8. καὶ Συνέσιος. ἀγροῖκος ὁ ἐκ τοῦ ἀγροῦ cod., καὶ ἀγροῖκος ὁ ἐκ τοῦ ἀγροῦ. Συνέσιος scripsi. Συνέσιος] Synes. Epist. 122 p. 258 D. οἱ τὸν] οἱ δὲ τὸν Synes. 9. λαὸν] λεὼν Synes. Ἀριστοφάνης] Ar. Nub. 655. 10. θεολόγος] Greg. Naz. Orat. XXI p. 388 A. 12. μὴ δ' cod., μηδ' ed. pr. 13. Ἰώσηπος] immo Dio Chrys. Orat. V, 15 (vol. 1 p. 92, 29 ed. L. Dind.). 14. ἀπέκτεινε ed. pr., ἀπέκτεινεν cod. 16. Λιβάνιος] Liban. Decl. vol. 4 p. 629, 7. δέ ποτε] δέ μοί ποτε Liban. 17. 18. verba ἀνίσχει ὁ ἥλιος et quae continuo accedunt, in ed. pr. cum praecedentibus coniunguntur codice invito. 18. Ἡρόδοτος] Herodot. I, 42, 1. δὲ

147. ἄντικρυς ἀντὶ τοῦ φανερῶς. Ἀριστοφάνης· καὶ νὴ Δί' εὔχονταί γε πλουτεῖν ἄντικρυς. καὶ Συνέσιος· ὁ δὲ ἀντέλεγεν ὑπὲρ τῶν κερδῶν ἄντικρυς ἀπετόλμα λέγειν.

148. ἀνακράτος ἀντὶ τοῦ ἀσχέτως. Συνέσιος· ἀνακράτος ἐξελαύνων ἐξαιμάττων τὸν ἵππον.

149. ἀλλὰ σύνδεσμος ἐπὶ διορθώσει λαμβάνεται. οἷον οὐ τοῦτο ἀλλ' ἐκεῖνο. καὶ Ἀριστοφάνης· γυναικὸς οὐ δῆτα ἀλλὰ παιδός. ἔστι καὶ προτρεπτικός. ἀλλ' ἤδη τοῦ λόγου ἀρκτέον. λαμβάνεται καὶ ἀντὶ τοῦ καί. μετὰ τοῦ καὶ δὲ ἀντὶ τοῦ καλῶς ἐπὶ βεβαιώσεως κεῖται. Ἀριστοφάνης· νὴ τὸν Δία ἀλλὰ καὶ λέγουσι πάντες ὡς δειλότατός ἐσθ' ὁ πλοῦτος.

150. ἀντικρούει ἀντὶ τοῦ ἐναντιοῦται. Κύπριος· εἰ μή τις ἑτέρωθεν ἀντέκρουε λογισμός.

151. ἀνεικότες λέγεται ἐπὶ τριχῶν τῶν τῆς κεφαλῆς. καθεικότες ἐπὶ γενειάδος. πολλάκις καὶ τοῦτο ἐπὶ τριχῶν τῶν τῆς κεφαλῆς. Συνέσιος· καὶ σκυθικῶς καθεικότες τὰς κόμας.

152. ἀκοῦσαι καὶ ἀντὶ τοῦ ὀνομασθῆναι. θεολόγος· ὥστε καὶ ὄφεις ἂν εἰκότως ἀκοῦσαι.

153. ἄλλως ἀντὶ τοῦ ἀλλοτρόπως. καὶ ἄλλως ἀργῶς λαμβανόμενον. Ἡρόδοτος· ἀπολείπουσα τρεῖς δακτύλους καὶ ἄλλως εὐειδής.

---

ed. pr., τε cod. cum Herodoti libris consentiens. ἀνίσχει] ἂν ἴσχον Herod. ἐμὲ ὠυτόν cod., ἐμεωυτόν Herod.

1. Ἀριστοφάνης] Ar. Plut. 134. 2. Συνέσιος] Synes. Epist. 94 p. 235 C. 3. ἄντικρυς] καὶ ἄντικρυς Synes. 4. ἀνακράτος] rectius ἀνὰ κράτος scripseris. Συνέσιος] Synes. Epist. 104 p. 245 D.

5. ἐξαιμάττων] ἐξαιματῶν recte Synes. 7. Ἀριστοφάνης] Ar. Ran. 56: ΗΡ. γυναικός; ΔΙ. οὐ δῆτ'. ΗΡ. ἀλλὰ παιδός; ΔΙ. οὐδαμῶς. ita nunc recte legitur; male alii unius Herculis haec esse verba putaverunt. 9—11. verba μετὰ τοῦ καὶ δὲ — ὁ πλοῦτος in margine codicis addita sunt. 10. Ἀριστοφάνης] Ar. Plut. 202 sq. 11. δειλότατος ἐσθ' cod. 16. Συνέσιος] Synes. Calv. enc. c. 13 p. 77 B. καθεικότες] ἀνεικότες Synes. 17. θεολόγος] Greg. Naz. Orat. I p. 30 B.

18. ὄφις cod., ὄφεις Greg. Naz. 20. Ἡρόδοτος] Herodot. I, 60, 4. εὐειδεῖς cod., εὐειδής ed. pr. cum Herodoto.

154. ἂν σύνδεσμος ἐπὶ τέλει λεγόμενος εἴτε μετὰ παρεληλυθότος ῥήματος, εἴτε μετὰ εὐκτικοῦ, εἴτε μετὰ μετοχῆς, μὴ γενόμενον πρᾶγμα, ἔχον δὲ δύναμιν γενέσθαι ὑπεμφαίνει.

155. ἅμα κατὰ χρονικὴν ἴσην γένεσιν λέγεται, οἷον ἅμα ψυχὴ καὶ σῶμα. καὶ κατὰ τὸ ἀντιστρέφον, οἷον ἅμα ἥμισυ καὶ διπλάσιον καὶ ἅμα διπλάσιον καὶ ἥμισυ. καὶ κατὰ τὸ ἀντιδιῃρημένον ἐκ τοῦ αὐτοῦ γένους· ἅμα ἐκ τοῦ ζῴου τὸ λογικὸν καὶ ἄλογον.

156. ἅλις μετὰ γενικῆς λέγεται, οἷον ἅλις τῶν ὕβρεων. καὶ μετ' εὐθείας, οἷον ἅλις πόλις ὡς ἔχει.

157. ἅγιος λέγεται καὶ παρ' Ἕλλησι. μυστοδόκος δῆμος ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται.

158. ἀμήχανος ὁ πολύς. Ἱμέριος· ἄνδρα σοφίας τε ἐραστὴν ἀληθοῦς καὶ λόγων ἀμήχανον. καὶ ἀμήχανος ἐπὶ τοῦ ἐναντίου.

159. ἀπήγγειλά σοι καὶ ἀπήγγειλα πρὸς σέ. Δημοσθένης· ἦκα δ' ἀγγέλλων ἦλθε πρὸς τοὺς πρυτάνεις.

160. ἀναπνοὴ ἐπὶ ζωῆς, ἐκπνοὴ ἐπὶ φυσήματος. παρὰ Θουκυδίδῃ καὶ ἐπὶ ἀνέμου.

161. ἀναστήσαντες καὶ ἀντὶ τοῦ μετακινήσαντες. Θουκυ-

---

5. ἀντίστρεφον ed. pr., ἀντιστρέφον cod. 10. 11. verba μυστοδόκος — ἀναδείκνυται Aristophanis sunt Nub. 303 sq. 10. μυστοδόκος] extremae syllabae huius vocabuli in codice compendio δκ́ scribuntur, unde μυστο.... ed. pr. δῆμος] δόμος recte Aristoph. 11. ἀναδείκυνται ed. pr., ἀναδείκνυται cod. 12. Ἱμέριος] Himer. Orat. IV, 5. τὲ cod., τε ed. pr. 12. 13. ἐραστὴν ἀληθοῦς καὶ λόγων] ἀληθοῦς καὶ λόγων ἐραστὴν Himer. 14. Δημοσθένης] Dem. 18, 169: ἦκε δ' ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις. 15. ἦκα ed. pr., ἦκα cod. 16. παρὰ Θουκυδίδῃ] respici videtur Thuc. IV, 100, 4: ἡ δὲ πνοὴ ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα. certe desidero locum Thucydideum quo probabilius lexicographi adnotationem referam. 18 sqq. articulus in ed. pr. male mulcatus legitur hunc in modum: Ἀναστήσαντες τὸ στράτευμα ἐχώρουν ἐπὶ τὸ στρατόπεδον. quae interciderant verba «καὶ ἀντὶ τοῦ μετακινήσαντες. Θουκυδίδης· αὐτοὶ δ' ἀναστήσαντες» e codice restitui. 18. Θουκυδίδης] Thuc. I, 62, 4.

δίδης· αὐτοὶ δ' ἀναστήσαντες τὸ στράτευμα ἐχώρουν ἐπὶ τὸ στρατόπεδον.

162. ἄπεδον τὸ ὁμαλόν. κατέβησαν εἰς χωρίον ἄπεδόν τι.

163. ἀποκηρύττοντες ἀντὶ τοῦ πιπράσκοντες. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους, καὶ Πλάτων ἐν Πρέσβεσι· σκευάρια δὴ κλέψας ἀπεκήρυξεν ἐκφέρων. καὶ ἀποκηρύττοντες πατέρες τοὺς παῖδας, ἀντὶ τοῦ πατέρες εἶναι τῶν παίδων δημοσίως ἀποβαλλόμενοι.

164. ἀλλὰ σύνδεσμος λαμβάνεται καὶ ἀντὶ τοῦ κἄν. Σοφοκλῆς· αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτέ.

165. ἀναχαιτίζει καὶ ἀνακρούει ἐπὶ ἵππου λέγεται, ἀναστομεῖ δὲ ἐπὶ πηγῆς καὶ φλεβὸς ἀνειμένης.

166. ἀπόκριναι ἀντὶ τοῦ ἀπολογήθητι. Δημοσθένης· ἀπόκριναι γὰρ δεῦρο παρελθών μοι.

167. ἂν μετὰ ὁριστικοῦ λεγόμενον συντάσσεται παρατατικῷ, ὑπερσυντελικῷ καὶ ἀορίστῳ. μετὰ δὲ εὐκτικοῦ καὶ ὑποτακτικοῦ παντὶ χρόνῳ συντάσσεται.

---

1. τὸ στράτευμα] τὸ στρατόπεδον Thuc. 1. 2. ἐπὶ τὸ στρατόπεδον] ἐπὶ τὴν Ποτίδαιαν Thuc. 3. articulum hunc e codice addidi: in ed. pr. nec vola eius nec vestigium. κατέβησαν — ἄπεδόν τι] locus Thuc. VII, 78, 4. 4—6. ἀποκηρύττοντες — ἐκφέρων] ex Harpocr. p. 27, 9. 4. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους] Dem. 23, 201. 5. Πλάτων ἐν Σκεύεσι cod., Πλάτων ἐν Πρέσβεσι cum Harpocr. scripsi. debetur error insequenti vocabulo σκευάρια. in Platonis comici loco (Com. 2 p. 657) ἀπεκήρυξ' ἐκφέρων restituit Valesius.

7. ἀποβαλόμενοι cod., ἀποβαλλόμενοι ed. pr. 8. Σοφοκλῆς] Soph. El. 1013. 9. αὐτή δε cod., αὐτὴ δὲ ed. pr. ceterum utilis est lexicographi observatio ad emendanda Anecd. Bekk. p. 376, 32: ἀλλά· ἀντὶ τοῦ ὅταν. Σοφοκλῆς. ubi legendum, id quod iam Brunckius commendavit, ἀλλά· ἀντὶ τοῦ κἄν. et Sophoclis fr. 1018 edit. meae delendum. qua de re dixi in *Mélanges Gréco-Rom.* II p. 718. 10. ἀναστομεῖν verbum non novimus. 12. ἀπόκρινε utroque loco cod., ἀπόκριναι scripsi. Δημοσθένης] Dem. 19, 120, ubi libri δεῦρ' ἀναστάς μοι, sed δεῦρό μοι παρελθών Anecd. Bekk. p. 429, 20 et Suidas v. ἀπόκριναι. 15. ὑπερσυντελίκῳ cod., ὑπερσυντελικῷ ed. pr.

168. ἀλλὰ μὴν καὶ διὰ τοῦτο φανερώτερον ἀντὶ τοῦ πρὸς τούτοις, ἀληθῶς, βεβαίως.

169. ἀρχαίως ἀντὶ τοῦ ἀνοήτως. καὶ ἀρχαίως ἀντὶ τοῦ παλαιῶς. τά τε παλαιὰ καινῶς διελθεῖν καὶ περὶ τῶν νεωστὶ γενομένων ἀρχαίως εἰπεῖν.

170. ἄξιον παρὰ Ἀττικοῖς τὸ εὔωνον. Ἀριστοφάνης· ἀτὰρ ἐγὼ οὐδέποτ' εἶδον ἀξιωτέρας ἀφύας.

171. ἀπόπληκτος ὁ ἠλίθιος, ἔμπληκτος ὁ εὐμετάβολος. Σοφοκλῆς· τοιαίδε ἔμπληκτοι φρένες βροτῶν. καὶ Αἰσχίνης· ὠνείδισας δέ μοι καὶ πολιτείας ἐμπληξίαν.

172. ἀποφράδες αἱ ἀπηγορευμέναι ἡμέραι, ἢ ἐν αἷς ἐδίκαζον τὰς φονικὰς δίκας. καὶ ἀποφρὰς ἐπὶ ἀρσενικοῦ. Συνέσιος· ἄρχει δὲ παρ' ἡμῖν ὁ Βερονικεὺς Ἀνδρόνικος, ἀποφρὰς ἄνθρωπος, παλαμναίαν ἔχων καὶ γνώμην καὶ γλῶτταν.

173. ἀπέδρα καὶ ἀπέδραν χρὴ λέγειν, οὐχὶ ἀπέδρασε καὶ ἀπέδρασαν. Πλάτων· ὁ γάρ τοι παῖς μου ὁ Σάτυρος ἀπέδρα.

174. ἄχνη λεπτότης ξηροῦ τε καὶ ὑγροῦ. ἀποπτύει δ' ἁλὸς ἄχνην. ἐπὶ δὲ ξηροῦ· κρίνει ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας.

---

1. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 1. 2. προστούτοις cod., πρὸς τούτοις ed. pr. 4. 5. τά τε παλαιὰ — ἀρχαίως εἰπεῖν] Isocrat. 4, 8. ubi καὶ τὰ παλαιὰ et νεωστὶ γεγενημένων legitur. 6. παρ' Ἀττικοῖς ed. pr., παρὰ Ἀττικοῖς cod. Ἀριστοφάνης] Ar. Eq. 645: ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη, οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας.
9. Σοφοκλῆς] Soph. Ai. 1358: τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν (βροτοῖς al.). ubi si quis de tralaticiae scripturae integritate dubitarit, non repugnabo: sed huius lexicographi lectionem nihili faciendam esse arbitror. Αἰσχίνης] Aeschines 2, 164. 12. καὶ om. ed. pr. Συνέσιος] Synes. Epist. 79 p. 224 C. ἄρχει δὲ] ἄρχει γὰρ Synes.
13. Βερονικεὺς] Βερρονικεὺς male in Synesio ed. 15. 16. cf. Zon. Lex. p. 294. 16. Πλάτων] Plat. Protag. p. 310 C. μου] με Plat. Σάτηρος cod., Σάτυρος ed. pr. 17. 18. ἀποπτύει δ' ἁλὸς ἄχνην] Hom. Il. Δ, 426. 18. 19. κρίνει — ἄχνας] Hom. Il. E, 501. ubi κρίνῃ legitur.

175. ἀπέσβη. Συνέσιος· ἀπέσβη τὰ Πενταπόλεως.

176. ἄχρις ἀντὶ τοῦ ἕως οὗ, καὶ ἄχρις ἀντὶ τοῦ διόλου. Ὅμηρος· ἀμφοτέρους δὲ τένοντα καὶ ὀστέα λᾶας ἀναιδὴς ἄχρις ἀπηλοίησεν.

177. ἀπείργω τινὰ βουλόμενόν τι ποιεῖν, ἀνείργω δὲ ἀρξάμενον.

178. αὐτοῦ ἀντὶ τοῦ αὐτόθι. ὡς τὸ στῆτ' αὐτοῦ. καὶ αὐτοῦ ἀντὶ τοῦ ἐκεῖσε. Θουκυδίδης· καὶ ξυναγαγόντες τὰ στρατόπεδα ἡσύχαζον αὐτοῦ τὴν ἡμέραν.

179. ἀνήνυτα. Ἀριστείδης· καὶ ταῦτα ἀνήνυτα, καὶ τὰ μηδενὶ τῶν ἄλλων Ἑλλήνων ἢ βαρβάρων.

180. αὐτοῖς κατὰ Ἀττικοὺς ἀντὶ τῆς σὺν προθέσεως λαμβάνεται. Ἡρόδοτος· διδάσκαλος ἔπρηξεν αὐτοῖς μαθηταῖς. ἢ δεσπότης αὐτοῖς δούλοις. καὶ ἐπὶ ἑνικοῦ αὐτῷ ἀντὶ τῆς σύν.

181. ἀγὼν σημαίνει πέντε. τὸ ἄθροισμα. Ὅμηρος· Ἥρη μὲν μετ' ἀγῶνα νεῶν. τὸ ἆθλον· θεῖον δύσονται ἀγῶνα. τὸν τόπον· λείηναν δὲ χῶρον, καλὸν δ' εὔρυναν ἀγῶνα. καὶ τὸ πλῆθος· λῦτο δ' ἀγών.

182. ἄλλως ἀντὶ τοῦ μάτην. Δημοσθένης· ἄλλως ἐξηπα-

---

41. **ἐκφυλλοφορῆσαι.** εἰ ἐδόκει τις τῶν βουλευτῶν ἀδικεῖν, διεψηφίζετο ἡ βουλὴ περὶ αὐτοῦ, εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν· ἀντὶ δὲ ψήφων φύλλοις ἐχρῶντο, δι' ὧν ἕκαστος ἐπεσημαίνετο τὴν αὑτοῦ γνώμην. **Δείναρχος** ἐν τῷ κατὰ Πολυεύκτου.

42. **ἐπαιρόμενος** ἀντὶ τοῦ ἐπανατεινόμενος. **Δημοσθένης** ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

43. **εἰς μέγα** ἀντὶ τοῦ πάνυ, οἷον εἰς μέγα φθέγγεται.

44. **ἐκέρδανε** τὴν συμφορὰν ἀντὶ τοῦ ἐξέφυγε. **Λιβάνιος**· παντάπασι γὰρ ἂν τῶν μετὰ ταῦτα συμφορῶν τὴν πεῖραν ἐκέρδανα.

45. **ἐπιδέκατον** τὸ δέκατον καὶ **ἐπίπεμπτον** τὸ πέμπτον. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Εὔπολις ἐν Αὐτολύκῳ.

46. **ἔκκλητος** λέγεται κρίσις εἰς ἣν καταφεύγει τις τὴν πρώτην οὐ στέργων. καλεῖται δὲ καὶ ἔφεσις. ἐξῆν δὲ τοῖς ξένοις ἔκκλητον ζητεῖν, τοῖς δ' ἐγχωρίοις οὐκέτι.

---

2. τούτῳ] τοῦτο Max. Tyr. **4. 5.** Harpocr. p. 76, 10. ceterum cf. infra E, 263. 287. **4.** αὐτῶ cod., αὑτῷ ed. pr. **5.** Χαιρέτατον cod., Χαιρέστρατον Harpocr. **6—9.** Harpocr. p. 69, 12. **6.** τίς cod., τις ed. pr. **9.** αὐτοῦ cod., αὑτοῦ ed. pr. Πολυεύκτου] Πολυεύκτου ἐκφυλλοφορηθέντος Harpocr. **10. 11.** Harpocr. p. 76, 22. **10.** Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος] Demosth. 18, 222: πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει ἐπαιρόμενος λόγους. **13.** Λιβάνιος] Liban. Decl. vol. 4 p. 744, 2. **14.** μετα cod., μετὰ ed. pr. ἐκέρδανεν ed. pr., ἐκέρδανα cod. et Liban. ceterum haec verbi κερδαίνειν potestas non tam rara est quam opinabatur Meinekius in Men. et Philem. p. 396 et Com. 5 p. 99. vide Cobeti V. L. p. 261. 379. Trag. adesp. 98. Himer. p. 47, 26. 49, 44 ed. Dübn. **15. 16.** Harpocr. p. 78, 12. **17—19.** cf. Etym. M. p. 322, 43. Zon. Lex. p. 656. **17.** τίς cod., τις ed. pr. **18. 19.** ἔκκλητον ζητεῖν] ἐκκαλεῖσθαι πόλιν ἄλλην Etym. M., ἐκκαλεῖσθαι Zon.

47. ἐν Δελφίνῳ δικαστήριον ἐν Ἀθήναις. δικάζονται δὲ ἐνταῦθα οἱ ὁμολογοῦντες μὲν ἀπεκτονέναι, δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.

48. ἐπισχεῖν ἀντὶ τοῦ ἐμποδὼν στῆναι. καὶ ἐπισχεῖν μαστὸν βρέφει.

49. εἰμὶ ἀντὶ τοῦ ὑπάρχω. περίειμι ἀντὶ τοῦ ζῶ· καὶ ἀντὶ τοῦ νικῶ, ὅτε μετὰ γενικῆς συνταχθῇ.

50. ἐπέθηκεν ἐπιστολὴν ἀντὶ τοῦ παρέδωκεν.

51. ἐπικηρυκεία τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν.

52. ἐναποψύχειν παρ' Ἡσιόδῳ τὸ ἐναποφυσᾶν, παρ' Ὁμήρῳ τὸ λειποθυμεῖν.

53. ἐπιτελέωμα λέγεται θῦμα ὑπὲρ τῶν πρότερον θυμάτων. Δημοσθένης· ἔτι τοίνυν πάντων ὕστατα ταῦτα θύεται καὶ ἐπιτελεώματα τῶν ἄλλων θυμάτων.

54. ἐπισημαίνεσθαι ἀντὶ τοῦ ἐπαινεῖν καὶ ὡς ἐν τῇ συνηθείᾳ λέγομεν ἐπιφωνεῖν. καὶ ἀντὶ τοῦ ἐπισφραγίσαι.

1—3. Harpocr. p. 78, 15. 1. ἐν Δελφίνῳ] ἐπὶ Δελφινίῳ Harpocr., ubi ἐπὶ Δελφίνω A. ἐν Ἀθήναις] οὕτω καλούμενον Ἀθήνησι Harpocr.

3. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους] Demosth. 23, 74: τρίτον δ' ἕτερον πρὸς τούτοις δικαστήριον, ὃ πάντων ἁγιώτατα τούτων ἔχει καὶ φρικωδέστατον, ἄν τις ὁμολογῇ μὲν κτεῖναι, ἐννόμως δὲ φῇ δεδρακέναι· τοῦτο δ' ἐστὶ τὸ ἐπὶ Δελφινίῳ. 7. ὅτε] ὅταν malim. 9. 10. Harpocr. p. 80, 14. ubi testis accedit Δημοσθένης Φιλιππικῶν ε'. 9. διαλαγῶν pr. cod. 11. 12. cf. Etym. M. p. 337, 31. Zon. Lex. p. 741. 11. Ἡσιόδῳ] Hesiod. Op. 759: μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι· μηδ' ἐναποψύχειν. ἐναποφυσᾶν] ἀποφυσᾶν, τὸ ἀφοδεύειν Zon., τὸ ἀποπατεῖν καὶ ἀποφυσᾶν Etym. M. Ὁμήρῳ] Hom. Od. ω, 348: τὸν δὲ ποτὶ οἷ εἷλεν ἀποψύχοντα πολύτλας δῖος Ὀδυσσεύς.

13—15. cf. Harpocr. p. 83, 15. Etym. M. p. 365, 48. Suid. v. ἐπιτελοῦν. 13. προτέρων ed. pr., πρότερον cod. 14. Δημοσθένης] immo Λυκοῦργος (fragm. p. 102 ed. Kiessl.) teste Harpocr. 14. 15. ἐπὶ·τελεώματα hoc loco cod., ἐπιτελεώματα ed. pr. 16. 17. Harpocr. p. 82, 17: ἐπισημαίνεσθαι ἀντὶ τοῦ ἐπαινεῖν μὲν καὶ ὡς ἐν τῇ συνη-

55. ἐπιτείχισμα τὸ γινόμενον κατά τινων χωρίων, ὅθεν ὁρμώμενοι οἱ τειχίσαντες κακῶς ταῦτα ἐποίουν. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

56. ἐκκεκώφηται καὶ ἐκκεκώφωται τὰ ὦτα μεταβατικῶς γράφεται.

57. ἑλληνίζει ἀντὶ τοῦ ἑλληνικῶς φθέγγεται. καὶ ἀντὶ τοῦ τὰ τῶν Ἑλλήνων φρονεῖ.

58. ἐγκεκοισυρωμένη ἡ ὑπερήφανος καὶ κεκαλλωπισμένη. Ἀριστοφάνης· σεμνὴν τρυφῶσαν ἐγκεκοισυρωμένην. εἴρηται δὲ ἡ λέξις ἐπὶ τούτου τοῦ σημαινομένου διὰ τὸ τὴν Κοίσυραν, ἥτις ἦν μήτηρ Μεγακλέους καὶ Ἀλκμαίωνος γυνή, ὑπερήφανον καὶ κεκαλλωπισμένην εἶναι.

59. ἐν χρῷ κουρὰ καὶ ἐν χρῷ κουρίας ἐπὶ ἀρσενικοῦ. οὐ λέγεται δὲ ἐπὶ μόνης κουρᾶς, ἀλλὰ καὶ ἐπὶ ἄλλων πραγμάτων, οἷον ἐν χρῷ κινδύνου. οὕτω Θουκυδίδης.

θείᾳ λέγομεν ἐπιφωνεῖν Ἰσοκράτης Παναθηναϊκῷ, ἀντὶ δὲ τοῦ ἐπισφραγίσαι Ἰσαῖος ἐν τῇ ἐξούλης Καλυδῶνι πρὸς Ἁγνόθεον ἀπολογίᾳ. quae decurtata repetuntur a Suid. v. ἐπισημαίνεσθαι et Zon. Lex. p. 842.

1—3. Harpocr. p. 83, 24. Suid. v. ἐπιτείχισμα. 1. γινόμενον] τειχιζόμενον Harp. et Suid. χωρίων] χωρίον recte Harpocr. Suidae libri inter χωρίον et χωρίων fluctuant. 2. ταῦτα ἐποίουν] δυνήσονται ποιεῖν τοὺς ἐπιτειχισθέντας Harp. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος] Demosth. 18, 71: ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν. 3. κατὰ Κτησιφῶντος ed. pr., ὑπὲρ Κτησιφῶντος cod. sicut Harpocr. et Suid. 4. ἐκκεκώφηται] dixit de hac forma Porsonus in Eur. Or. 1279. ubi addere licet ἐκκεκωφέαται Anacr. fr. 81 p. 792. ἐκκεκωφημένος Damasc. in Phot. Bibl. p. 350 b 37. ἐκκεκωφημένοι τὰ ὦτα Psell. de operat. daem. p. 5. 8. κεκαλωπισμένη primitus cod., sed alterum λ insertum a pr. m. 9. Ἀριστοφάνης] Ar. Nub. 48. 11. αχμαίωνος sine spiritu cod., ubi λ a recenti manu additum videtur, Ἀλκμαίωνος ed. pr. 13—15 et p. 61, 1—3 in ed. pr. inverso leguntur ordine, ego codicem sequor. 13. κουρείας cod. cf. Phryn. Ecl. p. 60. Poll. 2, 26. 4, 143 al. 15. Θουκυδίδης] respici videtur Thuc. II, 84, 1: ἐν

60. ἐπιτιμηταί. οἱ τὸ πρῶτον τιμώμενοί τι τιμηταὶ ἐκαλοῦντο, οἱ δὲ τοῖς ἑξῆς ἔτεσι τὰ αὐτὰ τιμώμενοι ἐπιτιμηταὶ ἐκαλοῦντο. Λυσίας ἐν τῷ κατὰ Διογένους.

61. ἐκπαλαίει ἀντὶ τοῦ ἔξω τοῦ νόμου παλαίει. Θεολόγος εἰς τὸν περὶ ἱερωσύνης.

62. ἐκαποδυώμεθα ἀντὶ τοῦ ἐπιχειρήσωμεν.

63. ἐπικάθηται ἀντὶ τοῦ ἐπάνω κάθηται, καὶ ἀντὶ τοῦ ἐπικρέμαται. Προκόπιος· ἵνα μηδεὶς φόβος ἐπικάθηται Ταραντίνοις.

64. ἐτιμήσασθε ἀντὶ τοῦ ἠγοράσατε. Θουκυδίδης· ἣν ὑμεῖς πολλῶν χρημάτων ἐτιμήσασθε.

65. ἔγημεν ὁ ἀνήρ, ἐγήματο ἡ γυνή.

66. ἐπιδώσει ἀντὶ τοῦ αὐξηθήσεται. Χρυσόστομος· καὶ ἡ ἐκκλησία εἰς πλῆθος ἐπιδώσει. καὶ ἐπιδώσει ἀντὶ τοῦ ἁπλῶς δώσει. καὶ ἐπιδώσει ἀντὶ τοῦ ἐκ δευτέρου δώσει. Ἡσίοδος· οὐκ ἐπιμετρήσει οὐδ' ἐπιδώσει.

67. ἐπίγαμος ὁ καιρὸν ἔχων γάμου. Ἡρόδοτος· ὅσαι μὲν

χρῷ ἀεὶ παραπλέοντες. contra ἐν χρῷ γενέσθαι τοῦ κινδύνου dixit Synesius Epist. 4 p. 162 D.

1—3. Harpocr. p. 83, 21. cf. Suid. v. ἐπιτιμητάς. 1. ἐπιτιμηταί] ἐπιτιμητάς Harpocr. οἱ] οἱ μὲν Harpocr. τιμώμενοι τί cod., τιμώμενοί τι ed. pr. 2. ἐπιτιμηταὶ ἐκαλοῦντο] ἐπιτιμηταί Harpocr. 4. θεολόγος εἰς τὸν περὶ ἱερωσύνης] Greg. Naz. Orat. I p. 35 B: ἀπολεῖ τὴν νίκην ὁ ἐκπαλαίων ἢ ἄλλο τι μὴ καλῶς ἀγωνιζόμενος.
6. eadem Suidas, ubi haec accedunt: Ἀριστοφάνης (Lys. 615)· ἀλλ' ἐκαποδυώμεθα τουτῳὶ τῷ πράγματι. 7. 8. cf. Suid. v. ἐπικάθηται.

8. Προκόπιος] immo Polybius VIII, 34 p. 598, 29 ed. Bekk. φόβος ἐπικάθηται] ἔτι φόβος ἐπικάθηται τοῖς Polyb. 9. 10. eadem Suid. v. ἐτιμήσασθε. cf. infra E, 194. 9. Θουκυδίδης] Thuc. I, 33, 2.

10. πολλῶν χρημάτων] ἂν πρὸ πολλῶν χρημάτων καὶ χάριτος Thuc.

11. cf. Γ, 3 et praeter alios Valck. Animadv. ad Ammon. p. 59.

14. Ἡσίοδος] Hesiodus Op. 396 sq.: ἐγὼ δέ τοι οὐκ ἐπιδώσω οὐδ' ἐπιμετρήσω. 16. Ἡρόδοτος] Herodot. I, 196, 3. ὅσαι μὲν] ὅσαι μὲν δὴ Herodot.

ἔσχον εὐδαίμονες τῶν Λακεδαιμονίων ἐπίγαμοι, ὑπερβάλλοντες ἀλλήλους ἐξωνέοντο τὰς καλλιστευούσας.

68. εὐήθης καὶ εὐήθεια παρὰ τοῖς παλαιοῖς καὶ ἐπὶ ἐπαίνου λαμβάνεται. Δημοσθένης· οὐκ ᾤετο δεῖν τῆς ἡμετέρας εὐηθείας ἀπολαύειν.

69. ἐπίσημος ἐπὶ καλοῦ. Ἱμέριος· τὸ δὲ τοῦ γένους ἐπίσημον οὐκ ὠμός τις, ὥσπερ Πελοπίδαι φασί. καὶ ἐπὶ κακοῦ. Εὐριπίδης· ἐπίσημον Τυνδάρεως εἰς τὸν ψόγον γένος.

70. εὐθύωρον τὸ κατ' εὐθεῖαν. Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα.

71. εὐοφθάλμως ἀντὶ τοῦ εὐπρεπῶς.

72. ἐξέστησεν ἀντὶ τοῦ ἐξέπληξε. καὶ ἀντὶ τοῦ μετήγαγεν. ἢ γὰρ ἀρετῆς ὕψος εἰς ἀπάθειαν ἐξέστησε τὴν ψυχὴν ἢ πάθους μέγεθος εἰς ἀναλγησίαν.

73. ἐξέθανε παρὰ ῥήτορσιν ἀντὶ τοῦ βιαίως ἀποθανεῖν.

74. ἐπεξέρχεται ἀντὶ τοῦ κολάζει. καὶ ἀντὶ τοῦ λίαν κινεῖται. Συνέσιος· ὥσπερ οἱ ποταμοὶ ταῖς δοθείσαις ὁδῶν ἀφορμαῖς ἀπληστότερον ἐπεξέρχονται. καὶ ἐπεξέρχεται ἀντὶ τοῦ ἐπεξεργαστικῶς διηγεῖται.

---

1. τῶν Λακεδαιμονίων] τῶν Βαβυλωνίων Herodot. 4. Δημοσθένης] Demosth. 24, 52. τῆς ἡμετέρας εὐηθείας] τῆς εὐηθείας τῆς ὑμετέρας Dem. 6. Ἱμέριος] Himerius Orat. XXVII, 6: τὸ δὲ τοῦ γένους ἐπίσημον οὐκ ὠμ...., cuius loci supplementum hic lexicographus praebet. 7. ὦμος τίς cod., ὠμός τις ed. pr. Εὐριπίδης] Eur. Orest. 249. 8. ἐπίσημον] ἐπίσημον ἔτεκε Eur. Τυνδάρεος cod., sed -ως pr. 9. 10. Harpocr. p. 89, 1. ubi haec accedunt: τὸ ὄνομα καὶ παρὰ Ξενοφῶντι ἐν β' Ἀναβάσεως. cf. Phot. Lex. p. 32, 8. Suid. v. εὐθυωρόν. 9. εὐθείας ed. pr. cum Zon. Lex. p. 924, εὐθεῖαν cod. sicut Harp. et al. 11. Harpocr. p. 89, 16. ubi auctor affertur Ἀντιφῶν ἐν τῷ περὶ ταώνων. 12. ἐξέπληξεν ed. pr., ἐξέπληξε cod.
13. 14. ἢ γὰρ ἀρετῆς — εἰς ἀναλγησίαν] locus Plutarchi Public. c. 6.
15. verba ἀντὶ τοῦ bis in codice scripta sunt, primum in fine paginae, tum in novae paginae initio. 17. Συνέσιος] Synesius de regno c. 3 p. 6 C.

75. ἐπιτήδειος ἀπωλείας ἀντὶ τοῦ ἄξιος. καὶ τούτους οὖν ἐπιτηδείους ἀπωλείας ἐθέμεθα.

76. ἐνδεῖν ἀντὶ τοῦ ἐλλείπεσθαι. καὶ χρημάτων καὶ στρατιωτῶν ἐνδεῖν αἰσχρόν.

77. ἐπεξῆλθον ἀντὶ τοῦ κατέφυγον. Ἡρόδοτος· κατὰ δὲ ἀετὸν ἐπάνω πύργων τῆς ῥαχίας τοῦ ὄρεος ἐπεξῆλθον οἵ τε ἐπίκουροι καὶ αὐτῶν Σαμίων συχνοί.

78. εἶναι ἀπαρέμφατον μετὰ αἰτιατικῆς συντασσόμενον καὶ δοτικῇ συντάσσεται, εἰ προηγμένην ἔχει δοτικῆς σύνταξιν. Εὐριπίδης· νῦν δ' ἀναγκαίως ἔχει δούλοισιν εἶναι τοῖς σοφοῖσι τῆς τύχης. καὶ Συνέσιος· οἷς αἱ τυραννίδες ἐπέτρεπον οὕτω πάνυ πονηροῖς εἶναι.

79. ἔμπηρος ὁ ἀνάπηρος. Ἡρόδοτος· καὶ οὕτως αἱ εὔμορφοι τὰς ἀμόρφους καὶ ἐμπήρους ἐξεδίδοσαν.

80. ἐπείγω ἕτερον καὶ κατεπείγω μετὰ προθέσεως. καὶ ἐπείγω ἀντὶ τοῦ ἐπείγομαι. Εὐριπίδης· ἔπειγ' ὡς μή σε ψῆφος Ἀργείων ἕλοι.

81. ἐπίγαμος ὁ εἰς γάμου ἡλικίαν φθάσας. Κύπριος· ὁ δεῖνα ἡμέτερος θυγατέρα ἔχων ἐπίγαμον καὶ ἄνδρα ῥᾳδίως αὐτῇ μὴ δυνάμενος ἐκ πενίας ἀγαγέσθαι.

82. ἔμενον ἀντὶ τοῦ ἐξεδέχοντο. Ἡρόδοτος· οἱ δὲ Βαβυλώνιοι ἐκστρατευσάμενοι ἔμενον αὐτόν.

---

1. 2. καὶ τούτους — ἐθέμεθα] e Bruti Epist. 43 p. 16 ed. Westerm. 2. ἀπωλείας] παντελοῦς ἀπωλείας Bruti Epist. 3. 4. καὶ χρημάτων — αἰσχρόν] e Bruti Epist. 48 p. 17 ed. Westerm. 5. Ἡρόδοτος] Herodot. III, 54, 2. 6. ἀετὸν (ἀετῶν pr. cod.) ἐπάνω πύργων] τὸν ἐπάνω πύργον τὸν Herodot. ῥαχίας] ῥάχιος Herod. ὄρεος] οὔρεος ἐπεόντα Herod. 9. Εὐριπίδης] Eur. Orest. 715 sq. 11. Συνέσιος] Synesius Epist. 6 p. 171 A. 13. Ἡρόδοτος] Herodot. I, 196, 4. οὕτως] οὕτω Herod. 16. Εὐριπίδης] Eur. Orest. 799. μή σε] μή σε πρόσθε Eur. 17. ἕλοι] ἕλῃ Eur. 21. Ἡρόδοτος] Herodot. I, 190, 2.

83. εἰσέχων ἀντὶ τοῦ εἰσερχόμενος. Ἡρόδοτος· κόλπος θαλάττης εἰσέχων ἐκ τῆς ἐρυθρῆς καλεομένης θαλάσσης.

84. ἐς τοῦτο ἀντὶ τοῦ μέχρι τούτου. Ἡρόδοτος· ὁ μὲν δὴ τοῦ Ἀμμωνίου Ἐτεάρχου λόγος ἐς τοῦτό μοι δεδηλώσθω.

85. εὐοδία ἡ εὐκινησία. ὁ μέγας Βασίλειος· καὶ τὴν εἰς πάντα τὸν βίον εὐοδίαν τὴν εἰς τὰ πνευματικὰ προτιμότερα ποιουμένοις διδούς.

86. ἑψεῖν βρῶμα λέγεται καὶ ἑψεῖν χύτραν. Χρυσόστομος· ἀλλ' ἱμάτιον πλῦναι καὶ πῦρ ἀνακαῦσαι καὶ χύτραν ἑψεῖν.

87. ἐξορύττηται τὸν ὀφθαλμὸν καὶ χωρὶς προσθήκης τοῦ ὀφθαλμὸν εἰς ὀφθαλμὸν λαμβάνεται. Χρυσόστομος· μακάριος οὗτός ἐστι, κἂν ἐξορύττηται κἂν καίηται.

88. ἐπιχώριον λέγεται τὸ σύνηθες τῷ τόπῳ. Ἀριστοφάνης· ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον. καὶ Ἱμέριος· αἱ Μοῦσαι τοῖς ἐπιχωρίοις ἑκάστοτε λόγοις τοὺς ἐπιφοιτῶντας ξένους ξενίζουσιν.

89. ἔστων ἀντὶ τοῦ ἔστωσαν. Λιβάνιος· ἀλλ' ἔστων καὶ μεγάλαι καὶ καλαὶ καὶ θαυμασταί.

90. ἐκλύει ἀντὶ τοῦ χαυνοῖ, ὅθεν καὶ ἔκλυσις ἡ πάρεσις καὶ χαύνωσις. Χρυσόστομος· οὐ τὸν τόνον τῆς ψυχῆς ἐκλύων. λέγεται καὶ ἐκλύει ἀντὶ τοῦ ἐλευθεροῖ, ὅθεν καὶ ἔκλυσις ἡ ἐλευθερία. Σοφοκλῆς· πέμψασιν ἡμῖν ἀντέπεμψεν ἔκλυσιν μόνην ἂν ἐλθεῖν τοῦδε τοῦ νοσήματος.

---

1. Ἡρόδοτος] Herodot. II, 11, 1. 1. 2. θαλάττης εἰσέχων] θαλάσσης ἐσέχων Herod. 3. Ἡρόδοτος] Herodot. II, 33, 1. 4. τοῦτο μοι cod., τοῦτό μοι ed. pr. 6. τὴν εἰς τὰ] τοῖς τὰ expectes. 8. ἑψεῖν utroque loco cod. 9. ἑψεῖν cod. 11. verba εἰς ὀφθαλμὸν in ed. pr. uncis inclusa sunt. 11. 12. οὗτος ἐστι ed. pr., οὗτος ἐστὶ cod. 13. Ἀριστοφάνης] Ar. Plut. 47. 14. ὑιὸν ed. pr., υἱὸν cod. 15. ξενίζουσι ed. pr., ξενίζουσιν cod. 16. Λιβάνιος] Libanius Decl. vol. 4 p. 66, 4. 18. χαυνεῖ cod. παρέσις cod., πάρεσις ed. pr. 21. Σοφοκλῆς] Soph. Oed. R. 306 sq. ἀνελθεῖν ed. pr., ἂν ἐλθεῖν cod. sicut Soph.

91. ἐπῆρεν ἀντὶ τοῦ κατέπεισεν. Ἀριστοφάνης· εἴθ' ὤφελεν ἡ προμνήστρι' ἀπολέσθαι κακῶς, ἥτις μ' ἐπῆρε τὴν σὴν γῆμαι μητέρα. καὶ ἐπῆρεν ἀντὶ τοῦ ἀνύψωσε. Σοφοκλῆς· τί τὴν ἄβουλον, ὦ ταλαίπωροι, στάσιν γλώσσης ἐπήρατε;

92. ἐφίεμαι ἀττικῶς αἰτιατικῇ. Σοφοκλῆς· ἀλλὰ πρὸς τί τοῦτ' ἐφίεσαι;

93. εὐωχοῦμαι παθητικῶς, καὶ ἐνεργητικῶς εὐωχῶ. Συνέσιος· τὰ δὲ μειράκια ἐπὶ κωβιοῖς εὐώχει καὶ ἰούλοις.

94. ἐστήξει ἀντὶ τοῦ σταθήσεται. Συνέσιος· ὀρθῶς ἑστήξει καὶ παρέξει σοι τὰς κατατομὰς ἀριθμεῖν. καὶ ἐστήξει ἕτερον μεταβατικῶς. Θουκυδίδης· ἐστήξαντες τὰ τείχη.

95. ἐξηρημένος ὁ ἐκλελεγμένος. Ἀριστείδης· χῶρός τις ἀνθρώπων ἴδιος ἐκ πάσης γῆς ἐξῃρημένος.

96. ἔλεος θεοῦ καὶ ἔλεος ἀνθρώπων ὁ ἀπὸ θεοῦ τοῖς ἀνθρώποις, καὶ ἕτερα οὕτω πλεῖστα λέγονται. Σοφοκλῆς· φθίνοντα γὰρ

---

1. Ἀριστοφάνης] Ar. Nub. 41 sq. ὤφελεν] ὤφελ' Ar. 2. 3. ἥτις μ' ἐπῆρε τὴν σὴν γῆμαι μητέρα] ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα Aristophanis libri, quod saltem γῆμαι ἐπῆρε vel γῆμαι 'πῆρε scribendum erat (vide quae exposui in Observat. crit. de trag. Graec. fragm. p. 45 sq.); sed probabilius iudico poetam dixisse ἥτις με γῆμαι σὴν ἐπῆρε μητέρα. 3. Σοφοκλῆς] Soph. Oed. R. 634 sq. σὴν ἄβουλον ed. pr., τὴν ἄβουλον cod. ut Sophoclis libri. poetam scripsisse τήνδ' ἄνολβον suspicamur, ubi τήνδ' Heimsoethius suasit *Krit. Studien zu den Griech. Trag.* I p. 112, ἄνολβον Herwerdenus Exercit. crit. p. 115. 4. ἐπήρατε] ἐπήρασθ' meliores libri Sophoclei. 5. Σοφοκλῆς Soph. Oed. R. 766. 7. Συνέσιος] Synesius Epist. 4 p. 167 C.

8. κωβιοῖς] κωβίοις Synes. ed., quo de accentu Arcad. p. 42, 3. εὐώχει] εὐτυχεῖ Synes. ed., sed γρ. εὐωχεῖ in margine adnotatur. 9. Συνέσιος] Synesius Epist. 15 p. 175 A. 11. ἐστήξαντες ed. pr. quem Thucydidis locum lexicographus spectet ignoro. 12. Ἀριστείδης] Aristid. vol. 1 p. 163. χῶρος τίς cod., χῶρός τις ed. pr.

15. λέγεται ed. pr., λέγονται cod. Σοφοκλῆς] Soph. Oed. R. 906: φθίνοντα γὰρ Λαΐου θέσφατ' ἐξαιροῦσιν ἤδη. ita meliores libri; in deterioribus παλαιὰ Λαΐου vel Λαΐου παλαιὰ legitur.

παλαιὰ Λαΐου θέσφατα. οὐ τὰ θέσφατα τοῦ Λαΐου, ἀλλὰ τὰ ἀπὸ θεοῦ τῷ Λαΐῳ.

97. ἐργάζομαι τὸν ἄνθρωπον ἀγαθά, ἀττικῶς. Λιβάνιος· ἄνθρωπος πλεῖστα μὲν ἀγαθὰ τὸν Ἀλέξανδρον εἰργασμένος.

98. ἐπιτέτραμμαι αἰτιατικῇ συντάσσεται. Λουκιανός· τὰ κατὰ τὴν Φοινίκην ἐπιτετραμμένῳ, ἀντὶ τοῦ ἐπιτροπὴν τῶν κατὰ Φοινίκην σχόντι.

99. ἐξ πρόθεσις σημαίνει καὶ τὸ ἄνω, ὡς τὸ ἐξωγκώθη.

100. ἐξεστηκὼς οἶνος καὶ ἐκτροπίας λέγεται.

101. ἐπίρρητος ἐπὶ κακοῦ λέγεται ἀντὶ τοῦ ἐπίψογος.

102. ἐπιλανθάνομαι γενικῇ, ἐνίοτε δὲ καὶ αἰτιατικῇ.

103. ἐπήβολος ὁ μέτοχος. Ἡρόδοτος· τούτων δὲ ἔφη ἐπήβολος γενόμενος τοῦ λοιποῦ ἀμήνιτος εἶναι.

104. ἐκποιεῖται ἀντὶ τοῦ πιπράσκει.

105. ἐπιμανὴς ὁ μαινόμενος. Μάξιμος· τίς οὕτως ἀνόητος καὶ ἐπιμανὴς καὶ κακοδαίμων;

106. ἐκ πρόθεσις συντάσσεται καὶ μετὰ γενικῆς καὶ δοτικῆς τῶν δυικῶν. Μάξιμος· κατὰ τὴν Ὁμήρου ᾠδὴν ἐκ τοῖν πίθοιν τούτοιν ἀρυόμενος.

107. ἐν πρόθεσις σημαίνει καὶ τρόπον, οἷον ἐν κλαυθμοῖς ψάλλει, ἀντὶ τοῦ κλαίων. Δίων· ἀλλ' εἶπεν ὅτι οὐ δύνασαι δειπνεῖν ἐν τῷ δέρματι, ἀντὶ τοῦ δέρμα περικείμενος.

---

3. Λιβάνιος] Libanius Decl. vol. 4 p. 96, 24. 5. Λουκιανός] Lucianus Calumniae non temere cred. c. 2 vol. 3 p. 127. 6. ἐπιτετραμμένῳ] ἐπιτετραμμένον Lucianus. 9. cf. E, 35. 11. ἐνιότε ed. pr., ἐνίοτε cod. 12. Ἡρόδοτος addidi ad explendum spatium in codice relictum. Herodotea enim sunt quae afferuntur verba, vide IX, 94, 3. 15. Μάξιμος] Maximus Tyr. V, 1 vol. 1 p. 67. 18. Μάξιμος] Maximus Tyr. V, 3 vol. 1 p. 70. 19. ἀρρυόμενος cod., ἀρυόμενος ed. pr., ἀρυτόμενος Maximi cod. Reg. 21. Δίων] Dio Chrysost. Orat. VII, 62 (vol. 1 p. 123, 5 ed. L. Dind.). εἶπεν] εἶπον in Dione ed., sed εἶπεν libri BMN.

108. ἐκφορὰ ἡ κηδεία. καὶ ἐκφέρει ἀντὶ τοῦ κηδεύει. συνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν καὶ ξένων, καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι ἐπὶ τὸν τάφον.

109. ἐκπετάσας ἀμεταβάτως. καὶ ἐκπετάσας μεταβατικῶς. Λουκιανός· ἐκπετάσας οὖν τὸν πώγωνα.

110. ἑτέρωσε ἀντὶ τοῦ εἰς ἕτερον μέρος. Ἀριστείδης· οὐδ' ἑτέρωσε φέρουσαν ὁδὸν προειλόμεθα. ὅμοιον τὸ ὁποτέρωσε ἀντὶ τοῦ εἰς ὁποῖον μέρος. Θεολόγος· οὕτω κἂν τούτοις ὁποτέρωσε νεύσει τις.

111. ἐνέγκω σημαίνει τὸ ὑπομένω καὶ τὸ κομίζω.

112. ἔστησαν ἀντὶ τοῦ ἐστάθησαν καὶ ἀντὶ τοῦ σταθῆναι ἐποίησαν. τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι.

113. ἐπίλοιπον γράφεται κοινῶς. Πίνδαρος· ἡμέραι δ' ἐπίλοιποι. καὶ Λυσίας· καὶ τοὺς προσήκοντας αὐτὸν ἐλεεῖ τοῦ ἐπιλοίπου βίου. ἀττικῶς δὲ ὑπόλοιπον. Ἀριστοφάνης· οὐκοῦν ὑπόλοιπόν σοι τὸ βάραθρον γενήσεται.

114. ἐμποδὼν καὶ ἀντὶ τοῦ ἔμπροσθεν. Δίων· διὰ μὲν γὰρ

1—3. συνεκφέρει δὲ — ἐπὶ τὸν τάφον] Thucydidis locus II, 34, 4. 1. συνεκφέρει] ξυνεκφέρει Thuc. 5. Λουκιανός] Lucianus Timon. c. 54 vol. 1 p. 169. οὖν] γοῦν Luc. 6. Ἀριστείδης] Aristid. vol. 1 p. 154. 8. Θεολόγος] Greg. Naz. Orat. I p. 15 C. κἂν cod., κὰν ed. pr. νεύσ... τίς ed. pr., νεύσει τίς cod. 11. τρισαριστέως — οἱ πολέμιοι] Hermogenis locus, v. Rhet. Gr. vol. 3 p. 4, 6 sive p. 24, 5. ceterum pro τρισαριστέως rectius τρὶς ἀριστέως scripseris: qua de re nonnulla dixi in Aristoph. Byz. p. 177 sq., alia Lobeckius Pathol. elem. I p. 584 sqq., qui tamen nec rem exhausit nec recte ubique iudicavit. 12. Πίνδαρος] Pind. Ol. 1, 33. ἡμέραι] ἀμέραι vel ἁμέραι Pindari libri. 13. Λυσίας] Lysias 2, 71. αὐτὸν] αὐτῶν Lysias. ἐλεῖ ed. pr., ἐλεεῖ cod., ἐλεεῖν Lysias. 14. ἀττικῶς δε cod., ἀττικῶς δὲ ed. pr. Ἀριστοφάνης] Ar. Plut. 431: οὔκουν ὑπόλοιπον τὸ βάραθρόν σοι γίγνεται; ita editur. sed γενήσεται praebet cod. Ven. unde vide an σοι delendum sit. 16. ἔμπροθεν ed. pr., ἔμπροσθεν cod. deinceps lacunam codicis addito Δίων nomine explevi. Δίων] Dio Chrysost. Orat. III, 105 (vol. 1 p. 58, 9 ed. L. Dind.).

τῶν ὀφθαλμῶν μόλις ἔστιν ὁρᾶν τὰ ἐμποδών, διὰ δὲ τῶν φίλων καὶ τὰ ἐπὶ γῆς πέρασι θεάσασθαι.

115. εὐθὺς δὲ ἀντὶ τοῦ καὶ γάρ. Δίων· μόνη δὲ φιλοσοφίᾳ συμβέβηκεν ἁπάντων εἶναι συμφορώτατον, ἁπάντων δὲ ἥδιστον. εὐθὺς δέ, οἶμαι, τῶν ἀναγκαίων τὰ μέγιστα, ὅπλα καὶ τείχη καὶ στράτευμα καὶ πόλεις, ἄνευ τῶν διοικούντων φίλων οὔτε χρήσιμα οὔτε συμφέροντα, ἀλλὰ καὶ λίαν ἐπισφαλῆ.

116. ἐπὶ πρόθεσις μετὰ χρόνου κειμένη καὶ ποσότητα ἀριθμοῦσα. κατὰ αἰτιατικὴν ταύτην ἐκφέρει Ἡρόδοτος· ἐπὶ μέν νυν ὀκτὼ καὶ εἴκοσιν ἔτεα ἦρχον τῆς Ἀσίης οἱ Σκύθαι.

117. ἐπιβάλλει ἀντὶ τοῦ ἁρμόζει. Ἀριστείδης· διδόντων καὶ λαμβανόντων ἐκ τῶν αὐτῶν τὰ ἐπιβάλλοντα ἑκατέροις. καὶ ἐπιβάλλει ἀντὶ τοῦ νοεῖ. Χρυσόστομος· τοῖς ὀξύτερον ἐπιβάλλειν δυναμένοις καὶ ἐκ τῆς ἀναγνώσεως δῆλόν ἐστι τὸ εἰρημένον. καὶ ἀντὶ τοῦ ἐπιτίθησι. θεολόγος· ἢ δεῖ καθάπερ τοὺς ἐπιμελεῖς τῶν ζωγράφων πολλάκις ἐπιβάλλειν τὰ χρώματα.

118. ἔφεσις ἡ ἐπιθυμία. καὶ ἔκκλητος. Ἀριστείδης· πρὸς τὰς νῦν προσοικούσας τῷ τόπῳ θεὰς καταφυγὼν καὶ δοὺς ὥσπερ ἔφεσιν εἰς τὴν πόλιν.

119. ἐπαγωγὸν τὸ ἀπατηλόν. καὶ ἐπαγωγὸν τὸ διακομιστι-

---

1. ἔστιν ὁρᾶν] ὁρᾶν ἔστι Dio Chrys. 2. ἐπὶ γῆς πέρασι θεάσασθαι] ἐν τοῖς γῆς πέρασι θεᾶσθαι Dionis Chr. ed., sed ἐπὶ γῆς πέρασι θεάσασθαι libri plerique. θεάσαθαι ed. pr. 3. iterum Δίων addidi, prout spatium in codice relictum flagitabat. Δίων] Dio Chrys. Orat. III, 94 (vol. 1 p. 56, 20 ed. L. Dind.). μόνη δὲ φιλοσοφία cod., μόνη δὲ τῇ φιλίᾳ Dio Chrys. 4. ἁπάντων] ἁπάντων μὲν Dio Chr. 5. δὲ om. Dionis Chr. editores cum cod. C. τύχη cod., τείχη Dio Chrys. 6. στράτευμα] στρατεύματα Dio Chr. 9. Ἡρόδοτος] Herodotus I, 106, 1. 11. Ἀριστείδης] Aristid. vol. 1 p. 170.
14. δῆλον ἔστι cod., δῆλόν ἐστι ed. pr. 15. θεολόγος] Greg. Naz. Orat. VI p. 137 B. ἔδει ed. pr., ἢ δεῖ cod. sicut Greg. Naz.
17. Ἀριστείδης] Aristid. vol. 1 p. 172. 18. προσοικούσας] προσοίκους Aristid. θεὰς] θεὰς σεμνὰς vel σεμνὰς θεὰς Aristid.

κόν. Γοργίας· αἱ γὰρ ἔνθεοι διὰ λόγων ἡδοναὶ ἐπαγωγοὶ ἡδονῆς, ἀπαγωγοὶ λύπης γίνονται.

120. ἐπήγγειλεν ἀντὶ τοῦ προσέταξε. Συνέσιος· ἔλυσα τὴν ἐκκλησίαν καὶ εἰς τετάρτην ἥκειν ἐπήγγειλα. καὶ Λυσίας· ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐξ ὀλίγων ἡμερῶν λέγειν.

121. ἐπὶ πρόθεσις συντασσομένη δοτικῇ σημαίνει καὶ τὸ ἐντός. Εὐριπίδης· τίνα τόνδ' ἐπὶ σκηναῖσιν ὁρῶ. σημαίνει καὶ τὴν ἐπάνω σχέσιν καὶ πλησιότητα. Ἀριστοφάνης· ἐπὶ ταῖς τοῦ Πλούτωνος οἰκοῦσι θύραις. καὶ αἰτίαν.

122. ἐπισχόντες ἀντὶ τοῦ προσμείναντες. Ἡρόδοτος· χειρωσάμενοι δὲ τὴν Ἐρέτριαν καὶ ἐπισχόντες ὀλίγας ἡμέρας ἔπλεον ἐς γῆν τὴν Ἀττικήν.

---

1. Γοργίας] Gorgias Helen. encom. p. 95. ἡδοναὶ] ἐπῳδαὶ ex AB edidit Bekker, ὁμιλίαι scribendum esse probabiliter coniecit Theodorus Gomperz. 3. Συνέσιος] Synesius Epist. 67 p. 209 A. 4. Γοργίας cod., Λυσίας scripsi. quae enim afferuntur verba Lysiae sunt vel si quis alius ἐπιτάφιον τοῖς Κορινθίων βοηθοῖς composuit. hoc vidit Bergkius, qui in indice scriptorum rem miram narrat. *Gorgiae nomine*, ait, *appellat hic lexicographus scriptorem orationis funebris, quam aliis locis ipse Lysiae tribuit.* nimirum Bergkius cum ter in Lexico Vind. Gorgiam memorari vidisset, ex uno loco, quo Gorgias et Lysias confunduntur, de ceteris coniecturam fecit eamque coniecturam quamvis inanem tanquam rem exploratam proposuit. interea Γοργίας pro Λυσίας scriptum hoc loco a librario, qui ad praegressum in gl. 119 Gorgiae nomen aberrarit. velut Flor. Monac. in Stob. Flor. ed. Meinek. vol. 4 p. 283, 22 Ἰσοκράτης ὁ Ῥωμαϊκὸς pro Κάτων ὁ Ῥωμαϊκὸς ideo scriptum praebet, quod paucis versibus ante de Isocrate quaedam traduntur. Λυσίας] Lys. 2, 1. 5. ἐπηγγείλασιν ed. pr., ἐπαγγείλασιν cod., ἐπαγγείλασιν ἐπ' αὐτοῖς Lysias. 7. Εὐριπίδης] Eur. Hec. 733. τίνα τήδ' ed. pr., τίνα τόνδ' cod., τίν' ἄνδρα τόνδ' Eur. σκηναῖσιν] σκηναῖς Eur. 8. Ἀριστοφάνης] Ar. Ran. 163. ταῖς] ταῖσι Ar. 9. οἰκοῦσι] οἰκοῦσιν Ar. 10. Ἡρόδοτος] Herodotus VI, 102, 1. 12. γῆν om. plerique Herodotei libri.

123. ἐπίκαιρος φίλος λέγεται. Ἀριστείδης· καλέσας δὲ τῶν φίλων τοὺς ἐπικαίρους φράζω τὸ πρόσταγμα.

124. ἔστιν ὅτε ἀντὶ τοῦ ἐνίοτε. καὶ γεωργίαν ἔστιν ὅτε καὶ ναυτιλίαν ἐμποδίζει καιρός.

125. ἑλκτά εἰσιν ὅσων δυνατὸν εἰς πλάγιον μεθίστασθαι τὸ ἐπίπεδον συνεχὲς ὄν, οἷον θρίξ, ἱμάς, νεῦρον, σταίς· ἄνελκτα δὲ ὅσα μανά, οἷον ὕδωρ, λίθος.

126. εὔχομαι τῷ ἀνθρώπῳ καὶ εὔχομαι τῷ θεῷ. Μάξιμος· εὔχεται Σατύρῳ μὲν οὐκέτι, θεοῖς δὲ καὶ θεαῖς.

127. ἐκδέχομαι ἀντὶ τοῦ νοῶ. Μάξιμος· πρὸς ἡδονὴν τὸν χρησμὸν ἐκδεξάμενος διέβη Ἅλυν, κατέλυσε μεγάλην ἀρχήν.

128. ἐγκρῖναι ἀντὶ τοῦ συναριθμῆσαι. Συνέσιος· ὡς ἥδιστ' ἂν εἰσποιῆσαι φιλοσοφίᾳ καὶ τοῖς γνησίοις ἐγκρῖναι.

129. εὔελπι γράφουσιν οἱ Ἀττικοὶ ἐπὶ οὐδετέρου. Ἰουλιανός· τὸ μὲν εὔελπι κεκτῆσθαι καὶ τὰ δέοντα πράττειν. οὕτω καὶ τὸ δύσερι καὶ ἕτερα.

130. ἐπιφοροῦντες ἀντὶ τοῦ ὕλην πυρὸς συνάγοντες. Μάξιμος· καὶ θύουσι Πέρσαι πυρί, ἐπιφοροῦντες αὐτῷ τὴν πυρὸς τροφήν. λέγεται δὲ καὶ ἐπὶ ἄλλων τινῶν συνάξεως.

---

1. Ἀριστείδης] Aristides vol. 1 p. 542. 3. ἐνιότε ed. pr., ἐνίοτε cod. 3. 4. καὶ γεωργίαν — ἐμποδίζει καιρός] Bruti Epist. 16 p. 9 ed. Westerm. 5. μεθίσταθαι ed. pr., μεθίστασθαι cod. 6. σταῖς ed. pr., σταίς cod. ἀνέλεκτα cod., ἄνελκτα ed. pr. 8. Μάξιμος] Maximus Tyr. XI, 1 vol. 1 p. 188. 9. Σατήρῳ cod., Σατύρῳ Max. Tyr. θεοῖς δε cod., θεοῖς δὲ ed. pr. 10. Μάξιμος] Maximus Tyr. XI, 2 vol. 1 p. 190. 10. 11. πρὸς ἡδονὴν τὸν χρησμὸν ἐκδεξάμενος] ἐκδεχόμενος πρὸς ἡδονὴν τὸν χρησμὸν Max. Tyr. 11. κατέλυσε] καὶ κατέλυσε Max. Tyr. 12. Συνέσιος] Synesius Epist. 1 p. 159 B. 13. ἂν] ἂν αὐτὸν Synes. φιλοσοφία cod., φιλοσοφίᾳ Synes. 14. Ἰουλιανός] Iulianus Epist. 53 p. 440 A. 17. Μάξιμος] Maximus Tyr. VIII, 4 vol. 1 p. 136. 18. τὴν om. ed. pr., agnoscit codex cum Maximo Tyr. consontiens.

131. ἐπῆρεν ἀντὶ τοῦ κατέπεισε παρ' Ἀριστοφάνει καὶ Ἡροδότῳ· Ἀθηναῖοι δὲ τούτοισιν ἐπαρθέντες παρέδοσαν.

132. ἐπισκοπώτερος γράφει Δίων· ἐπισκοπώτερος γάρ εἶναί μοι δοκεῖς.

133. ἐξαίρει ἀντὶ τοῦ ἐκβάλλει. καὶ ἀντὶ τοῦ νικᾷ. Ἀριστείδης· ἐξαίρει πᾶσαν ἀνθρώπων ἔννοιαν.

134. ἐξεπίτηδες ἀντὶ τοῦ ἐπὶ τοῦτο. Ἀριστείδης· τυράννους ἤδη τινὲς ἐξεπίτηδες.

135. ἔζεσεν ἐπὶ σκωλήκων, καὶ συντάσσεται γενικῇ. Ἡρόδοτος· ζῶσα γὰρ εὐλέων ἔζεσεν.

136. ἔσχεν ἐν στόματι ἀντὶ τοῦ ἐλοιδορεῖτο, κατελάλει. Ἡρόδοτος· Ἀθηναῖοι δὲ ἐκ Πάρου Μιλτιάδεα ἀπονοστήσαντα ἔσχον ἐν στόμασι οἵ τε ἄλλοι καὶ μάλιστα Ξάνθιππος.

137. ἔμπυρον μαντείαν Εὐριπίδης τὴν διὰ τοῦ πυρὸς ἐνεργουμένην λέγει· ὁ μέγας δὲ Βασίλειος ἔμπυρον τέχνην· οὐ μόνον ὅτι αἱ συνεκτικαὶ τῆς ζωῆς ἡμῶν τέχναι τῆς ἐμπύρου ἐργασίας ἐπιδέονται πᾶσαι.

138. ἐπιεικῶς ἀντὶ τοῦ λίαν. Μάξιμος· ἔστι δὲ ὁ Ἄτλας ὄρος κοῖλον ἐπιεικῶς ὑψηλόν. καὶ ἐπιεικῶς ἀντὶ τοῦ βεβαίως καὶ

---

1. Ἀριστοφάνει] Ar. Nub. 42, qui locus supra E, 91 allatus est. Ἡροδότῳ] Herodot. VI, 132. 3. Δίων] Dio Chrysost. Orat. IV, 48 (vol. 1 p. 72, 32 ed. L. Dind.). 3. 4. εἶναι μοι cod., εἶναί μοι ed. pr. 5. Ἀριστείδης] Aristides vol. 1 p. 829. 6. ἔννοιαν] ἄνοιαν Aristides, sed ἔννοιαν etiam infra E, 289 legitur. 7. ἐπιτοῦτο cod., ἐπὶ τοῦτο ed. pr. Ἀριστείδης] Aristides vol. 1 p. 831. 9. ἔζησεν ed. pr., ἔζεσεν cod. Ἡρόδοτος] Herodotus IV, 205. 10. ἔζεσεν] ἐξέζεσε Herod. 12. Ἡρόδοτος] Herodotus VI, 136, 1. Μιντιάδεα cod., Μιλτιάδεα ed. pr. 14. Εὐριπίδης] Eur. Phoen. 954: ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ, μάταιος. hinc scribendum suspicor: ἔμπυρον μαντείαν. Εὐριπίδης τὴν διὰ τοῦ πυρὸς ἐνεργουμένην λέγει ἔμπυρον τέχνην· ὁ μέγας δὲ Βασίλειος· οὐ μόνον κτέ. 18. Μάξιμος] Maximus Tyr. VIII, 7 vol. 1 p. 141. ἐστι ed. pr., ἔστι cod.

ἰσχυρῶς. Ἀριστείδης· τὰ δ' ἄλλα κοινὰ πρόκειται πᾶσιν ὡς εἰπεῖν τύχης δῶρα, εἰ δὲ βούλει ἀρετῆς· ὑπάρχει μὲν γὰρ καὶ τοῖς χείροσιν ἐξ ἀρχῆς, σώζεται δὲ ἐπιεικῶς τοῖς κρείττοσι. καὶ ἐπιεικῶς ἀντὶ τοῦ πράως.

139. ἕρπειν καταχρηστικῶς καὶ ἐπὶ τῶν ἐχόντων πόδας. Εὐριπίδης· εἰς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν. γράφεται καὶ ἐπὶ πτηνῶν. Αἰσχύλος· αἰετὸς ἄκλητος ἕρπων.

140. ἔρρεις ἀντὶ τοῦ ἐφθάρης. Εὐριπίδης· φεῦ μόχθων οἵων ὁ τάλας ὀρεχθεὶς ἔρρεις. καὶ ἔρρεις ἀντὶ τοῦ ἔρρεες. ἔρρει δ' αἷμα μυρίων νεκρῶν.

141. ἐν τῷδε ἀντὶ τοῦ τότε, αὐτίκα. Εὐριπίδης· μέλλων δὲ πέμπειν με Οἰδίπους κλεινὸς γόνος μαντεῖα Λοξίᾳ τ' ἐπ' ἐσχάραις, ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν. καὶ ἐν τῷδε ἀντὶ τοῦ διὰ τοῦτο. ὁ αὐτός· ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις.

141 b. ἐξωνεῖται τὴν ὕβριν ἀντὶ τοῦ ὠνῇ φεύγει τὴν ὕβριν. Ἀριστείδης· τίνας μάλιστ' εἰκὸς ἐξωνεῖσθαι τὰς κατηγορίας.

142. εἰς τόδε τῆς ἡμέρας ἀντὶ τοῦ εἰς τήνδε τὴν ἡμέραν. Εὐριπίδης· οὐ μεμπτὸς ἡμῖν ὁ γάμος ἐς τόδ' ἡμέρας.

---

1. ἰσχύρως ed. pr., ἰσχυρῶς cod. Ἀριστείδης] Aristides vol. 1 p. 247. ὡσειπεῖν cod., ὡς εἰπεῖν ed. pr. 3. ἐξαρχῆς ed. pr., ἐξ ἀρχῆς cod. 5. ἕρπει ed. pr., atque ita primitus codex, ubi ν postea additum est. Εὐριπίδης] Eur. Orest. 108. 7. Αἰσχύλος] Aesch. Prom. 1024: ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος. ubi αἰετὸς paulo ante v. 1022 legitur. ἄκλιτος cod., ἄκλητος Aesch. 8. Εὐριπίδης] Eur. Orest. 327 sq. 9. ὁ τάλας] partim sic partim ὢ τάλας Euripidis libri. 9. 10. ἔρρει δ' αἷμα μυρίων νεκρῶν] Eur. Phoen. 1471. 11. Εὐριπίδης] Eur. Phoen. 283—285. 12. Οἰδίπους] Οἰδίπου Eur. μαντεῖα Λοξίᾳ τ' ἐπ' ἐσχάραις] μαντεῖα σεμνὰ Λοξίου τ' ἐπ' ἐσχάρας Eur. 13. 14. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 14. ὁ αὐτός] Eur. Hec. 306. 15. 16. hanc glossam in margine codicis ab alia manu literis minutissimis additam om. ed. pr. scriptura lectu difficillima est, ita ut dubitem num singula quaeque recte assecutus sim. 18. Εὐριπίδης] Eur. Phoen. 425.

143. ἐπισκήπτω ἀντὶ τοῦ ὑποτίθημι. Εὐριπίδης· πόλει δὲ σοὶ ταῦτ' ἐπισκήπτω, Κρέον. καὶ ἐπισκήπτει κεραυνὸς ἀντὶ τοῦ καταπιμπρᾷ.

144. ἐγείρεται τῆς νυκτὸς ἐλλειπτικῶς ἀντὶ τοῦ κατὰ τὸν καιρὸν τῆς νυκτός. Ἀριστοφάνης· ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας ἐγείρεται τῆς νυκτός. τοιοῦτόν ἐστι καὶ τὸ πράττει τῆς ἡμέρας.

145. ἐπιτήδειος ὁ ἁρμοζόντως ἔχων τινί. Συνέσιος· ἅτ' ἐπιτήδειος ἀτυχεῖν ἄνθρωπος. καὶ ἐπιτήδειος ὁ φίλος. Λιβάνιος· συνδραμόντες δέ τινες τῶν ἐπιτηδείων ἐπέσχον καὶ κατεκράτησαν.

146. εἰσεχόντων ἀντὶ τοῦ εἰσερχομένων. Ἀριστείδης· κόλπων ὧν ἴσασιν ἄνθρωποι τῶν εἰσεχόντων ἀπὸ τῆς ἔξω θαλάττης. καὶ Δίων· κόλπος θαλάττης εἰσέχων ἐπὶ πολὺ τῆς χώρας.

147. ἐξορμᾷ ἀμετάβατον καὶ μεταβατικόν. Μάξιμος· δότω μοί τις ἡδονὴν οἵαν καὶ ἐπὶ σάλπιγγος ἁρμονίας ἐν μόνοις τοῖς ὁπλίταις τεταγμένην καὶ ἐξορμῶσαν τὰς ψυχὰς τῷ μέλει.

148. εἰς πρόθεσις λαμβάνεται καὶ εἰς δήλωσιν τελικοῦ αἰτίου. οἷον ἔπιε φάρμακον εἰς τὸ ὑγιᾶναι, ἦλθε πρὸς τὸ σχολεῖον εἰς τὸ μαθεῖν.

---

1. Εὐριπίδης] Eur. Phoen. 774. πόλιν ed. pr., πόλ cod., πόλει scripsi ex Eur. δέ ed. pr., δὲ cod. 2. σοι ed. pr., σοὶ cod., καὶ σοὶ Eur. ταῦτ.. ἐπισκήπτω ed. pr., ταῦτ' ἐπισκήπτω cod. 5. Ἀριστοφάνης] Ar. Nub. 8 sq. 6. τοιοῦτον ἐστὶ cod. 7. Συνέσιος] Synesius Epist. 129 p. 265 D. ἅτε ed. pr., ἅτ' cod. 8. Λιβάνιος] Libanius Decl. vol. 4 p. 627, 9. 9. καὶ κατεκράτησαν] καὶ ἐξηπάτησαν Liban. 10. Ἀριστείδης] Aristides vol. 1 p. 208. 10. 11. κόλπων] κόλπον Aristid. 11. τῶν εἰσεχόντων] λέγω τῶν εἰσεχόντων Aristid. 12. Δίων] Dio Chrys. Orat. V, 8 (vol. 1 p. 91, 22 ed. L. Dind.). 13. Μάξιμος] Maximus Tyr XXXI, 7 vol. 2. p. 111.

14. μοι τίς cod., μοί τις ed. pr. οἵαν] οἷα in Max. Tyr. ed., sed οἵαν libri. ἁρμονίας] ἁρμονίαν Max. Tyr. ἐν μόνοις] ἐν μέσοις Max. Tyr. 15. τεταγμένην καὶ ἐξορμῶσαν] τεταγμένη καὶ ἐξορμώσῃ Max. Tyr. libri, τεταγμένην καὶ ἐξορμῶσαν coniecerat Marklandus.

149. εἶτα περιττὸν κατὰ τοὺς Ἀττικούς. Ἀριστοφάνης· εἶτ' ἐσίγας Πλοῦτος ὤν. καὶ εἶτα ἀντὶ τοῦ ἆρα. καὶ εἶτα ἀντὶ τοῦ μετὰ ταῦτα.

150. ἐπιτιθεμένων ἀντὶ τοῦ μαχομένων, καὶ ἀντὶ τοῦ ἐγχειρούντων. Μάξιμος· τὸν Μαχάονα ἐκεῖνον καὶ τὸν Ποδαλείριον ἧττόν τι εἶναι δεξιωτέρους ἰᾶσθαι τῶν αὖθις ἐπιτιθεμένων τῇ τέχνῃ.

151. ἐκβεβρασμένον λέγεται τὸ ἐκριφὲν ἐκ θαλάττης πεπνιγμένον. Δίων· καὶ τοὺς λάρους ἅπαξ εὗρόν ποτε ἐκβεβρασμένους.

152. ἐν καλῷ σοι κείσεται ἀντὶ τοῦ εἰς καλόν σοι ἀποβήσεται. Συνέσιος· ἐν καλῷ σοι κείσεται παρὰ τοῖς κάτω δικαστηρίοις τὸ προκαθηράμενον ἀπελθεῖν.

153. ἐξήκει ἀντὶ τοῦ παρῆλθε. Συνέσιος· ἔτος ἤδη τουτὶ τρίτον ἐξήκει μετὰ τὴν ἀμνηστίαν καὶ τὰς διαλλαγάς.

154. ἐξαίσιον λέγεται καὶ ἐπὶ κακοῦ. Συνέσιος· νῦν δὲ ὡς ἄλλο τι κακὸν ἐξαίσιον ἔχει.

155. ἐκτήσατό τις δόξαν καὶ ἐκτήσατό τίς τινι δόξαν. Ἱμέριος· καὶ ἡ μὲν μουσικὴ Τιμοθέῳ δόξαν ἐκτήσατο, καὶ τῷ Πυθαγόρᾳ ἡ σοφία τὴν εὐφημίαν προυξένησεν, ἡ δὲ ῥητορικὴ τῷ Γοργίᾳ τὰς χρυσᾶς εἰκόνας ἀνέστησεν.

156. ἐπακούω ἀττικῶς αἰτιατικῇ. Σοφοκλῆς· κἀγὼ ἐπα-

1. Ἀριστοφάνης] Ar. Plut. 79. 2. 3. μεταταῦτα cod., μετὰ ταῦτα ed. pr. 5. Μάξιμος] Maximus Tyr. X, 2 vol. 1 p. 169. 6. ἰᾶσθαι ed. pr., ἰᾶσθαι cod. 7. ἐκρριφὲν cod., ἐκριφὲν ed. pr. 8. Δίων] Dio Chrys. Orat. VII, 52 (vol. 1 p. 120, 30 ed. L. Dind.). τοὺς λάρους ἅπαξ] sic etiam Dionis libri, τοὺς ταλάρους οὓς ἅπαξ L. Dindorfius. εὗρον ποτὲ cod., εὗρόν ποτε ed. pr. 10. Συνέσιος] Synesius Epist. 44 p. 182 B. 11. προκαθηραμένων ed. pr., προκαθηράμενον cod., προκαθηράμενον Synes. 12. παρῆλθεν ed. pr., παρῆλθε cod. Συνέσιος] Synesius Epist. 66 p. 207 A. ἔτος ἤδη τουτὶ] τουτὶ μὲν ἔτος ἤδη Synes. 14. Συνέσιος] Synesius Epist. 104 p. 244 B. ὡς om. Synes. 15. ἄλλό τι cod., ἄλλο τι ed. pr. 16. ἐκτήσατό τις τινὶ cod. 19. χρυσὰς cod., χρυσᾶς ed. pr. 20. Σοφοκλῆς] Soph. Oed. R. 794 sq.

κούσας ταῦτα τὴν Κορινθίαν ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα ἔφευγον.

157. ἔνεστιν ἀντὶ τοῦ ἐνυπάρχει. ἔξεστιν ἀντὶ τοῦ δυνατόν ἐστιν. Ἱμέριος· λεκτέον οὖν οὐχ ὅσα ἔνεστιν, ἀλλ' ὅσα ἔξεστιν.

158. ἔχω μετὰ ἐπιρρήματος γενικῇ συντάσσεται. Κύπριος· ἔτι περιττῶς ἔχομεν τῶν ἀνιαρῶν.

159. εἰ μὴ καὶ πλέον ἀντὶ τοῦ ἀλλὰ καὶ πλέον. Ἀριστείδης· σοφίας δὲ καὶ δικαιοσύνης καὶ ἀληθείας καὶ χρηστότητος οὐκ ἔλαττον, εἰ μὴ καὶ πλέον ἐν τοῖς ὅπλοις ἰσχύος περίεστιν.

160. ἔγημεν ἡ παρθένος ..... οὐ γὰρ ἀποδώσαμεν τῇ παρθένῳ τὴν ἀμοιβὴν ἀνθ' ὧν οὐκ ἔγημεν.

161. ἔχω δίκην παρὰ σοῦ ἀντὶ τοῦ κολάζω σε. Ἡρόδοτος· ἔχω, ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν δίκην.

162. ἐξήκειν ἀντὶ τοῦ παρελθεῖν. Ἀριστείδης· καὶ πρὶν δώδεκα ἐξήκειν ἡμέρας.

163. εὐπρόσωπος ἡ εὐειδής. ἀπὸ τούτου εὐπρόσωπος αἰτία ἡ πιθανὴ καὶ εὐπρεπής.

164. ἐκ σημαίνει καὶ ὑστεροχρονίαν. Ἡρόδοτος· ὑπέλαβε ναυμαχίῃ, ἐκ δὲ τῆς ναυμαχίης ὄμβρος κατέλαβεν.

165. εὐλαβὴς καὶ ὁ περιδεής. Ἰώσηπος· ἐπεὶ τοὺς Ἰσραηλίτας τοσοῦτο φυομένους ἑώρα καὶ περὶ τῶν αὐτοῦ πραγμάτων λίαν εὐλαβὴς ἦν.

166. ἐπὶ συντασσομένη αἰτιατικῇ σημαίνει καὶ αἰτίαν. Θου-

---

1. τολοιπὸν cod., τὸ λοιπὸν ed. pr. 4. ἐστι cod. Ἱμέριος] Himerius Ecl. XXXVI, 12. 7. Ἀριστείδης] Aristides vol. 1 p. 431. 9. ἐν τοῖς] τῆς ἐν τοῖς Aristid. 12. Ἡρόδοτος] Herodotus I, 45, 2. 14. Ἀριστείδης] Aristides vol. 1 p. 258. 16. εὐπρόσωπος ἡ αἰτία ed. pr., εὐπρόσωπος αἰτία cod. 18. Ἡρόδοτος] Herodotus VIII, 12, 2. 19. ναυμαχίῃ] ναυμαχίῃ κρατερή Herod. ὄμβρος κατέλαβεν] ὄμβρος τε λάβρος Herod. 20. Ἰώσηπος] Iosephus Ant. IV, 6, 2 vol. 1 p. 200, 20. 21. ἑώρα ed. pr., ἑώρα cod. αὐτοῦ cod., αὑτοῦ Ios. 22. περιδεὴς cod., εὐλαβὴς Ios. 23. Θουκυδίδης] Thuc. II, 98, 3.

κυδίδης· πολλοὶ γὰρ τῶν αὐτονόμων Θρᾳκῶν ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν. ἐπὶ συντασσομένη γενικῇ σημαίνει καὶ τὸ ἐντός. ἐπὶ τοῦ ὄρους ἢ ἐπὶ τῆς οἰκίας διατρίβει. Ἰώσηπος· καὶ οἱ μὲν ἀπορραγέντες ἔφευγον ἐπὶ τῶν πόλεων. συντασσομένη δὲ γενικῇ σημαίνει καὶ τρόπον, οἷον βαδίζει ἐπὶ τῶν ποδῶν. ὡς καὶ ὁ ἅγιος Νεῖλος· ἐπικατάρατος ὅστις ἐπὶ τεσσάρων βαδίζει. ἐπὶ τεσσάρων δὲ βαδίζει ὁ ταῖς χερσὶν ἐπερειδόμενος.

167. ἐνταῦθα τοῦ λόγου γενόμενος ἀντὶ τοῦ εἰς τοῦτο τὸ μέρος τοῦ λόγου.

168. εἰς καιρὸν ἀντὶ τοῦ ἐγκαίρως. θεολόγος· εἰς καιρὸν ἐπανήλθετε, οὐχ ἵνα πρόβατον πλανώμενον ἐπιστρέψητε.

169. ἐν δίκῃ ἀντὶ τοῦ δικαίως. Ἱμέριος· ἢ πολλὰ ἂν ἡμῖν ἡ βασιλὶς πόλις ἐν δίκῃ μέμψαιτο.

170. ἐμβατεύω αἰτιατικῇ. Ἱμέριος· ἀλλ' ὅσοι νέων ψυχὰς ἁπαλὰς ἐμβατεύοντες.

171. ἐδημώθη ἀντὶ τοῦ δῆλος τῷ δήμῳ ἐγένετο. Δίων· καί τις λόγος περὶ αὐτοῦ τοιόσδε ἐδημώθη.

172. ἐδικαίωσαν ἀντὶ τοῦ κατεδίκασαν ..... οἱ δὲ Ῥωμαῖοι καταγαγόντες αὐτὸν ἐδικαίωσαν θανάτῳ.

---

2. post ἠκολούθουν in codice illud signum est, quo singulae glossae dirimuntur. cum praegressis ea quae statim sequuntur coniunxit ed. pr. **3.** Ἰώσηπος] Iosephus Ant. IV, 5, 2 vol. 1 p. 198, 14. **10.** ἐς καιρὸν ἀντὶ ed. pr., εἰς καιρὸν ἀντὶ cod. **11.** ἐπιστρέψετε ed. pr., ἐπιστρέψητε cod. **12.** ἡμῖν in codice ex ὑμῖν factum est. **14.** Ἱμέριος] Himerius Orat. IV, 5. **16. 17.** paulo plura extant in Lex. Bachm. p. 206, 13. Etym. M. p. 316, 5. Suid v. ἐδημώθη. **16.** Δίων] Cassius Dio libro XVII vol. 1 p. 72 ed. Bekk. **17.** αὐτοῦ] sic cod. et Lex. Bachm., αὐτῶν Etym. M. et Suid. **18. 19.** eadem plane Suidas v. ἐδικαίωσαν. οἱ δὲ Ῥωμαῖοι — ἐδικαίωσαν θανάτῳ] Appiani esse locum putavit Kuester, Cassio Dioni tribuit Maius Coll. Vat. II p. 565, Eunapio Gaisfordus in Suid. v. ἐμποίνιμος.

173. ἐθελήσει ἀντὶ τοῦ δυνηθῇ. Ἀριστοφάνης· οὐδ' ἐθελήσει μαθεῖν. εὕρηται καὶ ἀντιστρόφως.

174. εἴθε ὁριστικῷ πλέον ἢ ἀπαρεμφάτῳ συντάσσεται. εἴθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμόν.

175. ἐμβάδες τὰ ἀνδρῷα ὑποδήματα. Ἀριστοφάνης· ἐκτυπείτω δ' ἐμβὰς γερόντων. καὶ Συνέσιος· παρ' οὗ μοι δοκεῖν πέρυσιν ἐξωνεῖσθαι τὰς ἀνατρήτους ἐμβάδας.

176. ἐμπαλασσόμενοι ἀντὶ τοῦ ἐν ποταμῷ πίπτοντες. Θουκυδίδης· ἐμπαλασσόμενοι κατέρρεον εἰς τὰ ἐπὶ θάτερα τοῦ ποταμοῦ.

177. ἐνδείξασθαι ἀντὶ τοῦ κατηγορῆσαι. Ἰώσηπος· πολλοὺς γὰρ διὰ τὰ οἰκεῖα μίση καὶ διαφορὰς ἰδίας ἐνδείξασθαι ἀναιτίους. ὅθεν καὶ ἐνδεῖκται οἱ κατήγοροι.

178. ἐμβάλλουσιν ἀντὶ τοῦ καταντῶσιν. ἐμβάλλουσι δὲ ὁ μὲν βασιλεὺς εἰς Λυδίαν, Προκόπιος δὲ εἰς τὴν ἄνω Φρυγίαν.

---

1. 2. cf. Schol. Ar. Av. 582. Zon. Lex. p. 623. Suid. v. ἐθελήσει.
1. θελήσει ἀντὶ cod., ἐθελήσει ἀντὶ scripsi. δυνηθῇ] sic Zon. Lex. p. 623 et Suid., δυνήσεται Schol. Ar. Ἀριστοφάνης] Ar. Av. 581: οὐκ ἐθελήσει μὰ Δί', ἀλλ' ὄψει προφάσεις αὐτὴν παρέχουσαν. οὐδὲ θελήσει ed. pr., οὐδεθελήσει cod., οὐδὲ ἐθελήσει Zon., οὐδ' ἐθελήσει Suid. 2. μαθεῖν] vitiosa lectio, in qua Zon. et Suid. consentiunt. 3. 4. εἴθ' — ὀφθαλμόν] verba Ar. Nub. 24. 4. ἐξεκόπην] ἐξεκόπη Kuester. 5. Ἀριστοφάνης] Ar. Plut. 758 sq. 5. 6. ἐκτυπείτω δ'] ἐκτυπεῖτο δὲ Aristoph. 6. Συνέσιος] Synesius Epist. 52 p. 189 C. δοκεῖν] δοκεῖς Synes. 6. 7. περύσιν cod., πέρυσιν ed. pr. 7. ἐξωνεῖσθαι] ἐωνῆσθαι Synes. ἀνατρήτους] ἀνατρίτους pr. cod. 8. 9. cf. Suid. v. ἐμπαλασσόμενοι. 8. Θουκυδίδης] Thuc. VII, 84, 3. 4: οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον. ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακόσιοι κτέ.
9. ἐπιθάτερα cod. 10. 11. similiter Suidas v. ἐνδείκνυμι.
10. ἐνδείξαθαι ed. pr., ἐνδείξασθαι cod. Ἰώσηπος] Iosephus Bell. Iud. IV, 2, 5 vol. 5 p. 298, 7. 11. γὰρ] γὰρ ἂν Ios. ἐνδείξαθαι iterum ed. pr. codice invito. ἀναιτίους] τοὺς ἀναιτίους Ios. et Suid. 13. 14. cf. Zon. Lex. p. 706 sive Suid. v. ἐμβάλλουσι. in loco qui affertur Eunapii orationem agnoscere sibi videtur Bernhardyus.

179. ἐπιστολὴ καὶ ἡ παραγγελία. Πλάτων· μεμνημένα τῆς τοῦ πατρὸς ἐπιστολῆς.

180. ἐθελοντὶ ἐπίρρημα καὶ ἐθελοντηδόν, Θουκυδίδης δὲ ἐθελοντὴν γράφει· τοὺς παραβόλους κινδύνους ἐθελοντὴν ἀναδεδεγμένος. καὶ ἐθελοντὴς ἐπὶ ὀνόματος. Συνέσιος· δεξαίμην ἂν βαρυτέρους ἀγῶνας ὑπὲρ τῆς πατρίδος ἐθελοντής.

181. ἐπιβαλλόμενος ἀντὶ τοῦ ἐγχειρῶν. Συνέσιος· σὺν θεῷ δὲ εἴην ἐπιβαλλόμενος.

182. ἐπὶ μέγα τύχης καὶ ἐπὶ μέγα δόξης ἀντὶ τοῦ ἐπὶ μεγάλην τύχην καὶ δόξαν.

183. ἔκφορος ὁ μαινόμενος. Συνέσιος· αἰσθάνομαι γινόμενος ὑπὸ τοῦ πάθους ἔκφορος. καὶ ἔκφορος ὁ δῆλος, ὅπερ λέγεται ἐπὶ μυστηριώδους τινός. Ἑρμογένης· οὐ γὰρ ἔκφορα τοῖς πολλοῖς τὰ μυστήρια.

184. ἐπὶ τούτοις ἀντὶ τοῦ μετὰ ταῦτα. Ἀριστοφάνης· μηχανὰς ἤδη ἐπὶ τούτοις πρὸς σὲ καινὰς προσφέρω. καὶ ἐπὶ τούτοις ἀντὶ τοῦ σὺν τούτοις.

---

1. 2. uberiora praebet Zon. Lex. p. 804. 1. Πλάτων] Plat. Tim. p. 71 D. μεμνημένοι] μεμνημένα γὰρ Plat. 3. 4. cf. Suid. v. ἐθελοντηδόν et ἐθελοντήν. 3. Θουκυδίδης] spectat haec mentio ad Thuc. VIII, 98, 2: οἱ Κορίνθιοι ἐθελοντηδὸν προσπαρακαλέσαντες τοὺς Βοιωτούς. 4. ἐθελοντὶν utroque loco cod., quamquam priore loco ι ex η factum est, ἐθελοντὴν Suid. 4. 5. τοὺς παραβόλους κινδύνους ἐθελοντὴν ἀναδεδεγμένος] cuius scriptoris haec sint verba nescio; qui factum sit ut Thucydidi tribuerentur, ex Suida facile agnoveris. 5. Συνέσιος] Synesius Epist. 123 p. 260 A. δεξαίμην ἂν] δεξαίμην οὖν ἂν Synes. 11. 12. cf. Zon. Lex. p. 654 et Suid. v. ἔκφορος, qui verba Synesii afferunt, nomen omittunt. 11. Συνέσιος] Synesius Epist. 129 (b) p. 265 B. αἰσθάνομαι ed. pr., αἰσθάνομαι cod. 13. Ἑρμογένης] in Hermogene ea quae sequuntur verba frustra quaesivi, sed haud dissimilia praebet Gregorius Naz. Orat. XLII p. 675 C: ὅτι μηδὲ ἔκφορα τοῖς ἔξω τὰ πολλὰ τῶν ἡμετέρων μυστηρίων. 15. μεταταῦτα cod., μετὰ ταῦτα ed. pr. Ἀριστοφάνης] Ar. Nub. 479 sq.

185. ἐργάζομαί σε κακὸν ἀντὶ τοῦ κακοποιῶ σε. Ἀριστοφάνης· ἀλλ' ἢν πύθησθ' ὅστις εἰμ', εὖ οἶδ' ὅτι κακόν τί με ἐργάσεσθον.

186. ἐς ἐμὲ ἀντὶ τοῦ μέχρις ἐμοῦ. Ἡρόδοτος· ἔτι καὶ ἐς ἐμὲ κατὰ πενταετηρίδα ἐγίνετο.

187. εἴξασιν ἀντὶ τοῦ ὡμοιώθησαν. Ἀριστοφάνης· εἴξασι δ' οὖν ἐρίοις πεπταμένοις.

188. ἔπειτα παρὰ τοῖς ῥήτορσι περιττὸν λαμβάνεται. Συνέσιος· πῶς ἔτι ταῦτα οἰστά, κἂν ἀλλοίως ἔοικεν εἶναι ἐμὸν ἀδελφὸν ὄντα ἔπειτα δειλὸν εἶναι.

189. ἐξέζεσεν ἐπὶ ἕλκους.

190. ἐπεσταλμένοι ἀντὶ τοῦ δι' ἐπιστολῆς μαθόντες. Θουκυδίδης· καὶ οἱ μὲν Βοιωτοὶ καὶ οἱ Κορίνθιοι ταῦτ' ἐπεσταλμένοι ὑπὸ τοῦ Ξενάρους καὶ Κλεοβούλου.

191. ἐπιστεῖλαι ἀντὶ τοῦ ἐντείλασθαι. Ἀριστοφάνης· ἡ σελήνη ἐντυχοῦσα ἡμῖν ἐπέστειλε φράσαι πρῶτα μὲν χαίρειν Ἀθηναίοις. καὶ Θουκυδίδης· ἐπιστείλαντες τὰ πρέποντ' εἰπεῖν.

---

1. Ἀριστοφάνης] Ar. Plut. 72 sq. 2. πείθησθε pr. cod., quod in πύθησθ' mutatum est, hinc πείθησθ' s ed. pr. πύθησθέ μ' Aristoph. κακόν τι μ' ed. pr., κακόν τι με cod. 2. 3. ἐργάσεσθον] ἐργάσεσθε Aristoph. 4. Ἡρόδοτος] Herodot. III, 97 6. 5. κατὰ πενταετηρίδα ἐγίνετο] διὰ πεντετηρίδος ἀγίνεον Herod. ceterum πενταετερίδα suo Marte ed. pr. 6. Ἀριστοφάνης] Ar. Nub. 343: εἴξασιν δ' οὖν ἐρίοισιν πεπταμένοισιν. 6. 7. δ' οὖν] γοῦν plerique Ar. libri, δ' οὖν Rav. 8. ῥήτορσιν ed. pr., ῥήτορσι cod. Συνέσιος] Synesius Epist. 131 p. 267 D. 9. ταῦτα ... στᾶ ed. pr., ταῦτα οἰστᾶ cod., ταῦτα οἰστά Synes. 11. cf. E, 135. 12. Θουκυδίδης] Thuc. V, 37, 1. 13. οἱ Κορίνθιοι] Κορίνθιοι haud pauci Thuc. libri. 14. ὑπὸ τοῦ] ἀπό τε τοῦ Thuc. 15. Ἀριστοφάνης] Ar. Nub. 608 sq. 16. ἐντυχοῦσα ἡμῖν ἐπέστειλε] συντυχοῦσ' ἡμῖν ἐπέστειλεν Aristoph. 16. 17. Ἀθηναίοις] Ἀθηναίοισι Aristoph. 17. Θουκυδίδης] Thuc. VIII, 72, 2.

192. ἐπανάκρουσαι ἀντὶ τοῦ ἐπανάκαμψον. Ἀριστοφάνης· δεῦρ' ἐπανάκρουσαι πάλιν.

193. ἐπανεῖπον ἀντὶ τοῦ ἐκήρυξαν. Θουκυδίδης· ἐπανεῖπον ἀργύρια τῷ ἀποκτείναντι.

194. ἐτιμήσασθε ἀντὶ τοῦ ἠγοράσατε. Θουκυδίδης· ἣν ὑμεῖς πολλῶν χρημάτων ἐτιμήσασθε.

195. ἐσχάτως ἀντὶ τοῦ ἄκρως. Μένανδρος· φοβοῦμαί σε ἐσχάτως.

196. ἐτεχνίτευεν ἀντὶ τοῦ μετὰ τέχνης καὶ δόλου ἀνηρεύνα. Ἰώσηπος· ἐτεχνίτευε τίνι τρόπῳ προέχει κατ' ἀρετήν.

197. ἐξωμοσίας δίκη, ὅταν οἱ μαρτυρῆσαι ἐπὶ δικαστηρίῳ ὑποσχεθέντες, εἶτα μὴ βουλόμενοι ὀμνύωσι μὴ εἰδέναι.

198. ἐρήμη δίκη ἡ μονομερής.

199. ἐπιγραφὴ ὀφρύων λέγεται, ἐπίτριμμα δὲ παρειῶν.

200. ἐπέραστος γυνὴ λέγεται ἡ ὡραία καὶ ἀγαθὴ τὴν ὄψιν.

201. ἐμμελὴς ὁ εὔρυθμος. τὸ ἐναντίον ἐκμελής.

202. εὔοσμα λέγονται τὰ εὔφραντα καὶ τὰ εὐαίσθητα.

---

1. 2. plura Suidas v. ἐπανάκρουσαι. 1. Ἀριστοφάνης] Ar. Av. 648. 3. 4. cf. Suid. v. ἐπανεῖπον. 3. Θουκυδίδης] Thuc. VI, 60, 4. 5. 6. eadem plane supra E, 64 leguntur. 5. ἐτιμήσασθε ed. pr. Θουκυδίδης] Thuc. I, 33, 2. 6. πολλῶν χρημάτων] ἂν πρὸ πολλῶν χρημάτων καὶ χάριτος Thuc. ἐτιμήσασθε iterum ed. pr. 7. 8. cf. Phot. Lex. p. 24, 10. Suid. v. ἐσχάτως. Zon. Lex. p. 888. 7. Μένανδρος] Men. Com. 4 p. 301. φοβοῦμαι σε cod., φοβοῦμαί σε ed. pr. 9. ἐτεχνίτευεν in cod. ex ἐτεχνήτευεν factum est. ἀνήρευνα ed. pr., ἀνηρεύνα cod. 10. Ἰώσηπος] Iosephus Ant. V, 8, 11 vol. 1 p. 292, 12. τίνι τρόπῳ προέχει] μαθεῖν τίνι τρόπῳ τοσοῦτον προύχει Ios. 11. 12. de ἐξωμοσίᾳ vide quae supra dicta sunt E, 21. huius loci fontem ignoro. 11. ἐξωμοσίας δίκη] ἐξωμοσία expectes. 14. ἐπιγραφὴ] potius ὑπογραφὴ dicitur. 17. εὐαίσθητα] cf. Poll. V, 12: δύσοσμα δὲ καὶ εὔοσμα οὐ τὰ δυσχερὲς ἢ ἡδὺ ἀποπνέοντα λέγουσιν, ἀλλὰ τὰ εὐαίσθητα ἢ δυσαίσθητα πνεύματα τῶν ἰχνῶν.

203. ἐγγυῶμαι τὸν δεῖνα ἐπὶ γάμου ἐγγύης. καὶ ἐγγυῶμαί σοι τὸν δεῖνα.

204. εὐθύνω τὸ διορθοῦμαι. καὶ εὐθύνω τὸ κολάζω.

205. εὐμαρίζω καὶ ἐξευμαρίζω ἐπὶ ὁδοῦ λέγεται.

206. ἐφεξῆς ἀντὶ τοῦ εἰς τὸ ἔμπροσθεν. Ἀριστείδης· αὕτη πρώτη πρὸς τὴν ναυμαχίαν τοῖς Ἕλλησιν ἐγένετο κοινὴ τῶν τε ἀνδρῶν καὶ γυναικῶν· οὐ μὴν κατῄσχυναν ταύτην τοῖς ἔργοις ἐφεξῆς.

207. ἐτύγχανε χωρὶς μετοχῆς σπανίως εὑρίσκεται.

207 b. [εὐοδεῖν παρὰ τοῖς Ἀττικοῖς εὑρίσκεται.] Θεόπομπος· ἀλλ' εἰ δοκεῖ ταῦτα δρᾶν, εὐοδεῖν πορεύομαι. εὐοδίαν δὲ γράφει ὁ μέγας Βασίλειος· καὶ τὴν εἰς πάντα τὸν βίον εὐοδίαν.

208. ἐφ' ᾧ συντάσσεται μετὰ ἀπαρεμφάτου καὶ μετὰ ὑποτακτικοῦ. Θουκυδίδης· ἐφ' ᾧ φυλακῇ τῇ μετρίᾳ τηρήσωμεν. καὶ μετὰ εὐκτικοῦ.

209. ἐκλογεῖς λέγονται οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ. Ἀντιφῶν· ᾑρέθησαν γὰρ ἐκλογεῖς παρ' ἡμῖν οἷς πλεῖστα ἐδόκει χρήματα εἶναι. καὶ Λυσίας· νῦν δὲ πρὸς τοὺς ἐκλογέας τοῦ φόρου ἅπαντα ἀπογραφόμεθα.

---

1. 2. ἐγγυῶμαι σοι cod. 5. ἀντὶ τοῦ ἔμπροθεν ed. pr., ἀντὶ τοῦ εἰς τὸ ἔμπροσθεν cod. Ἀριστείδης] Aristid. vol. 1 p. 227. 7. γυναικῶν] τῶν γυναικῶν nonnulli Aristidis libri. 8—10. ἐτύγχανε χωρὶς μετοχῆς σπανίως εὑρίσκεται. Θεόπομπος cod. verba εὐοδεῖν παρὰ τοῖς Ἀττικοῖς εὑρίσκεται supplevi. cf. Zon. Lex. p. 920 sq.: εὐοδεῖν εὑρίσκω (εὑρίσκειν cod. A) παρὰ τοῖς Ἀττικοῖς. Θεόπομπος· ἀλλ' εἰ δοκεῖ κτέ. 8. ἐτύγχανε χωρὶς μετοχῆς σπανίως εὑρίσκεται] exempla huius usus dedimus in Soph. El. 46. 9. Θεόπομπος] Theopompus Com. 2 p. 818. 10. ταῦτα] χρὴ ταῦτα Zon. εὐοδεῖν] εὐοδῶν conicit Meinekius. 11. ὁ μέγας Βασίλειος] vide E, 85. εὐοδίαν .... ed. pr., in codice lacunae vestigium non extat. 12. ἐφῶ cod., ἐφ' ᾧ ed. pr. 13. Θουκυδίδης] Thuc. IV, 30, 4. ἐφῶ cod., ἐφ' ᾧ ed. pr. τηρήσωμεν] τηρήσονται Thuc. 15—18. ex Harpocr. p. 68, 12. quicum cf. Suid. v. ἐκλογεῖς. 15. λέγονται om. Harp. 16. Ἀντιφῶν] Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου Harp. ἠρέθισαν cod., ubi ι ex η factum est, ᾑρέθησαν Harp. ἐκλογεῖν cod., ἐκλογεῖς Harp. 17. καὶ Λυσίας] Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον Harp.

210. ἐκπολεμῶσαι ἀντὶ τοῦ εἰς πόλεμον καταστῆσαι παρὰ Θουκυδίδῃ καὶ Δημοσϑένει, παρὰ δὲ Ἀττικοῖς ἐκπολεμῆσαι γράφεται.

211. ἔτι ἀντὶ τοῦ ἀκμήν. καὶ ἔτι ἀντὶ τοῦ νῦν. Συνέσιος· πάντα ἀνήρηται, αἱ πόλεις ἔτι λοιπαί. καὶ ἔτι ἀντὶ τοῦ πρὸς τούτοις.

212. ἔστιν ἃ ἀντὶ τοῦ τινά. Θουκυδίδης· τοῦ περὶ ϑάλασσαν ἔστιν ἃ χωρία βουλόμενοι περιποιήσασϑαι.

213. ἐγρήγορε γράφεται. Δημοσϑένης· διὰ ταῦτα ἐγρήγορεν, ἐφέστηκε τῇ πόλει.

214. ἐπὶ κεφαλαίῳ ἀντὶ τοῦ κεφαλαιωδῶς. Ἑρμογένης· πᾶσαν ἡμῖν ἐπὶ κεφαλαίῳ τὴν τομὴν ἐσήμανε τοῦ λόγου.

215. ἐκπλήττει ἀντὶ τοῦ εἰς ἔκπληξιν ἄγει. καὶ ἀντὶ τοῦ ἐκβάλλει. Θουκυδίδης· ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καϑ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήττει.

216. ἐπεβάτευεν ἐπὶ ἀνϑρώπου δοτικῇ. Ἀριστοφάνης· ἐπε-

1—3. cf. Harpocr. p. 69, 5: ἐκπολεμῶσαι Δημοσϑένης Φιλιππικοῖς ἀντὶ τοῦ εἰς πόλεμον καταστῆσαι, ὡς καὶ παρὰ Θουκυδίδῃ πολλάκις. ἐν μέντοι τοῖς Ἀττικοῖς (Ἀττικιανοῖς Hemsterhus.) διὰ τοῦ η γράφεται, ὡς καὶ παρὰ Ξενοφῶντι ἐν ς' Ἑλληνικῶν. quae contraxerunt Suidas v. ἐκπολεμῶσαι et Zon. Lex. p. 672. 2. Θουκυδίδῃ] Thuc. VI, 77, 2: τοὺς δὲ ξυμμάχων ἐλπίδι ἐκπολεμοῦν πρὸς ἀλλήλους. VIII, 57, 1: μὴ παντάπασιν ἐκπεπολεμῶσϑαι. Δημοσϑένει] Dem. 1, 7: ὃ πάντες ἐϑρυλεῖτε, ὡς Ὀλυνϑίους ἐκπολεμῶσαι δεῖ Φιλίππῳ. 3, 7: ἐκπολεμῶσαι (ἐκπολεμῆσαι pr. Σ) δεῖν φόμεϑα τοὺς ἀνϑρώπους ἐκ παντὸς τρόπου. παρὰ δὲ τοῖς Ἀττικοῖς ed. pr., παρὰ δὲ Ἀττικοῖς cod. 4. Συνέσιος] Synesius Epist. 69 p. 217 D. 6. Θουκυδίδης] Thuc. II, 33, 2. τοῦ] τῆς Thuc. 7. βουλόμενος ed. pr., βουλόμενοι cod. et Thuc. περιποιήσασϑαι] προσποιήσασϑαι Thuc. 8. Δημοσϑένης] Dem. 6, 18. διαταῦτα cod., διὰ ταῦτα ed. pr. 9. ἐφέστηκε τῇ] ἐφέστηκεν ἐπὶ τῇ Dem. 10. Ἑρμογένης] Hermogenes in Rhet. Gr. vol. 3 p. 99, 14. 11. ἐπὶ κεφαλαίῳ] ἐπὶ κεφαλαίου Hermog. 13. Θουκυδίδης] Thuc. II, 38, 1. 13. 14. καϑημέραν cod., καϑ' ἡμέραν ed. pr. 14. ἐκπλήττει] ἐκπλήσσει Thuc. 15. Ἀριστοφάνης] Ar. Ran. 48: ἐπεβάτευον Κλεισϑένει.

βάτευε τῷ Κλεισθένει. ἐπὶ δὲ νηὸς γενικῇ. Ἡρόδοτος· ἐπεβάτευον δὲ ἐπὶ πασέων τῶν νεῶν Πέρσαι.

217. ἔξαρνος γράφεται. Λιβάνιος· ἣ περὶ ὧν ἥμαρτεν ἔξαρνος ἦν.

218. εἰσβολὴ κυρίως ἐπὶ ἐπελεύσεώς τινος βλαπτικοῦ, ἐξαιρέτως ἐπὶ πυρετοῦ. λέγεται δὲ καὶ ἐπὶ τῆς τυχούσης εἰσελεύσεως. Ἡρόδοτος· εἰσὶ φανεραὶ εἰσβολαὶ ἐπ' Αἴγυπτον.

219. ἐξήρτηται ὁ δεῖνα τόδε τὸ πρᾶγμα. Συνέσιος· τοὺς ἡμετέρους γονέας ἐξήρτητο. καὶ ἀλλαχοῦ· χρυσία ἐξήρτητό τε καὶ περιέκειτο. ἐξήρτηται δὲ τόδε τοῦδε ἀντὶ τοῦ ἐξηρτημένον ἐστὶ γενικῇ.

220. ἐμποδὼν ἀντὶ τοῦ ἐμπόδιον. καὶ ἐμποδὼν ἀντὶ τοῦ πλησίον. Πλούταρχος· αὐτὸν δὲ τοὺς ἐμποδὼν ἄθλους ἀποδιδράσκειν.

221. ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ ὑποτίθημι. καὶ ἐπισκήπτω ἀντὶ τοῦ ψέγω. ὁ μέγας Βασίλειος· ἐπισκήψει τῇ δόξῃ ὡς ἀδύνατα ἢ πλασματώδη ὑποτίθεμαι. καὶ ἀντὶ τοῦ ἀκριβῶς σημειοῦται τίθεται ἡ λέξις, καὶ ἐπὶ κεραυνοῦ, οἷον ἐπισκήπτει κεραυνός.

222. ἐπιβάτης ὁ μὴ κωπηλατῶν ἀλλὰ πρὸς μόνον τὸ μάχεσθαι ἐπιτήδειος. Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος. καὶ Ἀριστοφάνης· ἐξεκολύμβησεν ἐπιβάτης.

---

1. Κλειθένει ed. pr., Κλεισθένει cod., ubi primitus Κλειστένει scriptum fuit. Ἡρόδοτος] Herodot. VII, 96, 1. 2. τῶνεῶν cod., τῶν νεῶν ed. pr. 3. Λιβάνιος] immo Aristides vol. 2 p. 585. 5. ἐπελεύσεως τινὸς cod., ἐπελεύσεώς τινος ed. pr. βλαπτικῆς ed. pr., βλαπτικοῦ cod. 8. Συνέσιος] Synesius Epist. 20 p. 176 C. 9. ἀλλαχοῦ] Synesius Epist. 3 p. 160 B. χρυσία] χρυσία καὶ λίθους Synes. 12. Πλούταρχος] Plut. Thes. c. 7. ἐμποδῶν hoc loco cod., ἐμποδὼν ed. pr. 14. ὁ μέγας Βασίλειος] «Basil. t. I p. 35 D: ἀδύνατα ἢ πλ.» Thes. Gr. L. vol. 6 p. 1158 A. 15. καὶ ἐπὶ τοῦ ed. pr., καὶ ἀντὶ τοῦ cod. 18—20. cf. Harpocr. p. 77, 18. unde pendet Suidas v. ἐπιβάτης. 18. 19. μάχεσθαι ed. pr., μάχεσθαι cod. 19. Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος] Dem. 50, 10: τοὺς μισθοὺς οὓς ταῖς ὑπηρεσίαις καὶ τοῖς ἐπιβάταις κατὰ μῆνα ἐδίδουν. τριηραρχήματος] ἐπιτριηραρχήματος Harp. 20. Ἀριστοφάνης] Ar. Com. 2 p. 975.

223. ἐπιμελητὴς ἐπὶ τῶν μυστηρίων. Ἀριστοτέλης· ὁ δὲ βασιλεὺς πρῶτον μὲν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος ἐχειροτόνησε. καὶ ἐπιμελητὴς ἐπὶ ἄλλου τινὸς πράγματος.

224. ἐγένετο ὁ δεῖνα τόσου ἔτους, ἀττικῶς ἐγένετο τόσα ἔτη. Συνέσιος· οὐ μὴν οὐδὲ Σωκράτης πω τότε φαλακρὸς ἦν, πέντε καὶ εἴκοσιν ἔτη γεγονώς.

225. ἐξάψαι ἀντὶ τοῦ ἐξαρτῆσαι. Λιβάνιος· οὐδὲ γνώμης ἑτέρων πρᾶγμα τοσοῦτον ἐξάψαι.

226. ἐμβαλόντες ἀντὶ τοῦ εἰσάξαντες καὶ ἀντὶ τοῦ συρρήξαντες.

227. ἔσθημα ἡ ἐσθής. Θεολόγος· καὶ τούτῳ τρίχινον ἔσθημα εἶχον αἱ νύκτες ἀγνοούμενον.

228. ἐνεστησάμην ἀντὶ τοῦ εἰργασάμην. Θεολόγος· σοὶ γὰρ θαρρῶν τὸν περὶ σοῦ λόγον ἐνεστησάμην.

229. ἔκπλους ἡ ἐκ τῶν οἴκοθεν ἐξέλευσις τοῦ στόλου. Ἀριστείδης· τὸν δ' ὑπὲρ Μιλησίων ἔκπλουν καὶ τὰς ἐν Σάμῳ ναυμαχίας. κατάπλους δὲ ἡ πρὸς τὰ οἰκεῖα τοῦ στόλου ἐπάνοδος.

1—3. ex Harpocr. p. 81, 11. quicum cf. Suidas v. ἐπιμελητής et Etym. M. p. 362, 9. 1. ἐπὶ om. Harpocr. Suid. Etym. M. Ἀριστοτέλης] Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ φησὶν οὕτως Harpocr. vide Aristot. pseudepigr. fr. 379 p. 432. 2. μυστηρίων] τῶν μυστηρίων Harp. 3. ἐχειροτόνησε] ἐχειροτόνει Harp. Suid. Etym. M. χειροτονεῖ ci. Bekker. verba καὶ ἐπιμελητὴς — πράγματος ab Harpocr. aliena sunt. ἄλλού τινος cod., ἄλλου τινὸς ed. pr. 4. τόσου ἔτους] τοσούτων ἐτῶν scribendum suspicor. cf. Thom. Mag. p. 79, 6: γέγονα ἔτη τοσαῦτα κάλλιον ἢ ἐτῶν. 5. Συνέσιος] Synesius Calv. encom. c. 17 p. 81 B. 11. ἐσθής] ἐσθίς pr. cod. ut videtur. Θεολόγος] Greg. Naz. Orat. XX p. 369 C. τρίχινον] τρύχινον Greg. Naz. 13. Θεολόγος] Greg. Naz. Orat. XX p. 373 A. 13. 14. ... γὰρ ed. pr., σοὶ γὰρ cod. et Greg. Naz., sed in codice σοὶ parum perspicue scriptum est. 14. περί σου cod. 15. Ἀριστείδης] Aristid. vol. 1 p. 257.

230. ἐδέησεν ἀντὶ τοῦ ἐκινδύνευσεν. Ἰουλιανός· ἐδέησά μὲν ἀποπνιγῆναι. καὶ ἀντὶ τοῦ ἔλειψεν, οἷον μικροῦ μὲν ἐδέησε πεσεῖν.

231. ἐγκαλινδούμενος ἀντὶ τοῦ κυλιόμενος. Χρυσόστομος· καὶ πρώην ἔτι ταῖς τοῦ βίου μερίμναις ἐγκαλινδούμενος.

232. ἐξημοιβὰ τὰ παρηλλαγμένα. Ἰουλιανός· εἵματα ἐξημοιβὰ λοετρά τε ϑερμά.

233. ἔχω τὸ νοῶ. Θεολόγος· ἐγὼ δ' ὡς ἔχω περὶ τούτων εἰπεῖν. καὶ τὸ κέκτημαι. καὶ τὸ φορῶ. καὶ τὸ περίκειμαι. καὶ τὸ ἐλαύνω. καὶ τὸ ἐπάγω. καὶ τὸ κατοικῶ. ἔστι καὶ περισσόν· πῶς κυρεῖς ἔχων;

234. ἔγγιον καὶ ἔγγιστα οὐ λέγουσιν οἱ Ἀττικοί, ἀλλ' ἐγγύτερον καὶ ἐγγύτατα.

235. ἐγείρου χρὴ λέγειν, οὐχὶ ἔγειρε, εἰ μή τις προσϑήσει τὸ σαυτόν.

236. ἐγρήγορα χρὴ λέγειν καὶ ἐγρηγόρειν καὶ ἐγρηγόρεσαν καὶ ἐγρήγορϑι τὸ προστακτικὸν καὶ ἂν ἐγρηγόρῃ τὸ ὑποτακτικόν.

237. ἐδοκίμασαν ἀντὶ τοῦ ἔκριναν, ἐκύρωσαν. πολλῶν δὲ ῥηϑέντων εἰς ἑκάτερα λόγων οἱ πλείους γνῶναι τὴν προτέραν ἐδοκίμασαν. καὶ ἀντὶ τοῦ ἐξήτασαν.

238. ἐζημίωσεν ἀντὶ τοῦ κατεδίκασεν ..... ὁ δὲ βασιλεὺς Αὐρηλιανὸς πολλοὺς τῶν πολιτῶν ϑανάτῳ ἐζημίωσεν.

---

1. Ἰουλιανός] Iulianus Misop. p. 341 D. ἐδέησα μὲν] ἔδεισα μὲν οὖν in Iul. ed. Spanh., qui γρ. ἐδέησα in margine annotat. ἐδέησα μικροῦ coniecit Hertleinius. 2. ἐδέησεν ed. pr., ἐδέησε cod. 5. Ἰουλιανός] Iulianus Misop. p. 342 D, qui utitur Homericis verbis ex Od. ϑ, 249 repetitis. εἵματα] εἵματά τ' Iul. 7. Θεολόγος] Greg. Naz. Orat. XL p. 652 A. 9. πῶς κυρεῖς ἔχων] καὶ μέν' ὡς κυρεῖς ἔχων dixit Soph. Ai. 87. 10. ἔγχιστα ed. pr., ἔγγιστα cod. 10. 11. ἐγγύτατον cod., ἐγγύτερον C. Lugebil. 12. οὐχὶ ἔγειραι cod. 16—18. eadem Suidas v. ἐδοκίμασαν et Zon. Lex. p. 615, qui extrema verba καὶ ἀντὶ τοῦ ἐξήτασαν ignorant. 16. ἀντὶ τοῦ ἔκριναν] προέκριναν Suid. 18. verba καὶ ἀντὶ τοῦ in codice bis scripta sunt. 19. 20. eadem Zon. Lex. p. 620, quicum cf. Suid. v. ἐζημίωσεν. 19. ἀντὶ τοῦ κατεδίκασεν] κατέκρινε, κατεδίκασεν Zon., ἀνεῖλεν Suid. 19. 20. ὁ δὲ βασιλεὺς — ἐζημίω-

239. ἐθέλγετο ἀντὶ τοῦ ἐθηλύνετο. οὐ μὴν ἐθέλγετο ὁ ὕπατος ἐν τοῖς ὑπηρέταις σὺν ὀργῇ βριμώμενος.

240. ἐκδιαίτησις ἡ τρυφή ...... ὁ δὲ τρυφαῖς μαλακαῖς καὶ ἐκδιαιτήσεσι διαλυθεὶς ἐπανήει.

241. ἐπιλαβέσθαι ἀντὶ τοῦ ἁπλῶς λαβέσθαι. Κύπριος· δοὺς ἀμφοτέραις ἐπιλαβέσθαι τοῦ ποθουμένου.

242. ἐπίκτητος γυνὴ ἡ οὐ κατὰ νόμους. Ἰώσηπος· τοιῶνδε μέντοι ἐμὲ παίδων μητέρα ἐοῦσαν Κῦρος ἐν ἀτιμίῃ ἔχει, τὴν δ' ἀπ' Αἰγύπτου ἐπίκτητον ἐν τιμῇ τίθεται.

243. ἐπέστη τῷ ἔργῳ ἀντὶ τοῦ πλησίον ἐστὶ τοῦ ἔργου. ἐπέστη δὲ τοῦ ἔργου ἀντὶ τοῦ ἐπιστάτης γέγονε τοῦ ἔργου. Ἡρόδοτος· Πέρσαι δ' ἐπέστασαν τοῦ ἔργου.

244. ἐν παιδὶ ἀντὶ τοῦ ἐν παιδικῇ ἡλικίᾳ. Ἡρωδιανός· πρότερον μὲν ἐν παιδὶ ποιμαίνων, ἐν ἀκμῇ δὲ τῆς ἡλικίας γενόμενος διὰ μέγεθος καὶ ἰσχὺν σώματος εἰς τοὺς ἱππεύοντας στρατιώτας καταλεγείς.

σεν] simillima de Aureliano refert Iohannes Antiochenus in Mülleri Fragm. Hist. vol. 4 p. 599: τῶν τε κατὰ πόλιν ἐπισήμων θανάτῳ πολλοὺς ἐζημίωσεν ὑπὸ Ζηνοβίας ἐλεγχθέντας. 20. Ἀορλιανὸς ed. pr., Αορλιανὸς sine spiritu cod., ubi primitus ἀβριλιανὸς scriptum fuisse videtur.

1. 2. eadem fere Suidas v. ἐθέλγετο et Zon. Lex. p. 629. 1. ἀντὶ τοῦ ἐθηλύνετο] ἐπείθετο, ἐθηλύνετο Suid. 1. 2. οὐ μὴν — βριμώμενος] Aeliani esse locum (fr. 69) docet Suidas. 2. ἐν om. Suid. et Zon. βριμώμενος] βριμούμενος Suid. et Zon. 3. 4. eadem Zon. Lex. p. 655, pleniorem affert ignoti scriptoris locum Suidas v. ἐκδιαίτησις. 3. ἡ τρυφή] τρυφή Zon. 6. ἀμφοτέραις] sic ed. pr., codex utrum ἀμφοτέραις an ἀμφοτέροις habeat incertum est. 7. Ἰώσηπος] immo Herodotus III, 3, 1. 8. Κύρος cod. ἀτιμίᾳ ed. pr., ἀτιμίῃ cod. sicut Herodotus. 10. πλησίον ἔστι cod., πλησίον ἐστι ed. pr. 11. Ἡρόδοτος] respici videtur Herodot. VII, 21, 3: ἄνδρες Πέρσαι ἐπεστάτεον τοῦ ἔργου. 13. Ἡρωδιανός] Herodianus VI, 8, 1. 15. 16. καταλεγείς] καταταγείς Herodianus.

245. εἶχεν ἀντὶ τοῦ ὑπῆρχεν. Ἡρόδοτος· ὕβρισμα γὰρ καὶ εἰς τούτους εἶχεν ἐκ τῶν Σαμίων γενόμενον.

246. ἐπιβάλλον τὸ κληρωθέν. Ἡρόδοτος· ἐπεί τε δὲ ἀπολαχόντες τῶν κτημάτων τὸ ἐπιβάλλον ἦλθον ὀπίσω παρὰ τὰς Ἀμαζόνας.

247. ἔστε ἀντὶ τοῦ ἕως οὗ. Ἡρωδιανός· ἔστε δὴ ὑποβάλλοντός τινος αὐτοὶ τὸν δῆμον ἐσοφίσαντο.

248. ἐκδέχεσθαι ἀντὶ τοῦ ἀπείργειν, ἀναστέλλειν .... γέρρα τεταγμένα ἦν εἰς τὸ ἐκδέχεσθαι τὰ τῶν βαρβάρων τοξεύματα.

249. ἔχοντες ἐγκλήματα ἀντὶ τοῦ κατηγοροῦντες. Θουκυδίδης· πάντων οὖν τούτων ἐγκλήματα ἔχοντες οἱ Κορίνθιοι ἔπεμπον εἰς τὴν Ἐπίδαμνον.

250. ἑλεῖν ἀντὶ τοῦ λαβεῖν. καὶ ἀντὶ τοῦ φονεῦσαι κατὰ ποιητάς· ἑλέσθαι δὲ ἀντὶ τοῦ προκρῖναι.

251. ἐκ τοῦ ἐπὶ πλεῖστον ἀντὶ τοῦ ἀνέκαθεν. Θουκυδίδης· ἐκ τοῦ ἐπὶ πλεῖστον διὰ τὸ λεπτόγεων ἀστασίαστον οὖσαν.

252. ἐναφῆκαν ἀντὶ τοῦ ἐνέβαλον ..... ἐναφῆκαν τῇ δρυῒ σφῆνας ὡς διασταίη.

253. ἐκδέξασθαι ἀντὶ τοῦ παραλαβεῖν καὶ ἀκροάσασθαι. ..... οὐδὲ φίλιον λόγον ἐκδέξασθαι τῶν τὰ πολέμια δρώντων.

---

1. Ἡρόδοτος] Herodot. III, 48, 1. ceterum Ἡρόδοτος nomen primitus omissum postea versibus interposuit is qui codicem exaravit. 2. ἐς ed. pr., εἰς cod. 3. Ἡρόδοτος] Herodot. IV, 115, 1. ἐπεί τε δὲ cod. 5. ἐς τε utroque loco ed. pr., ἔστε cod., ubi σ ex ς factum videtur. Ἡρωδιανός] Herodianus VII, 10, 7. 7. 8. similiter Suidas v. ἐκδέχεσθαι et Zon. Lex. p. 664. 7. ἀντὶ τοῦ ἀπείργειν, ἀναστέλλειν] ἀπείργειν, κωλύειν Suid. et Zon. 8. τεταγμένα] τε παρατεταγμένα Suid. et Zon. ἐς ed. pr., εἰς cod. cum Suida et Zon. 9. Θουκυδίδης] Thuc. I, 26, 1. 14. ἐπιπλεῖστον cod., ἐπὶ πλεῖστον ed. pr. Θουκυδίδης] Thuc. I, 2, 5. 15. ἐκτουεπιπλεῖστον cod., ἐκ τοῦ ἐπιπλεῖστον ed. pr. 16. 17. eadem Suidas v. ἐναφῆκαν et Zon. Lex. p. 741. 16. ἀντὶ τοῦ om. Suid. ἐνέβαλλον cod., ἐνέβαλον Suid. et Zon. 16. 17. ἐναφῆκαν — διασταίη] versus Babrii fab. 38, 2. 16. τῇ δρυῒ] αὐτῇ Babrius.

254. **ἐπανέσχετο** ἀντὶ τοῦ ἐπανελάβετο ...... ὁ δὲ τὸν πρὸς τοὺς Γέτας πόλεμον ὡς μάλιστα ἐπείγοντα ἐπανέσχετο.

255. **ἐπηλύτης** ὁ ἔπηλυς. **Θουκυδίδης**· Πέλοπά τε πλήθει χρημάτων, ἃ ἦλθεν ἐκ τῆς Ἀσίας ἔχων ἐς ἀνθρώπους ἀπόρους, δύναμιν περιποιησάμενον τὴν ἐπωνυμίαν τῆς χώρας ἐπηλύτην ὄντα ὅμως σχεῖν.

256. **ἔνδειξις** εἶδος δίκης δημοσίας, ὑφ' ἣν τοὺς ἐκ τῶν νόμων εἰργομένους τινῶν ἢ τόπων ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν, ἐπῆγον εἰς τὸ δικαστήριον.

257. **ἕνδεκα** κληρωτοὶ ἄρχοντες ἦσαν προεστηκότες τοῦ δεσμωτηρίου, καὶ τοὺς ἐπαγομένους κακούργους ἐπὶ θάνατον παραλαμβάνοντες ἐζημίουν, τοὺς δὲ ἀμφισβητοῦντας εἰσῆγον εἰς τὸ δικαστήριον καὶ ἐδείκνυον, καὶ τὸ γνωσθὲν περὶ αὐτῶν ἔπραττον. εἰσῆγον δὲ καὶ τὰ ἀπογραφόμενα χωρία καὶ τὰ δημόσια εἶναι δόξαντα παρεδίδουν τοῖς πολίταις· παρεδίδουν δὲ καὶ ἐνίας ἐνδείξεις.

258. **ἐπὶ ματαίῳ** ἀντὶ τοῦ μάτην.

259. **ἐγκεῖσθαι** τὸ ἔν τινι κεῖσθαι, καὶ τὸ βαρέως ἐπιτίθεσθαι.

260. **ἐπιθέμενοι** ἀντὶ τοῦ μαχόμενοι. καὶ ἐπιθέμενοι ἀντὶ τοῦ ἐνασμενίζοντες. **Συνέσιος**· δρασμῷ γὰρ ἐπιθέμενον ἐλπὶς ἀγαθῶν καὶ φόβος χειρόνων ἀνέκοψεν.

---

1. 2. eadem Suidas v. ἐπανέσχετο et Zon. Lex. p. 823. 1. πρὸς τὸν cod., τὸν πρὸς Suid. et Zon. 2. τοὺς om. Suid. 3. Θουκυδίδης] Thuc. I, 9, 2. πλήθει] πρῶτον πλήθει Thuc. 7—9. ex Harpocr. p. 71, 24. cuius locum repetunt Suidas v. ἔνδειξις et Zon. Lex. p. 722. 8. 9. ἐπῆγον εἰς τὸ δικαστήριον] ὑπῆγον Harpocr. Suid. Zon. 10—15. eadem Etym. M. p. 338, 31. quicum cf. Anecd. Bekk. p. 250, 4. 10. ἦσαν om. ed. pr. ἦσαν οὗτοι Etym. M. 11. ἐπαγομένους] ἀπαγομένους Etym. M. 13. καὶ ἐδείκνυον om. Etym. M. 14. χωρία] χωρία οἰκίας Etym. M. 15. πολίταις] πωληταῖς genuinam esse lectionem agnovit Schleusner. παρεδίδουν] εἰσῆγον recte Etym. M. δὲ καὶ ἐνίας] δὲ ἐνίας Etym. M., ubi δὲ καὶ ἐνίας coniecit Sturzius. 19. Συνέσιος] Synesius Epist. 57 p. 195 A.

261. ἔπαθε τρόπαιον ἀντὶ τοῦ ἐτράπη. Ἀριστείδης· τὸ δ' ὀνειδίζεσθαι μὲν ὑπὸ τῶν οἰκείων, ὀνειδιζομένους δὲ αὖθις ἐξελθεῖν, ἀντιστάντας δὲ τρόπαιον μεῖζον τῶν προτέρων παθεῖν αὐτοὺς ἐποίησεν ἐπισφραγίσασθαι τὴν νίκην.

262. ἐκεῖθι γράφεται ὡς αὐτόθι. Ἡρόδοτος· καὶ γὰρ δὴ ἐκεῖθι κοιμᾶται ἐν τῷ τοῦ Διὸς τοῦ Θηβαίου γυνή.

263. ἐπακτὸς ὅρκος ὃν αὐτός τις ἑκὼν αὐτῷ ἐπάγεται. οὕτω Λυσίας.

264. ἑκαστάτω ἀντὶ τοῦ πορρωτάτω. οὕτω Προκόπιος.

265. Ἐμπεδοκλέους ἔχθρα ἐπὶ τῶν δυσοργήτων. ᾤμην δ' ἔγωγε τοιαύτῃ φιλίᾳ συνηρμόσθαι ὥστε μηδ' ἂν τὴν Ἐμπεδοκλέους ἔχθραν ἐμποδὼν ἡμῖν γενέσθαι.

266. ἔνσπονδος ὁ εἰρηνικός. Θουκυδίδης· καὶ ἦσαν γὰρ οὐδενὸς Ἑλλήνων ἔνσπονδοι.

267. ἐκεχειρία ἄνεσις, ἀργία, ἔνδοσις, καὶ πολέμου ἀναχωχή.

---

1. ἔπαθε τρόπαιον] noli credere tam absurdam verborum iuncturam sano homini potuisse unquam in mentem venire; lexicographus Byzantinus hoc uno nomine laudandus est quod allato novae locutionis teste suam ostendit stultitiam nemini nocituram. Ἀριστείδης] Aristid. vol. 1 p. 254. 2. ὀνειδίζεσθαι ed. pr., ὀνειδίζεσθαι cod. 3. ἀντιστάντ… δὲ ed. pr., ἀντιστάντας δὲ cod., ἀνθιστάντας δὲ recte Aristidis libri. μεῖζον] μείζω Aristid., ubi μεῖζον codices LN. προτέρων παθεῖν] πρότερον προσπαθεῖν Aristid. 4. ἐπισφαγίσασθαι ed. pr., ἐπισφραγίσασθαι cod., ἐπισφραγίζεσθαι Aristid. 5. Ἡρόδοτος] Herodotus I, 182, 1. 6. Θηβαίου] Θηβαιεύς Herod. 7. 8. cf. E, 40 p. 58, 4. 7. ἔπακτος ed. pr., ἐπακτὸς cod. 9. Suidas: ἑκαστάτω· πορρωτάτω. Προκόπιος (de bello Vand. I, 2 vol. 1 p. 315, 18)· ἑκαστάτω τῆς τοῦ βαρβάρου ἐπιβουλῆς ὄντες. eadem omisso Procopii nomine Zonaras Lex. p. 680. 10—12. cf. Suid. v. Ἐμπεδοκλέους ἔχθρα, Diogenian. IV, 77 al. ᾤμην — ἐμποδὼν γενέσθαι] Lysiae fr. 60 ed. Bekk. 11. μὴ δὰν τὴν cod., μηδ' αὐτὴν ed. pr., μηδ' ἂν τὴν Suid. et al. 13. Θουκυδίδης] Thuc. I, 31, 2. 15—p. 90, 6. glossae 267—269 in margine additae sunt literis minoribus. 15. similiter Etym. M. p. 321, 24. Zon. Lex. p. 655. Suid. v. ἐκεχει-

268. Ἑλλανοδίκαι ἄρχοντες Ἠλεῖοι οἱ διέποντες τὸν ἀγῶνα τὸν Ὀλυμπιακόν. ἐκλήθησαν δὲ οὕτως ὅτι παρ' Ἕλλησιν ἐδίκαζον. ἐκαθέζοντο δὲ ἐν τῷ ἀγῶνι πορφύραν περιβεβλημένοι, καὶ ἦσαν τὸ μὲν πάλαι ἐννέα, εἶτα δύο, καὶ πάλιν ὀκτώ.

269. ἐνωμοτία καὶ ἐνωμοτάρχαι τάξις καὶ ἀρχὴ παρὰ Λακεδαιμονίοις. διδόναι ὅρκον μὴ λείπειν τὴν τάξιν.

270. ἐνταῦθα ἀντὶ τοῦ ἐνθάδε, καὶ ἀντὶ τοῦ ἐκεῖσε. καὶ ἐνταῦθα ἀντὶ τοῦ λοιπόν. Λιβάνιος· ἐνταῦθα ἐγὼ γνοὺς ὅτι τῶν μὲν ζώντων καταφρονεῖ, ταῖς δὲ τῶν παλαιῶν συμβουλίαις τάχα ἂν εἴξειε. καὶ Ἡρόδοτος· συλλεγομένων δὲ ἐς τωυτὸ τῶν περὶ τὴν Ἑλλάδα Ἑλλήνων τῶν τὰ ἐκείνων φρονούντων καὶ διδόντων λόγον καὶ πίστιν, ἐνταῦθα ἐδόκεε βουλευομένοισιν αὐτοῖσιν.

271. ἐμποδὼν ἔστη καὶ ἐμποδὼν ἔστησαν ἐπὶ πληθυντικοῦ. καίτοι δίκαιοί γ' ἐστὲ μάλιστα μὲν ἐμποδὼν στῆναι ἀμφοτέροις.

272. ἔπεισιν ἐπὶ μέλλοντος καὶ ἐνεστῶτος λαμβάνεται.

ρία. πολέμου ἀνακωχή] πολέμου ἀνοχή Etym. M., ἀνοχὴ πολέμου Suid. et Zon.

1—4. eadem fere Etym. M. p. 331, 20. 1. τὸν ἀγῶνα] τὰ κατὰ τὸν ἀγῶνα Etym. M. 2. ἐκλήθησαν] ἐκλήθη Etym. M., ἐκλήθησαν Anecd. Bekk. p. 249, 1. οὕτως om. Etym. M. ἐδίκαζον] ἐδίκαζον τοῖς τε ἀθληταῖς καὶ τοῖς ἄλλοις ἀγωνισταῖς Etym. M. 3. πορφύραν] πορφυρίδα Etym. M. ἦσαν] ἦσαν οὗτοι Etym. M. 4. πάλιν ὀκτώ] τὸ τελευταῖον η' Etym. M. 5. 6. cf. Suid. v. ἐνωμοτία et Zon. Lex. p. 720. 5. ἐνωμότια cod., ἐνωμοτία ed. pr. 6. διδόνα ὅρκον ed. pr. et fortasse codex, ubi prius vocabulum parum perspicue scriptum est. supplendum suspicor εἴρηται δὲ ἀπὸ τοῦ διδόναι ὅρκον. saltem διδόνα in διδόναι mutavi. 8. Λιβάνιος] Libanius Decl. vol. 4 p. 145, 29. ἐγὼ om. Liban. 9. 10. τάχα ἂν εἴξειε] τάχ' ἂν εἴξει Liban. ed., τάχ' ἂν εἴξειε coniecit Reiskius. 10. Ἡρόδοτος] Herodotus VII, 145, 1. 11. τὰ ἐκείνων φρονούντων] τὰ ἀμείνω φρονεόντων Herod. διδόντων λόγον] διδόντων σφίσι λόγον Herod. 12. ἐνταῦθα] ἐνθαῦτα Herod. 14. καίτοι — ἀμφοτέροις] locus Thuc. I, 40, 4. ἐμποδὼν] ἐκποδὼν Thuc. 15. λέγεται ed. pr., λαμβάνεται cod.

273. ἐν πρόθεσις ἐν ταῖς συνθέσεσιν ὡς καὶ ἐν ταῖς παραθέσεσι καὶ ἑνικῷ συντάσσεται ῥήματι καὶ πληθυντικῷ, οἷον ἔνεισι καὶ ἔνεστιν.

274. εἰλόμενος γράφεται καὶ εἰλούμενος, ὡς στερόμενος καὶ στερούμενος, καὶ ἐπιμελόμενος καὶ ἐπιμελούμενος.

275. ἐπιφανῶς ἀντὶ τοῦ ἐνδόξως. καὶ ἐπιφανῶς ἀντὶ τοῦ προδήλως. Θουκυδίδης· καὶ περὶ αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα πέμπει ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν καὶ μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν.

276. ἐπικηρυκεύεται ἀντὶ τοῦ διὰ κήρυκος συνθήκας τινὰς ἢ πρεσβείας ποιεῖται. καὶ ἐπικηρυκεία ἡ τῶν πολεμίων φιλία ἢ τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν.

276 b. ἐπικεκηρυχέναι. ὁπότε βούλοιτο πόλις ἢ ἄρχων τινὰ τῶν μὴ ὑφ' ἑαυτὸν ποιήσασθαι, ἐκήρυττε χρήματα τῷ ἀνελόντι ἢ ζῶντα προσαγαγόντι, καθὰ καὶ Ξέρξην ἐπεκήρυξαν.

277. ἐπὶ Δελφινίῳ δικαστήριον ἦν ἐν Ἀθήναις, ἐν ᾧ ἐκρίνοντο οἱ πρόδηλον καὶ ἀναμφίβολον φόνον ἐργασάμενοι.

---

1. συνθέσεσι ὡς cod. 7. Θουκυδίδης] Thuc. I, 91, 3. αυτῶν sine spiritu cod., αὐτῶν ed. pr. 8. πέμπει] πέμπει κελεύων Thuc.

10. 11. cf. Suidas v. ἐπικηρυκεύεται. 11. 12. Suidas: ἐπικηρυκεία· φιλία ἡ ἐκ τῶν πολεμίων. ἐπικηρυκεία· τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν. Δημοσθένης ε' Φιλιππικῶν. ubi altera glossa ex Harpocr. p. 80, 14 derivata est; cf. E, 51. post πέμπειν in codice novae glossae initium indicatur; cum praegressis ea quae accedunt copulavit ed. pr. 13—15. similiter Suidas v. ἐπικεκηρυχέναι, qui usus est Harpocr. p. 80, 9. 13. ἐπικεκηρυκέναι cod., ἐπικεκηρυχέναι Harp. et Suid. 13. 14. τινὰ τῶν μὴ ὑφ' ἑαυτὸν ποιήσασθαι] ἀναιρεθῆναί τινα τῶν μὴ ὑφ' ἑαυτοῖς recte Harp. et Suid. 14. χρήματα] δώσειν χρήματα Harp. et Suid. 15. ἐπεκήρυξαν] ἐπεκήρυξαν οἱ Ἕλληνες τῷ καταγαγόντι ἢ ζῶντα ἢ τεθνηκότα Ἀθήναζε ἑκατὸν δώσειν τάλαντα Suid., paululum discrepat Harpocr. 16. 17. meliora eadem de re traduntur supra E, 47. 16. ἐπιδελφινίω cod, ἐπὶ Δελφινίῳ ed. pr.

278. ἔτυχον λίθῳ ἢ βέλει τοῦ δεῖνος. Δίων· ἑνὸς δὲ ἐγὼ λίθῳ ἔτυχον.

279. ἐπιγνώμονες ἐλέγοντο ὅσον εἰσφέρει τις καὶ ὅσον ὀφείλει εἰς δημόσιον.

280. ἐλαφρῶς ἐπὶ τοῦ ἠρέμα φερομένου πνεύματος λέγεται. Ἀριστείδης· καὶ προσέβαλλεν αὔρα τις ἐλαφρὰ καὶ ψυχεινή.

281. ἑξῆς καὶ ἀντὶ τοῦ ἐπίσης. Συνέσιος· ἐγὼ δὲ καίπερ ἀδήλου τοῦ πράγματος ὄντος οἶμαι δεῖν ἅπαντας ἑξῆς ἀποτροπιάζεσθαι.

282. ἔπεισιν ἐπὶ ἑνικοῦ καὶ ἐπὶ πληθυντικοῦ ἀντὶ τοῦ ἁπλῶς εἰσί. καὶ ἔπεισιν ἀντὶ τοῦ ἐπάνω εἰσίν. Ἀριστοφάνης· αἱ χύτραι τῆς γραὸς ἔπεισιν.

283. ἐκεῖνο λαμβάνεται καὶ ἐπὶ παρεληλυθότος καὶ μέλλοντος.

284. ἔφθησαν ἀντὶ τοῦ προκατέλαβον. Ἡρόδοτος· ἔφθησαν πολλῷ οἱ Σκύθαι τοὺς Πέρσας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι.

285. ἐπίτεξ γυνὴ λέγεται ἡ ἐγκυμονοῦσα. Λιβάνιος· τίς ἔσται τὴν γλῶτταν ἐπίτεξ γενομένη. καὶ Ἡρόδοτος· μετεπέμψατο

---

1. Δίων] Dio Chrysost. VII, 73 (vol. 1 p. 125, 16 ed. L. Dind.). 3. 4. quae hoc loco leguntur non possunt intellegi; quid debuerit dici, facile patet ex Suid. v. ἐπιγνώμονας sive Harpocr. p. 78, 7. Suidas enim haec habet: ἐπιγνώμονας ἀντὶ τοῦ ἐπισκόπους. καὶ ἐπιγραφέας τοὺς καθεστηκότας ἐπὶ τοῦ (rectius τῷ Harpocr. et Zon. Lex. p. 791) γράφειν ἑκάστῳ ὅσον εἰσφέρειν ὀφείλουσιν εἰς τὸ δημόσιον. 3. εἰσφέρει τίς cod., εἰσφέρει τις ed. pr. 6. Ἀριστείδης] Aristides vol. 1 p. 534. προσέβαλλεν] προσέβαλεν in Aristid. ed. αὔρα τίς pr. cod., quod in αὔρα τίς mutatum est, αὔρά τις ed. pr. 7. Συνέσιος] Synesius Epist. 50 p. 188 B. ἐγώ δε cod., ἐγὼ δὲ ed. pr. 10. ἔπεισι ἐπὶ ed. pr., ἔπεισιν ἐπὶ cod. καὶ ἐπι cod., καὶ ἐπὶ ed. pr. 11. Ἀριστοφάνης] Ar. Plut. 1207: ταύτης δὲ νῦν τῆς γραὸς ἐπιπολῆς ἔπεισιν αἱ χύτραι. ubi ἔπεισιν pro ἔνεισιν praebuerunt codices Rav. et Ven. 14. Ἡρόδοτος] Herodotus IV, 136, 2. ἔφθασαν ed. pr., ἔφθησαν cod. et Herod. 16. λέται cod., λέγεται ed. pr. ἐγγυμονοῦσα cod., ἐγκυμονοῦσα ed. pr. Λιβάνιος] Libanius Decl. vol. 4 p. 149, 12. 17. γλώτταν ed. pr., γλῶτταν cod. Ἡρόδοτος] Herodotus I, 108, 2.

ἐκ τῶν Περσέων τὴν θυγατέρα ἐπίτοκα ἐοῦσαν, ἀπικομένην δὲ ἐφύλασσε βουλόμενος τὸ γενόμενον ἐξ αὐτῆς διαφθεῖραι.

286. **ἐπιγραφεῖς** κατά τινας μὲν οἱ τὰ δημόσια γράφοντες, κατά τινας δὲ οἱ ὁρίζοντες καὶ ἐπιγράφοντες τὰ ἐπιτίμια τῶν ἐν ταῖς δίκαις ἁλισκομένων.

287. **ἐπακτὸς ὅρκος** ὃν ἄν τις αὐτὸς ἑαυτῷ ἐπάγηται.

288. **ἐπιβόητος** ἐπὶ κακοῦ λέγεται· **διαβόητος** δὲ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ.

289. **ἐξαίρει** ἀντὶ τοῦ νικᾷ. **Ἀριστείδης**· τὸ δ' ἐπ' ἀλλήλους τρέπεσθαι καὶ τὴν ἐπὶ τῇ κοινῇ σωτηρίᾳ κατοικίαν γενομένην ταύτην διαλύοντας καὶ διασπῶντας τὰ αὑτῶν εὖ τίθεσθαι νομίζειν ἑκάστους ἐξαίρει πᾶσαν ἀνθρώπων ἔννοιαν.

290. **ἔφυγον ὑπὸ νύκτα, ἔφυγον ὑπὸ σκότος** ἀντὶ τοῦ συνεργῷ τῇ νυκτὶ καὶ τῷ σκότει χρώμενοι τῆς φυγῆς. οὕτω γράφει **Θουκυδίδης**.

291. **ἐξαπίνης** καὶ **ἐξαπιναίως** γράφεται. **Θουκυδίδης**· ἐν τούτῳ δὲ οἱ Σάμιοι ἐξαπιναίως ἔπλουν ποιησάμενοι.

292. **ἐν τούτῳ** ἀντὶ τοῦ τότε. **Θουκυδίδης**· καὶ ἐν τούτῳ οἱ Κορίνθιοι τῆς Ποτιδαίας ἀφεστηκότες.

---

1. ἐπίτοκα] ἐπίτεκα meliores Herodoti libri. **2.** γενόμενον] γεινόμενον plerique Herodoti libri. **3—5.** cf. Lex. Bekk. p. 254, 3. Etym. M. p. 358, 20. Zon. Lex. p. 791. **3.** γράφοντες] ἐπιγράφοντες Zon., διαγράφοντες Etym. M. **4. 5.** τὰ ἐπιτίμια τῶν ἐν ταῖς δίκαις ἁλισκομένων] τὰς εἰσφορὰς ἑκάστῳ Lex. Bekk. et Etym. M. **6.** cf. E, 40. ἐπάγεται ed. pr., ἐπάγηται cod. ut videtur. **7.** λαμβάνεται ed. pr., λέγεται cod. **9.** ἐξαίρει ἀντὶ τοῦ νικᾷ] cf. E, 133. ubi idem Aristidis locus affertur. Ἀριστείδης] Aristides vol. 1 p. 829. **10.** σωτηρίαν cod., σωτηρίᾳ ed. pr. et Aristid. **11. 12.** ἑκάστους om. ed. pr. mero errore. **12.** ἔννοιαν] ἄνοιαν Aristid. **15.** Θουκυδίδης] Thucydides aliquoties dixit ὑπὸ νύκτα, ut I, 115, 4: διέβησαν ὑπὸ νύκτα ἐς τὴν Σάμον. II, 92, 6: ὑπὸ νύκτα ἐσέπλευσαν ἐς κόλπον τὸν Κρισαῖον. VI, 64, 1: ταῖς ναυσὶν ἐν τοσούτῳ ὑπὸ νύκτα παραπλεύσαντες. **16.** Θουκυδίδης] Thuc. I, 117, 1. **18.** Θουκυδίδης] Thuc. I, 60, 1. **19.** ἀφεστηκότες] ἀφεστηκυίας Thuc.

293. ἐξ πρόθεσις σημαίνει καὶ σύγκρισιν. Πίνδαρος· ἐκεῖναι γὰρ ἐξ ἄλλων ἡγεμονεῦσαι ὁδὸν ἐπίστανται.

294. εὐδαιμονίζω ἔχει ἐναντίον τὸ κακοδαιμονίζω. Φίλων· εὐδαιμονιστέον μὲν οἰκίαν καὶ πόλιν καὶ χώραν, ὅταν ἔχῃ τινὰ σπουδαῖον· κακοδαιμονιστέον δέ, ὅταν ἔρημος ᾖ τοιούτου.

295. ἐργάζομαί σοι ἀγαθὸν καὶ ἐργάζομαί σε ἀγαθὸν ἀττικῶς, ἔξωθεν λαμβανομένης τῆς εἰς ἢ τῆς πρὸς προθέσεως. Λιβάνιος· ἄνθρωπος πλεῖστα μὲν ἀγαθὰ τὸν Ἀλέξανδρον εἰργασμένος.

296. ἐξετασταὶ ἰδικῶς ἐλέγοντο οἱ πεμπόμενοι ἄρχοντες ἐπὶ ἐξετάσει ἀριθμοῦ τινῶν στρατευμάτων ἢ ἄλλο τι δημόσιον ἔργον, ἵνα ὁ μισθὸς ἀκολούθως δοθῇ.

297. ἐξηγηταὶ ἰδίως ἐλέγοντο οἱ τοὺς νόμους τοῖς ἀγνοοῦσιν ἀνακαλύπτοντες καὶ διασαφοῦντες.

298. ἐξοστρακισμὸς φυγὴ δεκαετής.

299. ἐποκείλαντες ἀντὶ τοῦ ἑδράσαντες. Ἡρόδοτος· νέας μὲν δὴ αὐτοῦ ταύτῃ ἐποκείλαντες κατέλιπον.

---

1. Πίνδαρος] Pind. Ol. 6, 25 sq. ἐκεῖναι] κεῖναι Pind. 2. ἄλλων] ἄλλαν plerique libri Pind. ἡγεμονεῦσαι ὁδὸν] ὁδὸν ἀγεμονεῦσαι (al. ἡγεμονεῦσαι) ταύταν Pind. 3. τὸ om. ed. pr. Φίλων] Philo Iud. vol. 2 p. 671. 4. οἰκίαν καὶ πόλιν καὶ χώραν] καὶ πόλιν καὶ χώραν καὶ οἰκίαν in Philone ed. Lexici Vindobonensis lectio praeferenda videtur. 8. Λιβάνιος] Libanius Decl. vol. 4 p. 96, 24. idem locus supra allatus est E, 97. 10. ϊδϊκῶς sine spiritu cod., ἰδικῶς ed. pr., ἰδίως malim. 11. ἄλλό τι cod., ἄλλο τι ed. pr. 13. 14. similiter Etym. M. p. 348, 19 et Anecd. Bekk. p. 252, 4. 15. ἐξωστρακισμὸς cod., ἐξοστρακισμὸς ed. pr. 16. ἑδρώσαντες ed. pr., ἑδράσαντες cod. Ἡρόδοτος] Herodotus VI, 16, 1.

Z.

1. ζέει οὐ μόνον ἐπὶ τῶν βραζομένων ὑδάτων λέγεται, ἀλλὰ καὶ ἐπὶ θυμοῦ. θεολόγος· ἕως ζέει καθ' ἡμῶν ὁ τύραννος. καὶ ἐπὶ θαλάσσης. ὁ αὐτός· ναυμαχίᾳ καὶ ζάλῃ, πνευμάτων ἐμβολαῖς καὶ ῥοθίῳ ζέοντι.

2. ζητεῖν ἐπὶ τοῦ βούλεσθαι τιθέασιν οἱ Ἀττικοί.

3. ζηλοτυπεῖν ἀντὶ τοῦ μισεῖν γράφει Αἰσχίνης.

4. ζηλοῦν ἀντὶ τοῦ μακαρίζειν. Σοφοκλῆς· καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω.

5. ζεῦγος οὐ μόνον τὸ ἐκ δυοῖν ζευγνύμενον, ἀλλὰ καὶ ἐκ πλειόνων, οἷον τέθριππον ζεῦγος.

6. ζεῦξαι τὸ τοὺς βόας εἰς ἅμαξαν ἄξαι ἢ ἡμιόνους εἰς ἅρμα ἢ εἰς μυλῶνα. καὶ τὸ πρᾶγμα ζεύξεια καλεῖται. λέγεται δὲ καὶ ζεῦξαι νῆας ἀντὶ τοῦ ζυγώμασι περιδῆσαι.

7. ζημιοῖ χρυσίον τὸν δεῖνα, καὶ ζημιοῖ χρυσίῳ.

---

2. θεολόγος] Greg. Naz. Orat. XXII p. 403 C. 3. ὁ αὐτός] Greg. Naz. Orat. I p. 34 A. πνευμάτων] καὶ πνευμάτων Greg. Naz. 6. Harpocr. p. 91, 12: ζηλοτυποῦν (ζηλοτυπεῖν ABC) Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἀντὶ τοῦ μισοῦν (μισεῖν ABC)· ζηλοῦν γὰρ τὸ μακαρίζειν, ζηλοτυπεῖν δὲ εἰς ἀπέχθειαν ἐληλυθέναι. similiter Phot. Lex. p. 53, 15. Suid. v. ζηλοτυποῦν. Zon. Lex. p. 958. Αἰσχίνης] Aeschines 3, 211: κάθαρμα ζηλοτυποῦν ἀρετήν. 7. Σοφοκλῆς] Soph. Ai. 552. 8. τοῦτο γε cod., τοῦτό γε ed. pr. 9. 10. uberiora praebeat Photius Lex. p. 52, 17. Etym. M. p. 409, 46. cf. Anecd. Bekk. p. 260, 29. 10. verba τέθριππον ζεῦγος a Photio et in Etym. M. tribuuntur Isocrati, in cuius oratione περὶ τοῦ ζεύγους (16, 25) τεθρίππῳ ζεύγει pro ἵππων ζεύγει restituit Naber Phot. Lex. vol. 1 p. 246.

11. 12. haud dissimilia leguntur Etym. M. p. 409, 25. Zon. Lex. p. 955. 11. ἄξαι cod. ἄρμα cod., ἅρμα ed. pr. 12. μύλωνα cod. ζεύξεια] ζεύξειν Etym. M. et Zon., sed ζεύξεια Etym. M. cod. V. ζεῦξιν suasit Tittmannus. 14. χρησίῳ cod., χρυσίῳ ed. pr.

8. ζητηταί ἀρχή τις ἦν Ἀθήνησι κατὰ καιροὺς καθισταμένη, πρὸς ἣν ἐμηνύοντο οἱ ὀφείλοντες χρήματα τῇ πόλει καὶ μὴ ἀποδεδωκότες.

9. ζημίαν λαβεῖν ἀντὶ τοῦ ζημιωθῆναι. Σοφοκλῆς· ἄμεινόν ἐστι ζημίαν λαβεῖν ἢ κέρδος κακόν.

10. ζῆλος ἡ μίμησις. Ἡσίοδος· ζηλοῖ δέ τοι γείτονα γείτων. καὶ ζῆλος ὁ φθόνος. ὁ αὐτός· ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασι. καὶ ζῆλος καταφρονουμένου τινὸς θείου πράγματος ἔμμονος καὶ διηνεκὴς τῆξις καρδίας καὶ λύπη, ὡς τὸ «ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με».

H.

1. ἠπειρώσας ἀντὶ τοῦ ἤπειρον ἐργασάμενος. Ἱμέριος· ἀλλ' ἐπισχεθεῖσα μὲν πᾶσιν αἰγιαλοῖς καὶ πᾶσι πεδίοις, ἠπειρώσασα δὲ αὐτὴν ἦγον τὴν θάλασσαν.

1—3. eadem Photius Lex. p. 54, 1. Anecd. Bekk. p. 261, 4. Suid. v. ζητηταί. 1. ἦν Ἀθήνησι cod., Ἀθήνησίν ἐστι Anecd. Bekk. ὑφισταμένη cod., καθισταμένη Phot. Anecd. Bekk. Suid. 2. χρήματα τῇ πόλει] τῇ πόλει χρήματα Anecd. Bekk. 2. 3. ἀποδεδωκότες] ἀποδιδόντες Anecd. Bekk. 4. 5. cf. Phot. Lex. p. 53, 25: ζημίαν λαβεῖν ἀντὶ τοῦ ζημιωθῆναι· οὕτως Σοφοκλῆς. locum Sophoclis (fr. 742) unus hic lexicographus tradidit. ἄμεινον ἐστι cod., ἄμεινόν ἐστι ed. pr. ζημίαν λαβεῖν ἄμεινόν ἐστιν ἢ κέρδος κακόν poetam dixisse coniecerunt Meinekius et M. Schmidtius. 6. Ἡσίοδος] Hesiodus Op. 23. δέ τοι] δέ τε Hes. 7. ὁ αὐτός] Hesiodus Op. 195. 9. 10. ὁ ζῆλος — κατέφαγέ με] Psalm. 68, 10 sive Evang. Ioh. 2, 17. auctor huius glossae locum ex ecclesiastico aliquo scriptore repetiit, fortasse e Greg. Naz. Orat. XVI p. 240 D. 9. οἰκοῦ ed. pr., τοῦ οἴκου cod. 11. Ἱμέριος] Himerius Orat. VII, 7. 12. ἐπισχεθεῖσα] sic vel ἐπιχθεῖσα vel ἐπιχεθεῖσα Himerii libri, ἐποχηθεῖσα Duebner. 13. ἦγον] ἤδη Himer.

2. ἠρίον κυρίως ὁ μὴ ἐν ὕψει ᾠκοδομημένος τάφος.

3. ἥκω τὸ ἔρχομαι, μεταβατικῶς δὲ σὺν προθέσει, οἷον ἥκω πρὸς τὴν πόλιν. ἐξήκει μοι δὲ ὁ χρόνος ἀντὶ τοῦ διήνυσται.

4. ἡγεμὼν ὁ βασιλεὺς καὶ ὁ ὁδηγὸς καὶ τῆς ὁδοῦ. Ξενοφῶν· καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς. καὶ ἡγεμὼν ὁ συμμορίας τινὸς μετέχων. Δημοσθένης. ὁ προέχων πλούτῳ καὶ διὰ τοῦτο τῶν ἄλλων ἡγεμονεύειν ἐπειλημμένος.

5. ἦγεν ἀντὶ τοῦ ἐτέλει, καὶ ἀντὶ τοῦ ἐκόμιζε, καὶ ἀντὶ τοῦ ἐπαιδαγώγει.

6. ἤδη ἀντὶ τοῦ λοιπόν. οὐκ εἰ σὺ βαρέως τοῖς ἐλευθεριάσασι Ξανθίων προσηνέχθης, ἤδη καὶ ἡμεῖς τοὺς ἐν δούλοις καταδικασθέντας μιμησόμεθα Μεγαρεῖς. Ἀριστοφάνης· φεύγοις ἂν ἤδη τοὺς πονηρούς. καὶ ἀντὶ τοῦ πρὸ τούτου, καὶ ἀντὶ τοῦ ἀπαρτί, καὶ ἀντὶ

---

1. cf. Harpocr. p. 93, 26. Phot. Lex. p. 74, 18. ἠρεῖον cod., ubi pro εῖ primum ϊ scriptum fuisse videtur. 4. 5. cf. Suid. v. ἡγεμών.

4. ὁ ὁδηγὸς καὶ τῆς ὁδοῦ] verba vitiosa, quorum medela incerta. Ξενοφῶν] Xenoph. Anab. IV, 2, 1. 5—7. meliora praebet Harpocr. 92, 3. unde quaedam repetiit Photius Lex. p. 58, 26. 5. ὁ om. ed. pr. 6. Δημοσθένης] ἐν τῷ ὑπὲρ Κτησιφῶντος addit Harpocr. respicitur Demosth. 18, 312: διτάλαντον δ' εἶχες ἔρανον δωρεὰν παρὰ τῶν ἡγεμόνων τῶν συμμοριῶν ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον. 6. 7. verba ὁ προέχων κτέ. non Demosthenis sunt, sed Harpocrationis. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 7. ἡγεμονεύειν ..ειλημμένος ed. pr. in codice primitus προειλημμένος scriptum fuit, quod in ἐπειλημμένος (sic Harp. et Phot.) mutatum est. 10—12. verba οὐκ εἰ σὺ βαρέως — μιμησόμεθα Μεγαρεῖς, desumpta e Bruti Epist. 12 p. 8 ed. Westerm., in margine codicis addita sunt. in fine glossae ista verba collocavit ed. pr., ego eum locum iis reddidi quem et ratio et codex viderentur suadere. 10. τηῖς cod., τοῖς ed. pr.

11. προσηνέχθης ed. pr., προσηνέχθης cod. ἐνδούλους καταδικασθέντας ed. pr., ἐν δούλοις καταδικασθέντας cod., ἐπὶ (ἐν CD) δουλείᾳ δεκασθέντας (δικασθέντας A) Bruti Epist. 12. Μεγαρεῖς] leg. Παταρεῖς e Bruti Epist. Ἀριστοφάνης] Ar. Plut. 96. 13. προτούτου cod., πρὸ τούτου ed. pr.

τοῦ νῦν καὶ ἀντὶ τοῦ ποτέ. Ἀριστοφάνης· ἤδη ζωμοῦ Παναθηναίοις ἐμπλησθείς.

7. ἥκιστα ἀντὶ τοῦ οὐδαμῶς. καὶ ἀντὶ τοῦ μᾶλλον. Δημοσθένης· οὐδεὶς ἀγνοεῖ καὶ πάντων ἥκιστα σύ.

8. ἤλεγχον ἀντὶ τοῦ δῆλον τὸ πταῖσμα ἐποίουν. καὶ ἤλεγχον ἀντὶ τοῦ ἀνηρεύνων. Ξενοφῶν· τοὺς αἰχμαλώτους ξυναγαγόντες ἤλεγχον τὴν πᾶσαν χώραν τίς ἑκάστη εἴη.

9. ἠκρωτηριασμένος εἰς παθητικὴν σημασίαν παθητικὸν ὂν παραλαμβάνεται. Θεολόγος· ἄνθρωποι τὰ πλεῖστα μέρη τοῦ σώματος ἠκρωτηριασμένοι. ἀλλὰ καὶ εἰς ἐνεργητικήν. Δημοσθένης· ἠκρωτηριασμένοι τὰς ἑαυτῶν πατρίδας ἕκαστοι.

10. ἠγόμην ἀντὶ τοῦ ἐφερόμην, καὶ ἀντὶ τοῦ ἐπαιδαγωγούμην.

11. ἦλθε τὰ ὀστᾶ, ἦλθε τὰ ξύλα ἀντὶ τοῦ ἐκομίσθη. οὕτω Λυσίας καὶ Δημοσθένης. καὶ ἦλθεν ἀντὶ τοῦ ἐβάδισεν ἀμέσως χωρὶς προθέσεως. Θεολόγος· ἑτέραν ἦλθον, ὡς ἐμαυτὸν πείθω, βελτίω τε καὶ ἀπονωτέραν ὁδόν.

12. ἦτε ἀντὶ τοῦ ὑπήρχετε. οἱ δὲ Ἀττικοὶ μετὰ τοῦ σ γράφουσι.

---

1. Ἀριστοφάνης] Ar. Nub. 386. 3. Δημοσθένης] Demosth. 18, 81. 6. Ξενοφῶν] Xen. Anab. III, 5, 14. τοὺς αἰχμαλώτους ξυναγαγόντες] συναγαγόντες τοὺς ἑαλωκότας Xenophontis libri ABCE, συναγαγόντες τοὺς αἰχμαλώτους alii, τοὺς αἰχμαλώτους συναγαγόντες Suidas v. ἤλεγχον. 8. ἠκροτηριασμένος (an—οι?) cod., ἠκρωτηριασμένος ed. pr. 9. Θεολόγος] Greg. Naz. Orat. XVI p. 244 C: ἄνθρωποι νεκροὶ καὶ ζῶντες, ἠκρωτηριασμένοι τοῖς πλείστοις τοῦ σώματος μέρεσι. 10. ἀκροτηριασμένοι cod., ἠκρωτηριασμένοι ed. pr. Δημοσθένης] Demosth. 18, 296. 11. ἠκροτηριασμένοι cod., ἠκρωτηριασμένοι ed. pr. πατρίδας ἕκαστοι] ἕκαστοι πατρίδας Demosth. Harpocr. p. 92, 21. Suid. v. ἠκρωτηριασμένος. 14. τὰ ὀστὰ cod., τὰ ὀστᾶ ed. pr. 16. ἦλθεν ed. pr., ἦλθον cod. ut videtur. 17. βελτίω καὶ ed. pr., βελτίω τὲ καὶ cod. 18. γράφουσιν ed. pr., γράφουσι cod.

Πλάτων· παρῆστε γὰρ χθές. καὶ Λυσίας· οὐχ οἷοί τε ἦστε ἐπαρκέσαι. καὶ Θουκυδίδης· μή μοι βέβαιον ἦστε.

13. ἠγάγετο ὁ ἀνὴρ γυναῖκα. Λιβάνιος· ἠγαγόμην, ὦ ἄνδρες, γυναῖκα.

14. ἥκω ἀντὶ τοῦ ἧκον, καὶ ἀντὶ τοῦ ἔρχομαι.

Θ.

1. θοιμάτιον κατὰ συναλοιφὴν τὸ ἱμάτιον. οἱ Ἀττικοὶ δὲ λέγουσι καὶ ἐπὶ πληθυντικῶν πτώσεων, ἐπὶ εὐθείας τῶν ἑνικῶν ὀφειλόμενον μόνον γράφεσθαι. Συνέσιος· ἡγοῦμαι δὲ ἀσεβέστερον ἀποθανόντων λόγους κλέπτειν ἢ θοιμάτια.

2. θερμὸν λέγεται καὶ τὸ ἀσυντήρητον. Ἀριστοφάνης· ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράδοξον.

3. θηλυδρίας ὁ λάγγος. Συνέσιος· ὁ δὲ Ἀλέξανδρος εἰ μὴ θῆλυς, ἀλλὰ θηλυδρίας γε ἦν.

4. θραυστὸν ὁ λίθος, οὐ μὴν καὶ κατακτόν. κέραμοι δὲ καὶ θραυστὸν καὶ κατακτόν. κάταξις μὲν γάρ ἐστιν ἡ εἰς μεγάλα μέρη τομή, θραῦσις δὲ εἰς μικρά.

---

1. Πλάτων] Plat. Conv. p. 176 B, ubi pristina scriptura παρῆτε genuinae lectioni nunc cessit. Λυσίας] Lysias 13, 93: οὐχ οἷοί τε ἐκείνοις ἐπαρκέσαι γεγόνατε διὰ τὰ πράγματα. probabile est tralaticiam scripturam ex hoc loco esse emendandam. οἷοι τε cod., οἷοί τε ed. pr. 2. Θουκυδίδης] Thuc. III, 57, 4: ὑμεῖς τε ὦ Λακεδαιμόνιοι, ἡ μόνη ἐλπίς, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε. ita libri Thuc. et Dionys. de comp. verb. c. 7 vol. 5 p. 45 ed. Reisk. 3. Λιβάνιος] Libanius Decl. vol. 4 p. 586, 2. 6. συναλειφὴν cod., συναλοιφὴν ed. pr. οἱ δὲ Ἀττικοὶ ed. pr., οἱ Ἀττικοὶ δὲ cod. 8. Συνέσιος] Synesius Epist. 142 p. 280 C. ceterum θοιμάτια olim adeo Aristophani tributum est Vesp. 408, quod vitium codices redarguerunt. 10. Ἀριστοφάνης] Ar. Plut. 415. 11. παράδοξον] παράνομον Aristoph., παράδοξον v. l. in Suid. v. θερμόν. 12. λαγνός ed. pr., λάγνος cod. Συνέσιος] Synesius Epist. 50 p. 188 C. 16. εἰς μικρά] ἢ εἰς μικρά malim.

5. θεωρικά. χρήματα ἦν τινα ἐν τῷ κοινῷ ἀπὸ τῶν τῆς πόλεως προσόδων συναγόμενα, ἃ πρότερον μὲν εἰς τὰς τοῦ πολέμου χρείας ἐφυλάττετο καὶ ἐκαλεῖτο στρατιωτικά, ὕστερον δὲ ἐδίδοτο εἴς τε τὰς ἑορτάς, ἵνα μηδεὶς διὰ πτωχείαν ἀνέορτος μένῃ, καὶ εἰς τὰ θεωρικά.

6. θευσούμενοι ἀντὶ τοῦ δραμούμενοι ..... οἱ δὲ ἀφίκοντο οἱ μὲν ἀγωνιούμενοι πυγμήν, οἱ δὲ θευσούμενοι στάδιον. καὶ Συνέσιος· ἔνθα καὶ ἱππεῖ συνιππεύσει καὶ πεζῷ συνθευσεῖται. καὶ Ἡρόδοτος· καὶ ἱστία ἀείροντο ὡς θευσούμενοι.

7. θίασος τὸ συναγόμενον πλῆθος ἐπὶ τιμῇ καὶ τελετῇ ἑορτῶν. οὕτω Λυσίας.

8. θανατοῖ ἀντὶ τοῦ θάνατον ἐπάγει. θανατᾷ ἀντὶ τοῦ θανάτου ἐφίεται.

9. θύλακος ἡ ἀρτοθήκη. Ἀριστοφάνης· ἄρτος οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.

10. θεραπεύει ἀντὶ τοῦ δουλεύει, ὅθεν καὶ θεραπεία ἡ δου-

1—5. fons annotationis est Harpocr. p. 96, 27. cf. Phot. Lex. p. 89, 20. Suid. v. θεωρικὰ χρήματα. **1.** τινὰ ed. pr., τινα cod. **3—5.** ὕστερον δὲ — εἰς τὰ θεωρικά] ὕστερον δὲ κατετίθετο εἴς τε τὰς δημοσίας κατασκευὰς καὶ διανομὰς Harpocr. Phot. Suid. **6. 7.** similiter Suidas v. θευσούμενος et Zon. Lex. p. 1039. **6.** θευσούμενοι ἀντὶ τοῦ δραμούμενοι] θευσούμενος δραμούμενος Suid. Zon. **6. 7.** οἱ μὲν ἀγωνιούμενοι] ὁ μὲν ἀγωνιούμενος Suid. Zon. **7.** οἱ δὲ θευσούμενοι] ὁ δὲ θευσούμενος Suid. Zon. Συνέσιος] Synesius de regno c. 9 p. 12 B. **8.** σὺν ἱππεῦσι ed. pr. atque ita pr. cod., ubi συν ἱππεύσει correctum, συνιππεύσει Synes. συνθευσεῖται] συνθεύσεται in Synes. ed. Petav. Ἡρόδοτος] Herodotus VIII, 56. **9.** ὡς θευσούμενοι] ὡς ἀποθευσόμενοι Herod. **10. 11.** cf. Harpocr. p. 98, 12. Phot. Lex. p. 92, 10. Suid. v. θίασος. **10.** τιμῇ καὶ τελετῇ ἑορτῶν] τελετῇ καὶ τιμῇ θεῶν Harpocr., τέλει καὶ τιμῇ θεοῦ Phot. et Suid. cum Harpocr. epit. **11.** οὕτω Λυσίας] scribendum suspicor οὕτως Ἰσαῖος: vide Isaei 9, 30 et grammaticos supra memoratos. **14.** Ἀριστοφάνης] Ar. Plut. 763. ἄρτος] ἄλφιτ' Ar.

λεία. καὶ ϑεραπεία τὸ πλῆϑος τῶν ϑεραπόντων, ὡς καὶ Λιβάνιος· καὶ ϑεραπείαν ἐπαγόμενος οὐ φαύλην, ἀντὶ τοῦ ϑεράποντας πλείστους. καὶ ϑεραπεύει ἀντὶ τοῦ ἰατρεύει. ἔπειτα τὸ στασιάζον πρὸς ἑαυτὸν μαλάσσει καὶ ϑεραπεύει.

11. ϑαλάττιος ἰχϑὺς ὡς ποτάμιος, καὶ ϑαλάττιος ὁ πλέων. ϑεολόγος· ἢ πλοῦς εἰς τὸν ϑαλάττιον.

12. ϑερίζει τὸ λήιον. καὶ ϑερίζει ἄνϑρωπος, ἀντὶ τοῦ τὸ ϑέρος ἔν τινι τόπῳ διάγει.

13. ϑράσος ἔλαβον οἱ ἄνϑρωποι, καὶ ϑράσος ἔλαβε τοὺς ἀνϑρώπους. Θουκυδίδης· τοὺς δὲ Ἀϑηναίους ἰδόντας ταῦτα γιγνόμενα ϑράσος τε ἔλαβεν. οὕτως εὑρίσκονται καὶ ἕτερα, οἷον μανίαν ἔλαβεν ὁ ἄνϑρωπος καὶ μανία τὸν ἄνϑρωπον ἔλαβε, καὶ νόσος ἔλαβε καὶ νόσον ἔλαβε.

14. ϑερμῆναι ἀντὶ τοῦ ϑερμᾶναι. Ἰουλιανός· ὡς δὲ ὁ χειμὼν ἐπεκράτει καὶ ἀεὶ μείζων ἐπεγένετο, ϑερμῆναι μὲν οὐδαμῶς ἐπέτρεψα τοῖς ὑπηρέταις τὸ οἴκημα.

15. ϑαλάμη καὶ ϑάλαμος γράφεται.

16. ϑαλαττοκοπεῖ ἀντὶ τοῦ φλυαρεῖ. Λιβάνιος· ϑαλαττοκοπεῖ δὲ ὡς μάλιστα.

---

1. Λιβάνιος] respici videtur Liban. Decl. vol. 4 p. 5, 19: σχῆμά τε περιβεβλημένος οὐ φαῦλον καὶ ϑεραπείαν ἐπαγόμενος ἀφ᾽ ἧς εἰκάζετο οὐ τῶν τυχόντων εἶναι. 3. 4. ἔπειτα τὸ — ϑεραπεύει] verba sunt Greg. Naz. Orat. XX p. 344 B. 5. ϑαλάττιος πλεῖς pr. cod., ubi ϑαλάττιος ὁ πλέων correctum est. 6. ϑεολόγος] Greg. Naz. Orat. XXXIX p. 633 A. 10. Θουκυδίδης] Thuc. II, 92, 1. 11. γινόμενα ed. pr., γιγνόμενα cod. et Thuc. ϑράσος] ϑάρσος Thuc. τὲ cod., τε ed. pr. 14. Ἰουλιανός] Iulianus Misop. p. 341 C. δέ οἱ ed. pr., δὲ ὁ cod. et Iul. 15. ἐπεγένετο] ἐπεγίνετο Iul. οὐδαμῶς] οὐδ᾽ ὧς Iul. 17. post γράφεται deest in codice signum illud quo novae glossae initium debebat indicari. fortasse complura verba interciderunt. 18. Λιβάνιος] Libanius Decl. vol. 4 p. 139, 25: τοιαῦτ᾽ ἄττα ϑαλαττοκοπεῖ καὶ φλυαρεῖ· καὶ ἐργάζεται μὲν ὡς ἥκιστα, λαλεῖ δ᾽ ὡς μάλιστα.

17. ϑανατᾶν καὶ ϑανατιᾶν γράφεται.

18. ϑερμαίνεται ἀντὶ τοῦ ἐξαπατᾶται. Σοφοκλῆς· οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτῶν ὅστις κεναῖσιν ἐλπίσιν ϑερμαίνεται.

19. ϑεμέλιον οὐδετέρως. Ὅμηρος· ϑεμέλιά τε προυβάλλοντο. καὶ ϑεμέλιος ἀρσενικῶς. Πλάτων· οἱ γὰρ ϑεμέλιοι παντοίων λίϑων ἀπόκεινται.

20. ϑύμον οἱ Ἀττικοὶ οὐδετέρως λέγουσιν ὡς τὸ νῶτον.

21. ϑὴρ λέγεται καὶ ἐπὶ ϑηλυκοῦ. Ὀππιανός· εἰναλία ϑὴρ ἐς πόντον προσφέρει.

22. ϑύρα ἐπὶ οἰκήματος, πύλη ἐπὶ πόλεως. Θουκυδίδης· οἰόμενοι πύλας τὰς ϑύρας τοῦ οἰκήματος εἶναι.

23. ϑέμενος τὰ ὅπλα ἀντὶ τοῦ περιϑέμενος καὶ ὁπλισάμενος. Δημοσϑένης ἐν τῷ κατὰ Μειδίου.

24. ϑυραῖος εἰς στάσιν λαμβάνεται; ϑύραζε εἰς κίνησιν.

25. ϑεμιστεύειν ἀντὶ τοῦ χρησμῳδεῖν Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως.

26. ϑέσϑαι ἀντὶ τοῦ ὑποϑήκην λαβεῖν Ὑπερίδης ἐν τῷ πρὸς Ὑγιαίνοντα, ἀντὶ δὲ τοῦ προέσϑαι καὶ κυρῶσαι νόμον Δημοσϑέ-

---

1. cf. Suid. v. ϑανατᾶν. **2.** Σοφοκλῆς] Soph. Ai. 477 sq. **3.** οὐδ' ἑνὸς cod., οὐδενὸς ed. pr. βροτῶν] βροτὸν Soph. ἐλπίσι cod., ἐλπίσιν Soph. **4.** Ὅμηρος] Hom. Il. 23, 255: ϑεμείλιά τε προβάλοντο. **5.** Πλάτων] immo Thuc. I, 93, 2. **6.** ἀπόκεινται] ὑπόκεινται Thuc. **7.** ϑυμὸν cod., ϑύμον scripsi. τὸν νῶτον cod., τὸ νῶτον ed. pr. **8.** Ὀπιανός cod., Ὀππιανός ed. pr. locus Oppiani est Hal. 1, 700 sq.: εἰναλίη ϑὴρ ἐς πόντον προφέρει. **10.** Θουκυδίδης] Thuc. II, 4, 5. **12. 13.** ex Harpocr. p. 94, 17. cf. Phot. Lex. p. 82, 22. Suid. v. ϑέμενος. **13.** Δημοσϑένης ἐν τῷ κατὰ Μειδίου] Dem. 21, 145: αὐτὸς ὑπὲρ τοῦ δήμου ϑέμενος τὰ ὅπλα δὶς μὲν ἐν Σάμῳ, τρίτον δ' ἐν αὐτῇ τῇ πόλει. ceterum Μηδίου cod., Μειδίου ed. pr. **14.** ϑυραῖος] an ϑύρασιν? **15. 16.** ex Harpocr. p. 94, 21. unde pendent Photius Lex. p. 83, 1 et Suidas v. ϑεμιστεύειν. **17—p. 103, 2.** ex Harpocr. p. 96, 3. cf. Phot. Lex. p. 86, 25 et Suid v. ϑέσϑαι. **17.** ἀντὶ] ἀντὶ μὲν Harp. **18.** δὲ] δ in codice ex τ factum est. προέ-

νης. ἐπὶ γὰρ τῶν νόμων λέγεται ὡς ἔθηκεν ὁ νομοθέτης, ἔθετο δὲ ὁ δῆμος.

27. θηρᾷ ὁ θήρ, θηρῶνται οἱ ἄνθρωποι.

28. θυραυλοῦντα ἀντὶ τοῦ ἔξω εἰς τὸ ἀσκεπὲς διάγοντα. Δίων· ἀλλ' ἐκεῖνοι μὲν ὁρῶντες ῥιγῶντα καὶ θυραυλοῦντα.

29. θροεῖ ἀντὶ τοῦ ἐκπλήττει. ποιητικῶς δὲ ἀντὶ τοῦ λέγει.

30. θεσμοθέται ἓξ τὸν ἀριθμὸν ἦσαν ἐπιμέλειαν ἔχοντες τῶν νόμων· θεσμοὺς γὰρ ἔλεγον τοὺς νόμους.

I.

1. ἱππόδρομος ὁ τόπος, ἱπποδρομία ἡ ἐνέργεια. Χρυσόστομος· ἅπαντες δεδραμήκατε τὴν ἱπποδρομίαν καταλαβόντες. καὶ Ἰουλιανός· μισῶ τὰς ἱπποδρομίας.

2. ἰάσιμον φάρμακον καὶ ἰάσιμον ἄνθρωπον τὸν ἰαθῆναι δυνάμενον λέγομεν. Συνέσιος· ὅταν δέ τις ἰάσιμος ᾖ, μέγα παρὰ τῷ δικαστῇ δύναται.

3. ἱδρυμένος ὁ ἐστηριγμένος. Μάξιμος· ἱδρυμένην ἐπὶ χρυ-

ναι ed. pr., προέσθαι cod., προσέσθαι Harpocrationi ex uno libro N reddiderunt Bekker et Dindorfius.

1. ἔθηκεν] ἔθηκε μὲν Harpocr., ubi tamen libri aliquot μὲν omittunt. in fine Harpocr. haec addit: Δημοσθένης ἐν τῷ περὶ ἀτελειῶν (20, 55). ἐν μέντοι τῷ κατὰ Στεφάνου (46, 23) φησὶν «ἑαυτῷ νόμους ἰδίους θέμενον», μήποτε ἀντὶ τοῦ θέντα. 3. erunt qui malint θηρᾷ ὁ ἄνθρωπος, θηρῶνται οἱ θῆρες. at ne sic quidem ineptia tollitur. θηρᾶ in codice ex θυρᾶ factum est. 4. 5. θηραυλοῦντα pr. codex utroque loco. 5. Δίων] Dio Chrysost. VI, 8 (vol. 1 p. 97, 4 ed. L. Dind.). ῥιγῶντα] ῥιγοῦντα pr. cod. atque ita plerique Dionis libri.

7. 8. contracta haec sunt ex Harpocr. p. 96, 12. cf. Phot. Lex. p. 87, 10 et Suid. v. θεσμοθέται. 11. Ἰουλιανός] Iulianus Misop. p. 340 A. 13. Συνέσιος] Synesius Epist. 44 p. 183 B. 15. Μάξιμος] Maximus Tyr. XIV, 6 vol. 1 p. 260.

σοῦ θρόνου. καὶ ἱδρυμένος ὁ ἀνατεθειμένος, οἷον ναὸς τῷ θεῷ. καὶ ἱδρυμένος στρατὸς ὁ ἀναπαυόμενος εἴς τινα τόπον.

4. ἰλυσπᾶσθαι ἐπὶ τῆς τῶν σκωλήκων πορείας λέγεται.

5. ἱμείρω γράφεται καὶ ἱμείρομαι.

6. ἴσον ἓν ἑνὶ λέγεται, πολλὰ δὲ πολλοῖς ἰσάριθμα, ἐκτὸς εἰ μὴ ἕκαστον εἰς ἕκαστον τεῖνον τὸν λόγον ἔχει.

7. ἰδιωτεύω τὸ τὰ ἴδια πράττω.

8. ἴκταρ ἰωνικόν ἐστι καὶ τίθεται ἐπὶ ψιλῆς καὶ ἀμυδρᾶς προσψαύσεως. Πλάτων· τὸ λεγόμενον οὐδ' ἴκταρ βάλλει.

9. ἰπνὸς τὸ παρ' ἡμῖν μαγειρεῖον. Λυκοῦργος λέγει ἐν τῷ κατὰ Λυκόφρονος.

10. ἴσα βαίνων ἀντὶ τοῦ συνὼν ἀεί. Δημοσθένης· Ἀριστολόχῳ τῷ τραπεζίτῃ ἴσα βαίνων ἐβάδιζε.

11. ἱστίον λέγεται ἑνικῶς τὸ κατάρτιον, πληθυντικῶς τὸ ἄρμενον, ὡς λουτρὸν τὸ οἴκημα, λουτρὰ τὰ ἐκπλύνοντα. πολλάκις λέγεται ἑνικῶς καὶ τὸ ἄρμενον. Συνέσιος· ἤδη σοι τὸ ἱστίον ἦρτο. καὶ λουτρὸν τὸ ἐκπλῦνον. θεολόγος· λουτρὸν παλιγγενεσίας.

12. ἰδιώτης ὁ μὴ ἀρχὴν ἔχων τινά. καὶ ἰδιώτης ὁ πρὸς πολλοὺς ἀντιδιαιρούμενος. Συνέσιος· ἀλλὰ πολλάκις ἡμῖν καὶ ἰδιῶται καὶ πόλεις εἰς δέον ἐχρήσαντο. καὶ ἰδιώτης ὁ ἀγράμματος. θεολό-

---

3. ἰλισπᾶσθαι cod. **9.** Πλάτων] Plat. Reip. IX p. 575 C. **10. 11.** ex Harpocr. p. 101, 4. cf. Phot. Lex. p. 111, 1 et Suid. v. ἰπνός. **11.** post Λυκόφρονος in codice scriptum est καθελών, sed rursus deletum. **12. 13.** ex Harpocr. p. 102, 7. quo usi sunt Photius Lex. p. 113, 20 et Suidas v. ἴσα βαίνων. **12.** Δημοσθένης] Demosth. 45, 63. **13.** ἴσα] ἴσα recte in Demosthene scribitur. post ἐβάδιζε novae glossae signum in codice deest. **16.** ἑνικῶς καὶ] καὶ ἑνικῶς malim. Συνέσιος] Synesius Epist. 55 p. 190 D. ἱστίον ed. pr., ἰστίον cod. **17.** θεολόγος] Greg. Naz. Orat. XL p. 638 D. cf. infra Λ, 13. **19.** Συνέσιος] Synesius Epist. 57 p. 194 A. .....πολλάκις ed. pr., ἀλλὰ πολλάκις ut Synesius ita codex, ubi ἀλλὰ primum omissum literis minoribus scriptum est. **20.** θεολόγος] Greg. Naz. Orat. I p. 24 C.

γος· ὑψηλός ἐστι τὰ σαρκικὰ καὶ τοῖς πνευματικοῖς ἀγάλλεται, οὐκ ἰδιώτης τὴν γνῶσιν.

13. ἵνα ἀντὶ τοῦ ὅπου. καὶ ἵνα ἀντὶ τοῦ ὅθεν. Ἀριστοφάνης· ἵνα τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα. καὶ ἵνα ἀντὶ τοῦ ὡσάν. Χρυσόστομος· ἵνα χρόνον βραχὺν τὰς ὀφρῦς συναγάγωσι καὶ φαιὰ περιβάλλωνται καὶ κατήφειαν ὑποκρίνωνται, ἐξαίφνης εἰς τοσαύτην ἤγαγον τιμήν. καὶ ἵνα ἀντὶ τοῦ καὶ διὰ τοῦτο, ὅπερ καὶ μετὰ παρεληλυθότος συντάσσεται. Λιβάνιος· ὦ κατάρατε καὶ ὑπὲρ τὸ δέον φιλότιμε, ἐγὼ μόνος ἐδυστύχουν ἀφόρητα, ἵνα μοι δυστυχέστερον τῆς νόσου τὴν ὑγείαν ἀντέδωκας.

K.

1. καταστροφὴ ὁ ἀφανισμός· ἀναστροφὴ ἡ πολιτεία. ἀλλὰ καὶ διὰ τοῦ βίου καὶ τῆς ἀναστροφῆς.

2. καταχθεὶς λέγεται ἀπὸ θαλάσσης εἰς ξηράν, καὶ ἀπὸ ξηρᾶς εἰς ξηράν. Ἰώσηπος· οἱ δὲ Σοδομῖται θεασάμενοι τοὺς νεανίσκους εὐπρεπείᾳ τῆς ὄψεως διαφέροντας καὶ παρὰ Λώτῳ καταχθέντας.

3. καταβάλλει τὸν πολέμιον, καὶ καταβάλλει τὰ σπέρματα, καὶ καταβάλλει τὸ χρέος, καὶ καταβάλλει θεμέλιον. Χρυσόστομος· καὶ θεμελίους καταβάλλειν βουλόμενοι.

4. καθίζω ἕτερον, καὶ καθίζω αὐτός. Ἀριστοφάνης· οὐκ

3. Ἀριστοφάνης] Ar. Nub. 280 sq. 4. ἐάν ed. pr., ὡσάν cod. 6. περιβάλλωνται] an περιβάλωνται? 7. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 8. Λιβάνιος] Libanius Decl. vol. 4 p. 665, 22. 11. πολιτία cod. 14. Ἰώσηπος] Iosephus Ant. I, 11, 3 vol. 1 p. 37, 27. 19. βουλόμενος ed. pr., βουλόμενοι cod. 20. Ἀριστοφάνης] Ar. Nub. 1431.

ἐσθίεις τῶν κόπρων κἀπὶ ξύλου καθίζεις. καὶ Ἰουλιανός· καθίζει πλησίον τῆς κλίνης ὁρῶν εἰς τὸ πρόσωπον τοῦ μειρακίου.

5. κακουργεῖν ἐπὶ πάσης κακῆς ἐργασίας λεγόμενον ἐπεκράτησεν ἐπὶ μόνου τοῦ κλέπτειν.

6. κρώβυλος ἐμπλοκὴ τριχῶν ἐστιν ἐπὶ τοῦ μετώπου μόνοις τοῖς Ἀθηναίοις, σημεῖον τοῦ αὐτόχθονας εἶναι.

7. κρίνον καὶ τὸ κρίνος. Ἀριστοφάνης· κρίνεσι στεφανοῖς.

8. κεῖται ἀντὶ τοῦ ἀπόκειται, ἀντὶ τοῦ καταβέβληται, ἀντὶ τοῦ ἵσταται, καὶ ἀντὶ τοῦ πεφόνευται. Εὐριπίδης· Μενέλαε, κεῖται σὸς κασίγνητος.

9. κατὰ τάχος ἀντὶ τοῦ ταχέως.

10. κέλης ἐπί τε τοῦ ἱππότου καὶ τοῦ ἵππου. Ἡρόδοτος· ἤλαυνον δὲ κέλητας καὶ ἅρματα.

11. κίνησις κατὰ τρόπους ἕξ· κατὰ γένεσιν, κατὰ φθοράν, κατὰ αὔξησιν, κατὰ μείωσιν, κατὰ ἀλλοίωσιν καὶ κατὰ τόπων μεταβολήν.

12. κακῶς εἰδότες ἀντὶ τοῦ ἀγνοοῦντες Ἰσοκράτης ἐν τῷ περὶ εἰρήνης.

13. καταδικασάμενος ἀντὶ τοῦ νικήσας καὶ καταδικασθῆναί τινα ποιήσας Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους.

---

1. τῶν κόπρων] καὶ τὴν κόπρον Ar. καθίζεις] καθεύδεις Ar. Ἰουλιανός] Iulianus Misop. p. 347 D. 2. ὁρῶν] ἀφορῶν Iul. 3. λαμβανόμενον ed. pr., λεγόμενον cod. 5. ἐστὶν ed. pr., ἐστιν cod. 7. Ἀριστοφάνης] Ar. Nub. 911. 9. Εὐριπίδης] Eur. Orest. 366. Μενέλαος ed. pr., Μενέλ cod., Μενέλαε scripsi ex Eur. 11. κατατάχος cod., κατὰ τάχος ed. pr. 12. κέλλης cod., κέλης ed. pr. Ἡρόδοτος] Herodotus VII, 86, 2. 13. κέλλητας cod., κέλητας ed. pr. 17. 18. eadem Harpocr. p. 105, 10. Phot. Lex. p. 125, 25. Suid. v. κακῶς εἰδότες. Ἰσοκράτης ἐν τῷ περὶ εἰρήνης] Isocr. 8, 52. verba ἐν τῷ om. Harpocr. 19. 20. eadem Harpocr. p. 107, 1. Phot. Lex. p. 136, 5. Suid. v. καταδικασάμενος. 20. κατὰ Διοκλέους] ὕβρεως addunt Harpocr. Phot. Suid.

14. καθαρτὴς ὁ καθαίρων. Μάξιμος· οὗτος ὁ θηρίων καθαρτής. οὕτως γράφεται καὶ ἀληθευτὴς καὶ ἕτερα τοιαῦτα, οἷον ἀληθευτὴς λόγων, κατορθωτὴς ἔργων.

15. καιριωτάτη πληγὴ ἡ θανατηφόρος. Λιβάνιος· διὰ τοῦτο τὴν καθ' ἑαυτοῦ πληγὴν καιριωτάτην ἤνεγκε. καὶ καιριωτάτη ἡ ἔγκαιρος. καὶ καίριον τὸ ἔγκαιρον· οἷον καίριον οὐδὲν λέγεις.

16. καθαπτὸς ὁ ἐνδεδυμένος ἢ ὁ ἐσφιγμένος. Ἀριστοφάνης· νεβρῶν δοραῖς καθαπτός.

17. καθήκοντα τὰ ἁρμόζοντα. καὶ καθήκοντα ἀντὶ τοῦ ἥκοντα. Δημοσθένης· ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν.

18. κατακτὸν τὸ ξύλον, οὐ θραυστὸν λέγεται.

19. καθήκειν τὸ προσήκειν, τὸ ἁρμόττειν, τὸ ἐπιβάλλειν καὶ τὸ διαφέρειν.

20. κωφὸν παρὰ τοῖς Ἀττικοῖς τὸ ἄπρακτον καὶ ἀνόητον. Κύπριος· ἀλλ' ὥσπερ ἔρημα ἡγεμόνος ὑπῆρχε τὰ πρότερα, εἶτ' ἀπέβη κωφὰ καὶ οἷα οὐκ ἄν ποτε ηὔξω.

21. καὶ σύνδεσμος ἐναντιωματικῶς λαμβάνεται καὶ χωρὶς τοῦ περ. Σοφοκλῆς· ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.

22. κύρβεις λίθοι εἰσὶν ὀρθοί, ἀπὸ μὲν τῆς στάσεως στῆλαι

---

1. καθάρτης cod., καθαρτὴς ed. pr. Μάξιμος] Maximus Tyr. XXI, 6 vol. 1 p. 409. 1. 2. καθάρτης cod. et Max. Tyr., καθαρτής ed. pr. 3. ἀληθευτὴς λόγων, κατορθωτὴς ἔργων] verba eiusdem Maximi Tyr. XXI, 6 vol. 1 p. 409. 4. Λιβάνιος] Libanius Decl. vol. 4 p. 761, 20. 4. 5. διατοῦτο cod., διὰ τοῦτο ed. pr., διὰ τούτων Liban. 5. καθ' ἑαυτὸν ed. pr., καθ' ἑαυτοῦ cod. et Liban. καιριωτάτην] καιριωτέραν Liban. ἔνεγκε ed. pr., ἤνεγκε cod. et Liban. 7. Ἀριστοφάνης] Ar. Ran. 1211 sq. vel potius Eur. fr. 752.
8. νευρῶν cod., νεβρῶν Aristoph. 9. 10. similiter Harpocr. p. 104, 19. Phot. Lex. p. 122, 14. Suid. v. καθήκοντα. 10. Δημοσθένης] Demosth. 10, 37. 11. cf. Θ, 4. 15. ἠρέμα ed. pr., ἔρημα cod. 18. Σοφοκλῆς] Soph. Ai. 85. 19—p. 108, 2. ex Harpocr. p. 117, 16. cf. Phot. Lex. p. 189, 14. Suid. v. κύρβεις.

δοκοῦντες, ἀπὸ δὲ τῆς εἰς ὕψος ἀναστάσεως διὰ τὸ κεκορυφῶσθαι κύρβεις καλούμενοι.

23. καλιάδας τὰς τῶν πτηνῶν φωλεάς Μάξιμος λέγει· ἐπ' ἄκρων φυτῶν ἐμηχανήσαντο καλιάδας.

24. κατὰ γῆν ἢ κατὰ θάλατταν. τὰ ὅπλα παραπέμψατε ἄχρις Ἑλλησπόντου, ἢ κατὰ γῆν ἢ κατὰ θάλασσαν ἐπιθέμενοι.

25. καθεικὼς καὶ καθήκων τὸ γένειον. Δίων· τὸ πλέον γένειον πολλοὶ καθείκοντας.

26. κατὰ ταὐτὸν ἀντὶ τοῦ ἅμα. ὁ μέγας Βασίλειος· πόσα συνέτρεχε κατὰ ταὐτόν, ὑπὸ τῆς φύσεως ἠπειγμένως παραγόμενα. Ἑρμογένης· κατὰ ταὐτὸν ἄμφω πεφωράκασιν ἀλλήλους ἐξιόντας ἐκ τῶν ἀλλήλων οἰκιῶν.

27. κατάλογος ἡ ἀπαρίθμησις. θεολόγος· ἄλλος ἂν ἡρώων

---

1. ὕψος cod., εἰς ὕψος scripsi ex Harpocr. Phot. Suid. ἀναστάσεως] sic Harpocr. libri, παραστάσεως Harp. epit., ἀνατάσεως Heynius. κεκορυφῶθαι ed. pr., κεκορυφῶσθαι cod. 3. Μάξιμος] Maximus Tyr. XVI, 5 vol. 1 p. 296. 4. ἐμηχανήσαντο] ἐμηχανήσατο Max. Tyr. καλιάδας] ita in Max. Tyr. pro καλιάς et καλειάδας scribendum coniecerat Reiskius. 5. 6. τὰ ὅπλα — ἐπιθέμενοι] Bruti Epist. 35 p. 13 sq. ed. Westerm. 5. τὰ ὅπλα] τὰ ἀπὸ Βιθυνίας ὅπλα Bruti Epist. παρεπέμψατε ed. pr., παραπέμψατε cod. et Bruti Epist. 6. ἀχρὶς ed. pr., ἄχρις cod. et in Bruti Epist. codex D, ubi vulgo μέχρις, ABE μέχρι, C ἄχρι. θάλασσαν] θάλατταν Bruti Epist. ἐπιθέμενοι] «ἐπιθέμενοι post θάλατταν habent BCD, erat post γῆν.» Westermannus. 7. καθήκων ed. pr., codex incertum utrum sic an καθείκων habeat. Δίων] Dio Chrysost. IV, 86 (vol. 1 p. 79, 31 ed. L. Dind.): γυμνοὺς τὸ πλέον, γένειον πολὺ καθεικότας (καθήκοντας B). 9. καταταυτὸν cod., κατὰ ταυτὸν ed. pr. ὁ μέγας Βασίλειος] «Basil. t. 1 p. 61 C.». Thes. Gr. L. vol. 4 p. 185 D. 10. καταταυτὸν cod., κατὰ ταυτὸν ed. pr. ἠπειγμένος cod. 11. 12. verba Ἑρμογένης — οἰκιῶν in margine addita sunt. 11. Ἑρμογένης] Hermog. in Rhet. Gr. vol. 3 p. 5, 5 et p. 6, 6. κατ' αὐτὸν ed. pr., καταυτὸν cod., κατὰ ταὐτὸν Hermogenes. 13. θεολόγος] Greg. Naz. Orat. XX p. 318 B.

ὤφθη κατάλογος. καὶ κατάλογος ὁ χορός, ἡ τάξις. Ἰουλιανός· πρὶν προσγραφῆναι τῷ καταλόγῳ.

28. κῆδος ἡ συγγένεια, ἡ φροντίς. καὶ τὸ κτῆμα παρὰ Δίωνι.

29. κλιμάζει ἀντὶ τοῦ παρεκκλίνει. Αἰσχίνης· ὅταν οὖν ἀπολογούμενος κλιμάζῃ καὶ παράγῃ τοὺς νόμους.

30. κάκη ἡ δειλία. Αἰλιανός· κάκῃ τὴν στάσιν ἣν ἐτάχθη προδόντα.

31. κατ' ὄναρ οὐ γενναῖον λέγειν, ἀλλ' ὄναρ καὶ κατὰ τοὺς ὕπνους καὶ ἐνύπνιον.

32. κήδω ἐνεργητικῶς τὸ λυπῶ. Σοφοκλῆς· ἀλλά με κήδει Διὸς ἀλκίμα θυγάτηρ. παθητικῶς δὲ κήδομαι τὸ φροντίζω.

33. κυλλὸν Ἀττικοὶ ἐπὶ ποδῶν καὶ χειρῶν λέγουσι.

34. κατὰ μίτον ἀντὶ τοῦ λεπτῶς τροπικῶς. Φερεκράτης· κατὰ μίτον τὰ πράγματα ἐκλογίζομαι.

35. κατόπιν ἀντὶ τοῦ ὄπισθεν. Ἀριστοφάνης· ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ. καὶ Λουκιανός· κατόπιν δὲ ἠκολούθει πάνυ πενθικῶς τις ἐσκευασμένη.

---

1. Ἰουλιανός] Iulianus Misop. p. 368 A. 3. καὶ τὸ κτῆμα παρὰ Δίωνι] nec video quo modo κῆδος pro κτῆμα dici possit, nec Dionis mentio quo spectet scio. 4. 5. ex Harpocr. p. 112, 5. cuius vestigia legunt Phot. Lex. p. 171, 1 et Suidas v. κλιμάζει. 4. Αἰσχίνης] immo Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ «συνηγορία Αἰσχίνῃ κατὰ Δεινίου», ut testatur Harpocration. error lexicographi inde ortus est quod in Harpocrationis libris Αἰσχίνης pro Αἰσχίνῃ legitur. 6. 7. uberiora praebet Suidas v. κάκη. 6. Αἰλιανός] Aelian. fr. 124. 8. κατ' ὄναρ] vide Phryn. Epit. p. 421 cum Lobeckii annot. 10. Σοφοκλῆς] Soph. Ai. 401 sq.: ἀλλά μ' ἁ Διὸς ἀλκίμα θεὸς ὀλέθριον αἰκίζει. ubi Dindorfius ὀλέθρι' αἰκίζει scribit, ὀλέθριον κήδει secundum hunc locum suasit G. Wolffius. 12. cf. Schol. Ar. Eq. 1085. Suid. v. κυλλός. λέγουσιν ed. pr., λέγουσι cod. 13. μιτον sine accentu cod., μίτον ed. pr. Φερεκράτης] Pherecratis verba hoc uno loco tradita accepimus: v. quae disseruit Iacobi in Meinekii Com. vol. 5 p. LVII. 15. Ἀριστοφάνης] Ar. Plut. 13. 16. Λουκιανός] Lucianus Calumn. non temere cred. c. 5 vol. 3 p. 132.

36. κυμαίνει ἡ θάλαττα ἀμεταβάτως, καὶ μεταβατικῶς ἀντὶ τοῦ ταράσσει. Λουκιανός· τὸν Ἀδρίαν διακυμαινέτω. καὶ κυμαίνει τὸ λήιον.

37. κατέαγα τοῦ κρανίου ἐλλειπτικῶς ἀττικῶς ἀντὶ τοῦ μέρος τοῦ κρανίου. τὸ δὲ κατέαγα ἀντὶ τοῦ κατεάγειν. Λουκιανός· ἄνθρωποι, κατέαγα τοῦ κρανίου ὑπὸ τοῦ ἀχαρίστου, διότι τὸ συμφέρον ἐνουθέτησα αὐτόν.

38. κατέστησαν ἕτερον. καὶ κατέστησαν παθητικῶς. Ἀριστείδης· οἵ γε αὐτοὶ τοῖς ἄλλοις ἀντὶ θεοῦ κατέστησαν.

39. κομίζω ἐνεργητικῶς τὸ φέρω. παθητικῶς κομίζομαι τὸ λαμβάνω, ἐνίοτε δὲ καὶ τὸ φέρομαι. Ἀριστείδης· ἀλλ' ὥσπερ ἐφ' ὑψηλοῦ τοῦ ἀέρος οὕτως ἐκομίζετο.

40. καταπλὴξ ὁ κατὰ πολὺ πεπληγμένος. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην. καὶ καταπλὴξ ὁ ἐκπληττόμενος.

41. κατέστη ἀντὶ τοῦ ἠρέμησε. καὶ κατέστη εἰς φόβον ἀντὶ τοῦ ἐφοβήθη. Χρυσόστομος· καὶ εἰς τοσοῦτον κατέστη φόβον.

42. καταψευδομαρτυρησάμενος ἀντὶ τοῦ παρασχὼν τοὺς τὰ ψευδῆ μαρτυρήσαντας. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

---

2. Λουκιανός] Lucianus Icarom. c. 26 vol. 2 p. 783. 5. Λουκιανός] Lucianus Timon. c. 48 vol. 1 p. 161. 6. ἄνθρωπος ed. pr., ἄνθρωποι codex, ut videtur, et Lucianus. τὸ συμφέρον] τὰ συμφέροντα Lucianus. 8. Ἀριστείδης] Aristides vol. 1 p. 166. 9. οἵγε ed. pr., οἵ γε cod. αὐτοῖς cod., αὐτοὶ Aristid. τοῖς ἄλλοις] ἀνθρώποις addit Aristid. ἀντὶ τοῦ ed. pr., ἀντὶ θεοῦ cod., ἀντὶ τῶν θεῶν in Aristide editur, ubi articulus delendus videtur. 11. ἐνιότε ed. pr., ἐνίοτε cod. Ἀριστείδης] Aristides vol. 1 p. 167. 11. 12. ἐφ' ὑψηλοῦ] διὰ ψιλοῦ Aristid. 13. 14. ex Harpocr. p. 107, 29. 13. κατα πολὺ cod., κατὰ πολὺ ed. pr., συνεχῶς Harpocr. 17. 18. Harpocr. p. 108, 14. Phot. Lex. p. 145, 20. Suid. v. καταψευδομαρτυρησάμενος. 18. ψευδῆ] ψεύδη minus recte in Harpocr. scribitur. μαρτυρήσαντας] μαρτυρήσοντας recte Harpocrationis libri plerique. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου] Demosth. 45, 1. ubi καταψευδομαρτυρηθείς legitur, contra καταψευδομαρτυρησάμενος Demosth. 29, 6.

43. Κεραμεικοὶ δύο, ὡς ὁ Δημοσθένης φησίν, εἷς μὲν ἐν τῇ πόλει, ἕτερος δὲ ἔξω τῆς πόλεως, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον.

44. καθόσον πολλάκις μὲν οὐκ ἔχει ἀναφορικόν, οἷον· ἥ τε γὰρ γραμμή, καθόσον μέν ἐστι γραμμὴ καὶ μοναχῶς διέστηκεν, οὐδεμίαν ἔχει ἐναντίωσιν. ποτὲ δὲ ἔχει τὸ κατὰ τοσοῦτον, οἷον καθόσον δὲ ποιόν, κατὰ τοσοῦτον τὸ εὐθὺ καὶ τὸ κυρτὸν ἔχει. ποτὲ δὲ ἔχει τὸ κατὰ τοῦτο, οἷον· τὸ γὰρ σῶμα, καθόσον μὲν ὑποκείμενόν ἐστι καὶ ταὐτὸν καὶ ἓν μόνον τῷ ἀριθμῷ, τῶν ἐναντίων ἐστὶ δεκτικόν, κατὰ τοῦτο οὐσία ἐστί.

45. κακία ἡ δειλία. Θουκυδίδης· ὥστε οὐ κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσῆσθαι προσεγένετο.

46. κακὸς ὁ σκαιός. καὶ κακὸς ὁ ἀειδής. Ὅμηρος· εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης. καὶ κακὸς ὁ δειλός. Ὅμηρος· κακοὺς δ' ἐς μέσσον ἔλασσε.

47. καλὸς ὁ ἀγαθός. καὶ καλὸς ὁ ὡραῖος. Ἰουλιανός· ὥσπερ οἱ τράγοι τὸ γένειον ἔχων, οἶμαι, λεῖον αὐτὸ ποιεῖν καὶ ψιλόν, ὁποῖον

1—3. ex Harpocr. p. 109, 20. quicum cf. Phot. Lex. p. 156, 3. Suid. v. Κεραμεικοί, al. 1. ὁ Δημοσθένης] καὶ ὁ ῥήτωρ Harpocr., ubi non Demosthenem dici sed Antiphontem elucet ex iis quae antea dicta sunt. φησὶ cod. 4. καθόσον] rectius καθ' ὅσον scribitur.
5. γράμμη utroque loco ed. pr., γραμμὴ cod., ubi priore loco alterum μ postea insertum est. 5. 6. οὐδὲ μίαν pr. cod. 7. in ποιὸν vocabuli ultima syllaba accentus gravis e circumflexo factus est.
ποτέ δε cod., ποτὲ δὲ ed. pr. 8. 9. ὑποκείμενον ἔστι cod., ὑποκείμενόν ἐστι ed. pr. 9. ταυτὸν cod. ἔστι cod. δεικτικόν ed. pr., δεκτικὸν cod. 11. Θουκυδίδης] Thuc. II, 87, 3. 12. κακϊαν cod., κακίαν ed. pr. ἡσσῆσθαι] ἡσσηθῆναι vel ἡσσᾶσθαι aliquot Thuc. libri. 13. 14. verba Ὅμηρος· εἶδος — δειλός om. ed. pr. 13. Ὅμηρος] Hom. Il. 10, 316. 14. δηλός cod. Ὅμηρος] Hom. Il. 4, 299. 15. μέσον ἔλασε cod., μέσσον ἔλασσε scripsi ex Hom.
16. Ἰουλιανός] Iulianus Misop. p. 339 A. 17. οἶμαι] ἐξόν, οἶμαι recte Iul.

οἱ καλοὶ τῶν παίδων ἔχουσι. καὶ Πίνδαρος· ἦν δ' ἐσορᾶν καλὸς ἔργῳ τ' οὐ κατὰ εἶδος ἐλέγχων.

48. κόρη κυρίως ἡ ἄγαμος, καταχρηστικῶς ἡ ὡραία. Εὐριπίδης· ὦ κατάραται κόραι Φρυγῶν.

49. κοινῶ χωρὶς προθέσεως Συνέσιος· κοίνωσαι τὸν λόγον τοῖς Ἕλλησι. καὶ ἀνακοινῶ μετὰ προθέσεως Λιβάνιος· ἐχρῆν αὐτὸ τοῦτο ἀνακοινοῦν τῷ δήμῳ.

50. κατωμαδὸν ἀντὶ τοῦ ἄνω τῶν ὤμων. Συνέσιος· καίτοι διὰ τοῦτο τὰς ἁπάντων φροντίδας κατωμαδὸν ἀράμενος φέρω.

51. κομπάζειν ἐστὶ τὸ ἐπὶ κενοῖς μεγαλαυχεῖν καὶ ἐπὶ τούτοις μέγα φρονεῖν.

52. κατωτέρω ἐπιρρηματικῶς γράφεται. Ἀριστοφάνης· καὶ νὴ Δία εἴ τί γε κατωτέρω. ἀκολούθως γράφεται καὶ ἀνωτέρω καὶ πορρωτέρω.

53. καταγινώσκω σου ἀμαθίαν καὶ μεταγινώσκω ἐπὶ τοῖς πεπραγμένοις. ἀπογινώσκω δὲ ποτὲ μὲν γενικῇ, ποτὲ δὲ αἰτιατικῇ.

54. κατεσκήνωσαν εἰς τόνδε τὸν τόπον τὰ στρατόπεδα καὶ κατέζευξαν. Δίων· κατέζευξαν ἐπὶ ποταμόν τινα.

55. κατέσχε μεθ' ἑτέρας προθέσεως ἀντὶ τοῦ προσεκαρτέρησεν. Ἡρόδοτος· καὶ κατέσχε τῆς Μαγνησίης χώρης εἰς τὸν αἰγιαλόν.

56. κάμνειν τὸ νοσεῖν καὶ τὸ τελευτᾶν, ὅθεν καὶ παρ' Ὁμήρῳ

---

1. pro καλοὶ primum καλλοὶ in codice fuisse videtur. Πίνδαρος] Pind. Ol. 8, 19. 3. Εὐριπίδης] Eur. Hec. 1064 sq.: τάλαιναι κόραι Φρυγῶν, ὦ κατάρατοι. 5. Συνέσιος] Synesius Epist. 1 p. 159 B. 6. ἔχρην ed. pr., ἐχρῆν cod. 8. Συνέσιος] Synesius Epist. 66 p. 207 C. 9. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 10. ἐπὶ καινοῖς cod. 12. Ἀριστοφάνης] Ar. Ran. 70. 13. εἴ τι γε cod., εἴ τί γε ed. pr., εἴ τί γ' ἔστιν ἔτι Aristoph. 15. σοῦ ed. pr., σου sine accentu cod. 16. ποτέ δε cod., ποτὲ δὲ ed. pr. 19. Δίων] Dio Chrysost. V, 19 (vol. 1 p. 93, 28 ed. L. Dind.). ἐπὶ] παρὰ Dio Chrys. 21. Ἡρόδοτος] Herodotus VII, 188, 1. 22. Ὁμήρῳ] Hom. Il. 23, 72. Od. 11, 476. 24, 14.

εἴδωλα καμόντων. καὶ κάμνει ἀντὶ τοῦ ἐργάζεται. Ἱμέριος· κρείττονά με λύραν, ὦ φίλε, κάμνοντα, ἵνα σε μετὰ Λιβύην ἀσπάσωμαι, φεύγων ἐξαίφνης εἰς στυγνὸν μέλος ἀπέρριψας.

57. κρεμάμενος ἐπὶ τούτου. Θεολόγος· ὁ δὲ χαλκοῦς ὄφις ἐπὶ ξύλου κρέμαται. καὶ κρεμάμενος ἀπὸ τούτου ἀντὶ τοῦ ἐπαιωρούμενος, οἱονεὶ οὐκ ἐπικείμενος ᾧ κρέμαται. Συνέσιος· τὸ δὲ λοίδορον βιβλίον ἀπὸ τῆς ἱερᾶς θύρας ἐκρέματο.

58. κομᾷ ἀντὶ τοῦ πολύτριχός ἐστι. Συνέσιος· Λακεδαιμόνιοι γὰρ μετὰ Θυραίαν, Ἀργεῖοι δὲ πρὸ Θυραίας ἐκόμησαν.

59. κηρυκεία ὁ διδόμενος μισθὸς τοῖς κήρυξιν ἐπὶ ταῖς γινομέναις πράξεσιν. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου.

60. κατὰ ταῦτα ἀντὶ τοῦ ἐπ' ἴσης. Κύπριος· καὶ πρὸς σὲ κατὰ ταῦτα διαλεξόμεθα.

61. κατὰ σημαίνει καὶ αἰτίαν. Κύπριος· κατὰ χρείαν μᾶλλον ἢ φιλοτιμίαν προήκοντα.

---

1. καμνόντων cod. Ἱμέριος] Himerius Ecl. XXXVI, 1. 2. in Λιβύην prima vocalis ex υ facta est. 4. Θεολόγος] quem Gregorii Naz. locum lexicographus spectet nescio; haud dissimilia sunt quae leguntur Orat. XLII p. 692 A: ὁ δὲ χαλκοῦς ὄφις κρεμᾶται (l. κρέμαται) μὲν κατὰ τῶν δακνόντων ὄφεων. 6. Συνέσιος] Synesius Epist. 58 p. 201 D. τὸ δὲ λοίδορον] τὸ λοίδορον ἐκεῖνο Synes. 8. πολύτριχος ἐστὶ cod., πολύτριχός ἐστι ed. pr. Συνέσιος] Synesius Calvit. encom. c. 14 p. 78 B. 9. Θυραίαν — Θυραίας] Θυρέαν — Θυρέας Synes., ubi aliquot libri cum hoc lexicographo consentiunt.
10. 11. ex Harpocr. p. 110, 27. cf. Suid. v. κηρυκεία. 10. κηρύκεια ed. pr., κηρυκεία codex sicut Harp. et Suid., quem accentum mutare in hoc scriptore non ausus sum. ceterum vide Lex. Bekk. p. 255, 2: κηρύκεια δὲ τὰ τῷ κήρυκι διδόμενα ὑπὲρ τοῦ κηρύττειν τὰ τέλη πιπρασκόμενα. Etym. M. p. 512, 1: ἔστι καὶ πληθυντικῶς τὰ κηρύκεια σημαίνοντα τὸν μισθὸν τὸν διδόμενον ἐπὶ τῇ κηρύξει. Suid.: λέγεται καὶ οὐδετέρως κηρύκειον (κηρύκεια Bernh.), ὁ ἐπὶ τῇ κηρύξει μισθός.
11. πράξεσιν] πράσεσιν recte Harpocrationis libri plerique. 12. κατὰ ταῦτα] dummodo vera sit interpretatio, κατὰ ταὐτὰ malim. ἐπίσης cod.

62. **κληροῦχοι** ἐκαλοῦντο οὓς Ἀϑηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κλήρους ἑκάστοις διανεμοῦντας. **Ἰσοκράτης** ἐν τῷ πανηγυρικῷ· ὑπὲρ ὧν προσήκει τοὺς εὖ φρονοῦντας μεγάλην χάριν ἔχειν μᾶλλον ἢ τὰς κληρουχίας ἡμῖν ἐρανίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημουμένας τῶν πόλεων φυλακῆς ἕνεκα τῶν χωρίων, ἀλλ' οὐ διὰ πλεονεξίαν ἐξεπέμπομεν.

63. **κνίζει** ἀντὶ τοῦ ἐρωτικῶς λυπεῖ. **κνιζοῦται** δὲ κύων ἀμεταβάτως.

64. **κόπτει** ἐπὶ ἄλλου πράγματος, κόπτεται δὲ ἀντὶ τοῦ ϑρηνεῖ. καὶ κόπτεται τὸ στῆϑος ἀντὶ τοῦ τύπτει. ὁμοίως καὶ κόπτεται τὴν κεφαλήν. **Ἡρόδοτος**· τὴν κεφαλήν μιν κόπτεσϑαι μεγάλως βοῶντα.

65. **κατατρέχει** ἐπὶ ἐμψύχου γενικῇ, ἐπὶ ἀψύχου αἰτιατικῇ ὡς ἐπὶ τὸ πλεῖστον· εὕρηται δὲ καὶ γενικῇ.

66. **κρύφα** ἀντὶ τοῦ κρυφίως. **Ἑρμογένης**· πᾶν γὰρ πρᾶγμα ᾧ πρόσεστιν ἀδίκημα, κρύφα πράττεται πρὸς τῶν πονηρῶν.

67. **καταλύειν** καὶ ἀντὶ τοῦ κατασκηνοῦν. **Λιβάνιος**· παρὰ δὲ τοῖς ἐχϑροῖς, ὦ Ἀλέξανδρε, καταλύειν ἔξεστι.

68. **κανᾶ** λέγονται καὶ τὰ σκεύη, ἔνϑα τὰ κανᾶ τίϑενται. **Ἰώσηπος**· τρία, φησί, κανᾶ φέρειν ἐπὶ τῆς κεφαλῆς ἔδοξα, δύο μὲν ἄρτων πλέα, τὸ δὲ τρίτον ὄψου τε καὶ ποικίλων βρωμάτων.

1—6. ex Harpocr. p. 112, 9. cf. Phot. Lex. p. 169, 18 et Suid. v. κληροῦχοι. **2.** διανεμοῦντας] διανεμοῦντες plerique Harpocrationis libri. Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ] Isocr. 4, 107. **4.** μᾶλλον] πολὺ μᾶλλον Isocr. et Harpocr. ἐρρανίζειν cod., ἐρανίζειν ed. pr., ὀνειδίζειν Isocr. et Harp. **7.** κνιζοῦται] κνυζεῖται potius aut κνυζᾶται dicendum erat. **11.** Ἡρόδοτος] Herodotus II, 121, 13. μεγάλως] μεγάλα Herod. **14.** ὡσεπιτοπλεῖστον cod., ὡς ἐπὶ τὸ πλεῖστον ed. pr. **15.** Ἑρμογένης] Hermogenes in Rhet. Gr. vol. 3 p.113, 7. **17.** καὶ om. ed. pr. **19.** κανὰ utroque loco cod., quae scriptura haud raro librariis placuit. **20.** Ἰώσηπος] Iosephus Ant. II, 5, 3 vol. 1 p. 77, 12. φησι cod., φησὶ ed. pr. κανὰ cod.

69. κατὰ κράτος ἀντὶ τοῦ ἀνενδότως. Θεολόγος· ὁ μὲν ἐζήτει τὴν οἰκέτιν, ὁ δὲ εἴχετο κατὰ κράτος.

70. κρατεῖ ἀντὶ τοῦ κατέχει αἰτιατικῇ, ἀντὶ τοῦ ἄρχει ἀεὶ γενικῇ. ἀντὶ τοῦ νικᾷ καὶ τότε γενικῇ, ὅτε μερικὴν τὴν νίκην ὑπεμφαίνει, αἰτιατικῇ δέ, ὅτε καθόλου τε καὶ ὁλόκληρον. Ἀριστείδης· τέλος δὲ κρατήσας ἅπαντας εἰρήνην ποιεῖται.

71. καλινδούμενος ἀντὶ τοῦ κυλιόμενος. Ἰουλιανός· τοῖς περὶ τοὺς τάφους καλινδουμένοις γραϊδίοις ξυνεχωρήσαμεν.

72. κατάλυσις καὶ ὁ θάνατος. Θεολόγος· τὴν ἐν βεβήλοις τόποις κατάλυσιν.

73. Κῶς νῆσος. ὁ ἀπὸ ταύτης ποιητικῶς Κώιος, κοινῶς Κῷος.

74. κρίνον λέγεται τὸ λευκόν· τὸ μέλαν ὑάκινθος.

75. Κρὴς ὁ ἀπὸ Κρήτης· τὸ θηλυκὸν Κρῆσσα, ὡς Θρᾴξ Θρῇσσα.

76. κευθμὼν ὁ βαθύτατος τόπος. ποιητικῶς δὲ κευθμός.

77. κατηγορῶ τὸ κατά τινος λέγω, γενικῇ· κατηγορῶ δὲ τὸ παριστῶ ἀεὶ αἰτιατικῇ. Συνέσιος· μῆκος ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος.

78. κατὰ μόνας ἀντὶ τοῦ μεμονωμένως. Θουκυδίδης· ἀλλ' ὅπως κατὰ μόνας ἀδικῶ σοι.

---

1. καταχράτος cod. Θεολόγος] Greg. Naz. Orat. XX p. 353 D. 2. οἰκέτιν] ἱκέτιν Greg. Naz. κατακράτος cod. 5. τὲ cod., τε ed. pr. Ἀριστείδης] Aristides vol. 1 p. 257. 6. κρατήσας ἅπαντας] κρατήσασα πάντας Aristid. 7. Ἰουλιανός] Iulianus Misop. p. 344 A. 8. καλινδουμένους cod., καλινδουμένοις ed. pr. et Iul. ξυνεχωρήσαμεν] συνεχωρήσαμεν Iul. 9. Θεολόγος] Greg. Naz. Orat. XXI p. 380 C. 11. Κὼς cod. 14. Κρῆσα cod., Κρῆσσα ed. pr. Θρὰξ cod., Θρὴξ malim. 15. Θρῆσα cod., Θρῆσσα ed. pr. 18. Συνέσιος] Synesius Epist. 53 p. 189 D sive Epist. 83 p. 229 B. 20. καταμόνας cod. Θουκυδίδης] Thuc. I, 37, 4. 21. καταμόνας cod. ἀδικῶ σοι] ἀδικῶσι Thuc.

79. κῆδος λέγεται ἡ ἐπιγαμβρία κατὰ Θουκυδίδην, κατὰ δὲ Δημοσθένην ἡ κηδεία.

80. κατὰ πρόθεσις συντασσομένη γενικῇ σημαίνει καὶ τὸ ὄπισθεν. Θουκυδίδης· καὶ ὅταν Ἀθηναῖοι ἐπὶ σφᾶς χωρῶσι, κατὰ νώτου βοηθοῦντας ἐν μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους. καὶ Ἡρόδοτος· ἐπὰν δὲ ἀπὸ τοῦ νώτου στείχῃ ἐπὶ τὴν εὐνήν, κατὰ νώτου τε αὐτῆς γένῃ, σοὶ μελέτω τοὐντεῦθεν.

81. κελήτιον τὸ μικρὸν πλοιάριον. Θουκυδίδης· ἔδοξεν οὖν αὐτοῖς ἄνδρας ἐς κελήτιον ἐμβιβάσαντας.

82. κατὰ τὸ δυνατὸν ἀντὶ τοῦ ὡς δυνάμεθα. Θουκυδίδης· περιοψόμεθα κατὰ τὸ δυνατόν.

83. καθιέναι ἑαυτὸν εἰς ζήτησιν, καθιέναι ἑαυτὸν εἰς πρᾶξιν, εἰς ἔργον.

84. κρούω· προσκρούω σοι δέ, ἀνακρούομαι δὲ μέλος.

85. κινδυνεύω ἀντὶ τοῦ εἰς περίστασίν εἰμι. καὶ κινδυνεύω ἀντὶ τοῦ βιάζομαι, οἷον κινδυνεύω τἀληθῆ λέγειν.

86. κακῶ τὸ βλάπτω, ὅθεν καὶ κακωτικόν. κακύνω δὲ τὸ κακίαν ποιῶ.

87. κληρονομῶ ἐνίοτε γενικῇ.

---

1. 2. cf. Pollux III, 30: καὶ κῆδος ἡ ἐπιγαμία κατὰ Θουκυδίδην, καὶ κηδεία κατὰ Δημοσθένην, καὶ κηδεύματα κατὰ Πλάτωνα. 1. ἐπιγμαβρία cod., ἐπιγαμβρία ed. pr., ἐπιγαμία Pollux. Θουκυδίδην] Thuc. II, 29, 3: εἰκὸς δὲ καὶ τὸ κῆδος Πανδίονα ξυνάψασθαι τῆς θυγατρὸς διὰ τοσούτου ἐπ' ὠφελείᾳ τῇ πρὸς ἀλλήλους μᾶλλον. 2. Δημοσθένην] Dem. 23, 157: κεχρημένοι ἀπροσδοκήτῳ εὐτυχίᾳ τῇ τοῦ Ἀρταβάζου κηδείᾳ. 4. Θουκυδίδης] Thuc. I, 62, 3. ἐπί σφας cod. 5. Ἡρόδοτος] Herodotus I, 9, 3. 6. ἐπὰν] ἐπεὰν Herod. ἀπὸ τοῦ νώτου] ἀπὸ τοῦ θρόνου Herod. στείχω ed. pr., στείχη cod., στείχῃ Herod. 7. τοὐντεῦθεν] τὸ ἐνθεῦτεν Herod. 8. κελλήτιον cod., κελήτιον ed. pr. Θουκυδίδης] Thuc. I, 53, 1. 9. κελλήτιον cod., κελήτιον ed. pr. 10. Θουκυδίδης] Thuc. I, 53, 4. 14. σοὶ ed. pr., σοι sine accentu cod. post ἀνακρούομαι δὲ μέλος legitur (Δ, 1): ληστρὶς ἐπὶ — προσέσχον. quae verba transposuit ed. pr. 15. περίστασιν εἰμὶ cod. 19. ἐνιότε ed. pr., ἐνίοτε cod.

88. κατηγορῶ σου φόνον, καταδικάζω σου θάνατον, καταψηφίζομαί σου ζημίαν.

89. κυλίειν ἐπὶ τὰ κάτω ἀπὸ τῶν ἄνω, ὠθεῖν δὲ ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω.

Λ.

1. ληστρὶς ἐπὶ θηλυκοῦ. τριήρεις ληστρίδες προσέσχον.

2. λειπόνεως ὁ τῆς νηὸς ἀπολειφθείς. Λουκιανός· αἰτησάμενος οὖν παρὰ τὸν Ἅιδην καὶ αὐτὸς λειπόνεως γενέσθαι ἀνελήλυθα εἰς τὸ φῶς.

3. λέπος τὸ σκέπασμα τῶν ἐρεικτῶν. Λουκιανός· ὁ δὲ ἁρπάσας ποθὲν ἢ κυάμου λέπος ἢ πυροῦ ἡμίτομον θεῖ φέρων.

4. λογοποιὸς λέγεται ὁ ψευδῆ συντιθείς. Συνέσιος· ὡς οὐχ ἕτερος οὕτω τρόπος θεομισὴς ὡς ὁ λογοποιὸς ὁ τιτρώσκων ἐξ ἀφανοῦς. κατὰ τοῦτο λέγεται καὶ λογοποιὸς ὁ Αἴσωπος.

5. λίπα τὸ ἔλαιον, ὅπερ τοῖς ἀγῶσιν ἠλείφοντο. Θουκυδίδης· καὶ ἐς τὸ φανερὸν ἀποδύντες λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο.

6. ληνοβάτης ὁ ἀμπελουργός. Ἱμέριος· ὁ γηπόνος τιμᾷ τοῖς δράγμασιν, ὁ ληνοβάτης τοῖς βότρυσιν, ὁ θηρατὴς τῇ θήρᾳ.

---

5. haec annotatio in codice locum non suum occupat: interposita enim est glossis K, 84 et K, 85. τριήρεις ληστρίδες προσέσχον] verba Demosth. Prooem. 21 p. 1432 R. ubi τριήρεις αἱ ληστρίδες legitur. 6. Λουκιανός] Lucianus Char. c. 1 vol. 1 p. 487. 7. παρὰ τὸν Ἅιδην] παρὰ τοῦ Ἅιδου Lucian. καὶ αὐτὸς] ὥσπερ ὁ Θετταλὸς ἐκεῖνος νεανίσκος μίαν ἡμέραν addit Lucianus. 9. Λουκιανός] Lucianus Icarom. c. 19 vol. 2 p. 774. 11. Συνέσιος] Synesius Epist. 44 p. 184 C. 13. κατατοῦτο cod., ubi literae τα postea insertae sunt, κατὰ τοῦτο ed. pr. καὶ λοποιὸς cod., καὶ λογοποιὸς ed. pr.

14. ἀγῶσι ed. pr., ἀγῶσιν cod. Θουκυδίδης] Thuc. I, 6, 5. 15. ἀποδῦντες cod. 16. Ἱμέριος] Himerius Orat. VI, 3. 17. δράμασι ed. pr., δράμασιν cod., δράγμασιν scripsi ex Himerio.

7. Λίβανος ὄρος καὶ λίβανος δένδρον. λίβανον δὲ οὐδετέρως τὸ ἀπὸ τοῦ δένδρου εὐῶδες. καὶ λιβανωτὸν τὸ αὐτό.

8. λῆξις τὸ ἔγκλημα, καθ' ὃν λόγον φαμὲν καὶ λαχεῖν δίκην. Ἰσαῖος ἐν τῇ πρὸς Βοιωτὸν ἐφέσει.

9. λαμβάνεται ἀντὶ τοῦ καθίκεται. Ἡρόδοτος· ὡς δὲ χαλεπῶς ἐλαμβάνετο ἡ μήτηρ τοῦ περιόντος παιδός.

10. λόγου τυχεῖν ἀντὶ τοῦ ἐπαίνου Δημοσθένης ἐν τῷ κατὰ Κτησιφῶντος.

11. λοιπὸν ἀντὶ τοῦ ἀκολούθως ...... γυμνὸν δὲ ἡμῖν τὸ δένδρον ἔδειξε καὶ ἀπὸ τῆς ῥίζης αὐτῆς σαλευόμενον λοιπόν.

12. λουτροφόρος καὶ λουτροφορεῖν. ἔθος ἦν τοῖς γαμοῦσι λουτρὰ μεταπέμπεσθαι ἑαυτοῖς κατὰ τὴν τοῦ γάμου ἡμέραν, ἔπεμπον δὲ ἐπὶ ταῦτα τὸν ἐγγύτατον τοῦ γένους παῖδα ἄρρενα. ἐλουτροφόρουν δὲ καὶ τοῖς ἀγάμοις ἀποθανοῦσιν ἐπὶ τὸ μνῆμα ἐφιστάμενοι.

---

1. Λίβανον ὄρος καὶ λίβανον δένδρον pr. cod. λίβανον δὲ οὐδετέρως] λίβανον genere neutro dictum ex uno Iohanne Malala p. 272, 16 affertur in Thes. Gr. L. vol. 5 p. 272 B. 3. 4. eadem plane Harpocr. p. 120, 22. cf. Phot. Lex. p. 221, 21 et Suid. v. λῆξις. 5. καθίκεται] rectius καθικνεῖται dicturus erat lexicographus. Ἡρόδοτος] Herodotus II, 121, 12. 6. περιόντος] περιεόντος Herod. 7. 8. eadem Harpocr. p. 121, 21. Photius Lex. p. 229, 20. Suidas v. λόγου τυχεῖν. Δημοσθένης ἐν τῷ κατὰ Κτησιφῶντος] Demosth. 18, 13: οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν. «Mirus est error Harpocrationis λόγου pro ἐπαίνου dictum accipientis, quem tamen non est verisimile corrigendum esse restituendo εἰπεῖν, quod coniecit Valesius». G. Dindorfius. 8. κατὰ Κτησιφῶντος] sic cod. Harpocr. (ubi C praepositionem omittit) Phot. Suid., ὑπὲρ Κτησιφῶντος recte Maussacus. 11—14. derivata haec sunt ex Harpocr. p. 121, 25. cuius doctrina utuntur Photius Lex. p. 231, 17 et Suidas v. λουτροφόρος. 13. ἐγγύτατον (ἐγκύτατον pr. cod.) τοῦ γένους] ἐγγύτατα γένους Harpocr., ubi ἐγγύτατα καὶ γένους BCG, ἐγγυτάτω γένους Phot. et Suid. 13. 14. ἐλουτροφόρουν — ἐφιστάμενοι] discrepant Harp. Phot. Suid.: καὶ οὗτοι ἐλουτροφόρουν. ἔθος δὲ ἦν καὶ τῶν ἀγάμων ἀποθανόντων λουτροφόρον ἐπὶ τὸ μνῆμα ἐφίστασθαι κτέ.

13. λουτρὰ τὰ ὕδατα, λουτρὸν τὸ οἴκημα, πολλάκις καὶ τὸ ὕδωρ. Θεολόγος· λουτρὸν παλιγγενεσίας.

14. ληξίαρχοι· οὗτοι τοὺς ἐκκλησιάζοντας ἐξήταζον, καὶ ὁ εἰς ληξιαρχικὸν γραμματεῖον ἀπογραφεὶς ἤδη τὰ πατρῷα παρελάμβανε. λῆξις γὰρ ἡ πατρῴα καλεῖται κτῆσις καὶ ὕπαρξις. πάντες δὲ οἱ πολῖται ἐπὶ τούτοις ἀπεγράφοντο.

15. λειπομαρτυρίας δίκη ἡ κατὰ τῶν ὁμολογησάντων μὲν μαρτυρῆσαι, ἐν δὲ τῷ καιρῷ τὴν μαρτυρίαν ἐκλειπόντων.

16. λοιδορῶ καὶ λοιδοροῦμαι ποτὲ μὲν δοτικῇ, ποτὲ δὲ αἰτιατικῇ.

17. λόγος ἡ φροντὶς καὶ ἕτερα καὶ ἡ πρόφασις. Πολύβιος· λόγῳ μὲν ὑδρείας καὶ ἐπισιτισμοῦ, ἔργῳ δ' ἐπιβουλῆς καὶ πράξεως ἐπὶ τὴν πόλιν.

18. λοχεῦσαι ἀντὶ τοῦ γεννῆσαι. Χρυσόστομος· οὐχ ὥστε λοχεῦσαι τικτούσας.

19. λαρὸν ἅπαν τὸ σὺν ἡδονῇ πινόμενον. καὶ λαρὸν τὸ ἁπαλόν. Ἡσίοδος· οὐκέτι δὴ βαίνουσι λαροῖς ποσί.

20. λογίζομαι τὸ ὑπολαμβάνω. καὶ λογίζομαι τὸ λογαριάζω. Ἀριστοφάνης· τρεῖς μνᾶς ἀναλώσας λογίσασθαι δώδεκα.

---

1. 2. cf. I, 11. 2. Θεολόγος] Greg. Naz. Orat. XL p. 638 D. 3—5. similia praebet Pollux VIII, 104. 3. λήξαρχοι cod., ληξίαρχοι Pollux. 4. ἀπογραφεὶς] ἐγγραφεὶς Pollux. 5. ἡ πατρῷα cod. 6. πολίται pr. cod. 7. 8. cf. Pollucis VIII, 36. 7. λειπομαρτυρίας] λιπομαρτυρίου recte Pollux. 8. μαρτυρῆσαι] μαρτυρήσειν Pollux. ἐκλειπόντων] rectius ἐκλιπόντων Pollux. 11. Πολύβιος] Polyb. II, 9 p. 108, 32 ed. Bekk. 12. ἐπισιτισμοῦ] ἐπισιτισμοῦ χάριν Polybii libri. ἔργῳ δὲ ed. pr., ἔργω δ' cod. 17. Ἡσίοδος] Hesiodus fr. 213 ed. Goettl. οὐκ ἐπειδὴ cod., οὐκέτι δὴ scripsi cum codice V Etym. M. p. 557, 9. verba λαροῖς ποσί citantur ex Hesiodo in Schol. Apoll. Rhod. I, 456. poetam scripsisse βαῖνον λιπαροῖς ποσί coniecit Ruhnkenius Epist. crit. p. 106. 19. Ἀριστοφάνης] Ar. Plut. 381. μνὰς cod., μνᾶς ed. pr.

21. λουόμενος τῆς ἡμέρας πολλάκις ἀντὶ τοῦ καθ' ἡμέραν πολλάκις.

22. λαμπροὶ οἱ φαιδροὶ καὶ πρόδηλοι. καὶ λαμπροὶ οἱ λαμπτῆρες. Ἰουλιανός· κομίσαι δὲ ἔνδον ἐκέλευσα καὶ λαμπροὺς ἀποθέσθαι φανερῶς κεκαυμένους.

23. λακωνίζει ἀντὶ τοῦ τὰ Λακώνων φρονεῖ ...... οἱ μὲν ἠττικίκασιν, οἱ δὲ λελακωνίκασι. λέγεται καὶ λακωνίζειν τὸ παιδικοῖς χρῆσθαι.

24. λογάδην ἀντὶ τοῦ ἐπιλέκτως. Θουκυδίδης· λογάδην φέροντες τοὺς λίθους ξυνετίθεσαν.

25. λοιπὸν τὸ ἐπίλοιπον. καὶ ἀντὶ τοῦ διὰ τοῦτο. καὶ ἀντὶ τοῦ ἀπὸ τοῦ νῦν. Λιβάνιος· ἀλλὰ μέχρι τίνος ἑστιᾶταί σου τῆς ὀργῆς; οὐ χαλάσει λοιπὸν τὴν ὁρμήν; οὐ παύσεται ταῖς ναυσὶ γειτνιῶν;

---

1. καθημέραν cod. 4. Ἰουλιανός] Iulianus Misop. p. 341 D, ubi haec leguntur: κομίσαι δ' ἔνδον ἐκέλευσα πῦρ κεκαυμένον καὶ ἄνθρακας λαμπροὺς ἀποθέσθαι παντελῶς μετρίους. sed ἄνθρακας, quod priores Iuliani editiones ignorant, Spanhemio videtur deberi. num vero λαμπρός pro λαμπτήρ dictum sit dubitamus. 6—8. cf. Suid. v. λακωνίζω. 6. τὰ τῶν Λακώνων ed. pr. et Suidas, τὰ Λακώνων cod. 6. 7. οἱ μὲν — λελακωνίκασι] similes sunt loci Xenophontis Hist. Gr. VI, 3, 14: καὶ ἐν ἑκάστῃ πόλει οἱ μὲν λακωνίζουσιν, οἱ δὲ ἀττικίζουσιν, et Aristidis vol. 1 p. 785: τῶν Ἑλλήνων οἱ μὲν ἠττίκιζον, οἱ δ' ἐλακώνιζον. 7. λελακωνίκασιν pr. cod. 7. 8. λακωνίζειν τὸ παιδικοῖς χρῆσθαι] testem Photius et Suidas afferunt Aristophanem Com. 2 p. 1088. 8. χρᾶσθαι cod., χρῆσθαι Phot. et Suid. 9. 10. Suid. v. λογάδην, quicum cf. Phot. Lex. p. 229, 1 et Hesych. 9. Θουκυδίδης nomen addidi, quo vacuum spatium in codice relictum expleretur. vide Thuc. IV, 4, 2. λογάδην] λογάδην δὲ Thuc. 10. τοὺς λίθους ξυνετίθεσαν] λίθους καὶ ξυνετίθεσαν Thuc. 11. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 12. ἀποτουνῦν cod., ἀπὸ τοῦ νῦν ed. pr. Λιβάνιος] Libanius Decl. vol. 4 p. 99, 21. ἑστιᾶται σοῦ ed. pr., ἑστιᾶται σου cod., ἑστιᾶταί σου Liban. 13. τὴν ὁρμήν] τὴν ὀφρύν Liban.

M.

1. μάλης τῆς ἀγκάλης μετὰ προθέσεως ἀεὶ ἑνικῶς λεγόμενον. Δημοσθένης· οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονε. πληθυντικῶς γὰρ μασχάλαι καὶ μασχάλας γράφεται.

2. μεθ' ἡμέραν ἀντὶ τοῦ κατὰ τὴν ἡμέραν. Μάξιμος· ἐκεῖνος καὶ μεθ' ἡμέραν τὸν ἐρώμενον περιέπει καὶ ἀγάλλεται τῷ ἔρωτι.

3. μάστιξ καὶ τὸ ὄργανον. Ἡρόδοτος· μάστιγάς τε καὶ κέντρα ἐκέλευσε παραφέρειν. μάστιξ καὶ ἡ πληγή.

4. μεταλαβεῖν ἀντὶ τοῦ μετασχεῖν γενικῇ. καὶ μεταλαβεῖν ἀντὶ τοῦ ὕστερον λαβεῖν αἰτιατικῇ. Ἡρόδοτος· πάντων τῶν ἐπίπλων καὶ ἀνδραπόδων τὰ ἡμίσεα μεταλαβεῖν τῶν ἐν τῇ πόλει.

5. μόσχιον. Λιβάνιος· ἀλλὰ καὶ τὸ μόσχιον εἴ ποτε ἐσκίρτησε, κατέαξα λίθοις αὐτοῦ τῶν ποδῶν.

6. μαστιγίας ὁ εἰθισμένος μάστιξι. Χρυσόστομος· καθάπερ γὰρ μαστιγίαι τινὲς καὶ οἰκέται ἀγνώμονες.

1—3. notissimum est nomen μάλη sine praepositione non usurpari nisi a recentissimis scriptoribus, Atticos dicere ὑπὸ μάλης. qua de re v. Lobeck. in Phryn. p. 196. Thes. Gr. L. vol. 5 p. 551 A. 2. Δημοσθένης] Demosth. 29, 12. 2. 3. πληθυντικῶς — γράφεται] τοιαύτας μάλας ἔχει vel dixit vel putatur dixisse Marcus Ant. V, 28. 4. μεθημέραν cod. Μάξιμος] Maximus Tyr. XXV, 4 vol. 2 p. 11. 5. μεθημέραν cod. 6. Ἡρόδοτος] Herodotus III, 130, 1. 6. 7. μάστιγάς τε καὶ κέντρα ἐκέλευσε] ἐκέλευσε μάστιγάς τε καὶ κέντρα Herod. 9. Ἡρόδοτος] Herodotus VI, 23, 5. 10. πόλει] πόλι Herod. 11. μόσχιον] μοσχίον expectes, sed μόσχιον etiam in Libanii loco editur. Λιβάνιος] Libanius Decl. vol. 4 p. 618, 15. εἴποτε ed. pr., εἴ ποτε cod. 12. τῶν ποδῶν] τοῖν ποδοῖν Liban. ed., sed τῶν ποδῶν alii. 13. μάστιξ cod., μάστιξι scripsi. Χρυσόστομος] Ioh. Chrys. Homil. XVII in Genes. c. 3 vol. 4 p. 135 D. 14. οικέται sine spiritu cod., οἰκέται ed. pr.

7. μὴ ὅτι ἀντὶ τοῦ μὴ μόνον. Θεολόγος· μὴ ὅτι τοῖς δι' ἀγάπην τι πεποιηκόσιν.

8. μετιόντα καὶ ἀνιχνεύοντα. Συνέσιος· μετιόντα καὶ θηρώμενον τὴν ἀλήθειαν.

9. μύκημα καὶ μυκηθμὸς ἐπὶ προβάτων· μηκᾶσθαι καὶ μηκασμὸς ἐπὶ αἰγῶν.

10. μαθητιῶ τὸ μαθητὴς γενέσθαι ἐπιθυμῶ· μαθητεύω δὲ τὸ μαθητής εἰμι.

11. μειδιῶ· προσμειδιῶ δὲ δοτικῇ.

12. μετίωμεν ἀντὶ τοῦ ἀνιχνεύσωμεν. Μάξιμος· ἀλλὰ τὸν Διογένην μὲν ἐῶμεν, μετίωμεν δὲ τοὺς νομοθέτας.

13. μηδέτεροι πληθυντικῶς. Ἀριστείδης· μηδέτεροι πλεῖον ἰσχύοντες ἢ κοινῇ συμφέρειν.

14. μονώτης ὁ μόνωσιν ἔχων βίου. Μάξιμος· ἀλλὰ βιούτω βίον ἀνδρὸς ἐν ἐρημίᾳ γεννηθέντος, μονώτην βίον, οὐ γελαστικόν.

15. μεθημερινὴ ἡ κατὰ τὴν ἡμέραν. ὁ μέγας Βασίλειος· καὶ ὅλως τῆς μεθημερινῆς ἀφροσύνης οὐδὲ ἐν ταῖς καθ' ὕπνον φαντασίαις ἀφίστανται.

16. μείζονα πάντων οὐ χρὴ λέγειν κατὰ τὸ ἀκριβές, ἀλλὰ μέγιστον πάντων.

---

1. Θεολόγος] Greg. Naz. Orat. XLI p. 673 B. 2. τί cod., τι ed. pr. et Greg. Naz. 3. Συνέσιος] Synesius Epist. 44 p. 185 B. 5. 6. μυκᾶσθαι καὶ μυκασμὸς pr. cod. 8. μαθητὴς εἰμὶ cod. 10. μετιχνεύσωμεν ed. pr., ἀνιχνεύσωμεν cod. cf. M, 8. Μάξιμος] Maximus Tyr. III, 10 vol. 1 p. 44. ἀλλὰ om. Max. Tyr. 11. μὲν om. Max. Tyr. μετίωμεν δὲ] καὶ μετίωμεν Max. Tyr. 12. μηδέτεροι] μηδ' ἕτεροι pr. cod. Ἀριστείδης] Aristid. vol. 1 p. 829. 13. συμφέρειν] συμφέρει Aristid. 14. Μάξιμος] Maximus Tyr. XXI, 7 vol. 1 p. 411. βιούτω] accentus acutus e circumflexo factus est. 15. οὐ γελαστικόν] οὐκ ἀγελαστικὸν Max. Tyr. 16. ὁ μέγας Βασίλειος] «Basilius M. vol. 1 p. 33 C» Dindorfius in Ar. Nub. 16.

17. μάργος ὁ μαινόμενος, ἢ ὁ ἕτοιμος εἰς θυμόν. Ἡρόδοτος· τῷ τυράννῳ ἦν ἀδελφεὸς ὑπομαργότερος.

18. μετέχω καὶ συμμετέχω σοι τοῦ πάθους, καὶ τὸ ἴσον πάθος ἀττικῶς.

19. μέθυσος ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ. Λιβάνιος· οὐκ ἔστιν ἡ γυνή μου μέθυσος. καὶ μεθύση ἀττικῶς· παρὰ τούτῳ γραῦν μεθύσην.

20. μεθύει ἀμεταβάτως. καὶ μεθύει μεταβατικῶς. Ἱμέριος· οἵας τὰς Λυδὰς ποιοῦσι ζωγράφοι κατὰ πινάκων τέχνῃ μεθύσαντες.

21. μὰ ἀπωμοτικὸν ὂν μετὰ τοῦ ναὶ κατωμοτικὸν γίνεται. Ὅμηρος· ναὶ μὰ τόδε σκῆπτρον. καὶ Συνέσιος· ναὶ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν.

22. μέλει μοι τοῦ πράγματος, καὶ μέλει μοι τὸ πρᾶγμα ἀττικῶς.

23. μέμφομαι συντάσσεται καὶ αἰτιατικῇ. Εὐριπίδης· τὸ μέντοι θῆλυ μέμφομαι γένος.

24. μετῆλθεν ἀντὶ τοῦ ἐκόλασεν. Εὐριπίδης· ὡς ταχὺ

---

1. Ἡρόδοτος] Herodotus III, 145, 1. 3. τοῦ πάθος cod., τοῦ πάθους ed. pr. 5. Λιβάνιος] Libanius Decl. vol. 4 p. 143, 8. 6. γυνὴ μου ed. pr., γυνή μου cod. pro μου in Libanio alii μοι scribunt. 6. 7. παρὰ τούτῳ γραῦν μεθύσην] Ar. Nub. 555: προσθεὶς αὐτῷ (ἑαυτῷ V) γραῦν μεθύσην. 8. Ἱμέριος] Himerius Ecl. XXXVI, 4. 9. μεθύσαντες] μεθύσας in Himerio scribitur secundum Phot. Bibl. p. 376 b 18, ubi μεθύσας A, μεθύσαντες C. hoc igitur erit admittendum. utique tamen lexicographus inepte agit; μεθύσαντες enim ab verbo μεθύσκειν derivandum est, μεθύειν vix usquam μεταβατικῶς usurpatur. 10. ἀπομωτικὸν primum codex habuisse videtur.
11. Ὅμηρος] Hom. Il. A, 234. Συνέσιος] Synesius Epist. 49 p. 187 D sive Epist. 59 p. 203 D. idem Synesius dixit οὐ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν Epist. 103 p. 241 C et νὴ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν Epist. 129 p. 263 C. 13. καὶ μέλει μοὶ cod., καὶ μέλει μοι ed. pr. 15. Εὐριπίδης] Eur. Hec. 885. 17. ἐκόλασεν] ἐκόλασε pr. cod. Εὐριπίδης] Eur. Orest. 423.

μετῆλθόν σ' αἷμα μητρὸς θεαί. καὶ μετῆλθεν ἀντὶ τοῦ μετέπεσεν. Ἀφθόνιος· τὸ ῥόδον τὴν ἀρχὴν λευκὸν γεγονὸς εἰς ὃν νῦν ὁρᾶτε μετῆλθε.

25. μεσεγγύημα τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ γινομένῳ ἐγγυητῇ τῆς ἀποδόσεως. καὶ μεσεγγυήσασθαι τὸ ποιῆσαι τοῦτο λέγεται. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

26. μηρύομαι τὸ τὸ σχοινίον συνάγω.

27. μαλακὸν ἐπὶ βλέμματος λεγόμενον εἰς ἔπαινον λαμβάνεται. Ἀριστοφάνης· τὸ βλέμμα θ' ὡς ἔχει μαλακὸν καὶ καλόν.

28. μάττω ἐπὶ ζύμης καὶ μάττομαι. ἀναμάττομαι δὲ τὸ ἀναλαμβάνω.

29. μετοιωνίσασθαι ἀντὶ τοῦ μεταθέσθαι τὸν φαῦλον οἰωνόν.

30. μετέρχεται τὸ βιβλίον, καὶ μετέρχεται ἀντὶ τοῦ κολάζει. Ἀφθόνιος· καὶ τὰ μὲν ἁμαρτήματα τῶν παίδων μετέρχονται.

31. μικροῦ γράφεται ἐπὶ ἐπιρρήματος. Λιβάνιος· καὶ μικροῦ τὸ σῶμα λαβὼν ἐκόμισεν οἴκαδε.

32. μεταδίδωμι ἀπὸ δοτικῆς εἰς γενικήν· ἀττικῶς ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ἰουλιανός· μετέδωκε γάρ μοι πρὸς Καππαδο-

---

1. μετῆλθον σ' cod. μητρὸς] μητέρος Euripidis libri. poetam probabile est μητρῷον scripsisse. 2. Ἀφθόνιος] Aphthonius Progymn. c. 2 in Rhet. Gr. vol. 1 p. 62, 10. εἰς ὃν] εἰς ὃ Aphthon. νῦν] οὖν pr. cod. 4—6. ex Harpocr. p. 126, 14. quo nititur Suidas v. μεσεγγύημα. 6. Αἰσχίνης] ὡς ὑποσημαίνει Αἰσχίνης Harp. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος] Aeschines 3, 125: Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος. 9. Ἀριστοφάνης] Ar. Plut. 1022. ὡς ἔχει ed. pr., θ' ὡς ἔχει cod., θ' ὡς (vel δ' ὡς) ἔχοιμι Aristoph. 12. eadem Phot. Lex. p. 263, 21 et Suid. v. μετοιωνίσασθαι. fons annotationis est Harpocr. p. 127, 17. ubi testis vocabuli affertur Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους. vide Dinarch. 1, 29. 92. μετοιωνήσασθαι cod., μετοιωνίσασθαι Harp. Phot. Suid. 14. Ἀφθόνιος] Aphthonius Progymn. c. 3 in Rhet. Gr. vol. 1 p. 64, 11. 15. Λιβάνιος] Libanius Decl. vol. 4 p. 472, 7. καὶ] οὐ Liban. 16. ἐκόμισε ed. pr., ἐκόμισεν cod. 18. Ἰουλιανός] Iulianus Epist. 9 p. 378 C. πρὸς] περὶ τὴν Iul.

κίαν ὄντι πρὸς μεταγραφήν τινα. καὶ Ἡρόδοτος· μεταδιδοὺς πέντε τάλαντα, ὡς παρὰ ἑωυτοῦ δῆθεν διδούς.

33. μέχρι τούτου ἀττικῶς μέχρι εἰς τοῦτο. Ἱμέριος· Θύμβρις δὲ ἄνωθεν ἐξ Ἰταλίας πολὺς φερόμενος, μέχρι πρὸς τὴν πόλιν πελαγίζει.

34. μετέβαλλεν ἕτερον. καὶ μετέβαλλεν ἀντὶ τοῦ μετεβλήθη. Συνέσιος· καὶ μετέβαλλεν ἡ γλυκύτης τοῦ βίου.

35. μικροῦ δεῖν ἀντὶ τοῦ σχεδόν. Ἀριστείδης· ἀντεῖχον μικροῦ δεῖν ἅπασιν ἀνθρώποις.

36. μιμνήσκομαι καὶ ἀναμιμνήσκομαι γενικῇ, ἐνίοτε δὲ καὶ αἰτιατικῇ.

37. μετανοῶ σοι γράφεται καὶ μετανοῶ ἐπὶ τοῖς πεπραγμένοις.

38. μάτην ἄλλως ὁμοῦ τίθενται. Δίων· ὅτι μάτην ἄλλως οὐδὲ περὶ ἄχρηστα πλανωμένων.

39. μύλη τὸ κάτω τοῦ μύλου, μύλος τὸ ἄνω. μυλὼν δὲ μυλῶνος τὸ ἐργαστήριον.

40. μαστὸς ἐπὶ γυναικός, μαζὸς ἐπὶ ἀνδρός, πολλάκις καὶ ἐπὶ θηλείας. Ὀππιανός· καὶ γάρ τί μαζοί τε καὶ ἐν μαζοῖσι γάλακτος εἰσὶ ῥοαί.

41. μαρτύριον ἐπὶ οὐδετέρου. Θουκυδίδης· ὡς ἂν μάλιστα μετὰ ἀειμνήστου μαρτυρίου.

---

1. μεταγραφὴν τινὰ cod., μεταγραφήν τινα ed. pr. Ἡρόδοτος] Herodotus VIII, 5, 1. μεταδιδοὺς] leg. μεταδιδοῖ ex Herod. 7. Συνέσιος] Synesius Epist. 16 p. 175 B. μετέβαλλεν] μετέβαλεν recte Synes. 8. Ἀριστείδης] Aristid. vol. 1 p. 832. 10. ἐνιότε ed. pr., ἐνίοτε cod. 13. Δίων] Dio Chrysost. Orat. VII, 127 (vol. 1 p. 137, 25 ed. L. Dind.). ὅτι μάτην] ὅτι οὐ μάτην Dio Chrys. 14. πλανωμένων] πλανωμένῳ Dio Chrys. 15. 16. μύλων δὲ μύλωνος cod. 17. πολλάκις δὲ ed. pr., πολλάκις καὶ cod. 18. Ὀπιανὸς cod., Ὀππιανός ed. pr. Oppiani verba leguntur Hal. 1, 687 sq. καὶ γάρ τί] καὶ γάρ τῷ Oppianus. 20. Θουκυδίδης] Thuc. I, 33, 1. 21. μετὰ Ἀειμνήστου ed. pr., μετ' ἀειμνήστου Thuc.

N.

1. νήσαντες ἀντὶ τοῦ κλώσαντες. καὶ νήσαντες ἀντὶ τοῦ συνάξαντες ὕλην τροφὴν πυρός. Μάξιμος· ἐπειδὰν δὲ αὐτοῖς δέῃ τῆς κατὰ μέϑην ἡδονῆς, νήσαντες πυρὰν ϑυμιώδεις εὐώδεις βοτάνας, περικαϑίσαντες ἐν κύκλῳ τῇ πυρᾷ ὥσπερ κρατῆρι, εὐωχοῦνται τῆς ὀσμῆς.

2. νεαλὴς ὁ νεωστὶ ἑαλωκώς. Δημοσϑένης ἐν τῷ κατ' Ἀριστογείτονος. λέγεται δὲ οὕτως κατὰ μεταφορὰν τῶν ἰχϑύων.

3. νοσῶ ἀμεταβάτως, καὶ νοσῶ μεταβατικῶς τῷ σώματι καὶ τὸ σῶμα.

4. νῦν μὲν νῦν δὲ ἀντὶ τοῦ ποτὲ ἐκλαμβάνεται. Συνέσιος· νῦν μὲν εἰς σπουδήν, νῦν δὲ εἰς ἡδονὴν ἀποκλίναντος.

5. νύμφη κατὰ τοὺς παλαιοὺς ἐπὶ τῆς νέας συνοίκου λέγεται. Εὐριπίδης· νύμφας τ' ἔϑηκεν ὀρφανὰς ξυναόρων.

6. ναυάγιον οὐδετέρως τὸ ἀπὸ τοῦ κλύδωνος ἀνασωϑὲν ἢ τῷ κλύδωνι περιφερόμενον, οἷον ξύλον τῆς νηὸς ἢ ἱστία ἢ ἄλλο τι. Λυσίας· καὶ πολλῶν μὲν συμπιπτόντων καὶ πολεμίων ναυαγίων. καὶ Σοφοκλῆς· πᾶν δ' ἐπίμπλατο ναυαγίων Κρισαῖον ἱππικὸν πέ-

---

2. Μάξιμος] Maximus Tyr. XXVII, 6 vol. 2 p. 44. ἐπειδάν δε cod., ἐπειδὰν δὲ ed. pr. 3. πυρᾶ cod., πυρὰν ed. pr. ϑυμιώδεις εὐώδεις] ϑυμιῶντες εὐώδεις recte Mak. Tyr. 5. ὀσμῆς] ὀδμῆς Max. Tyr. ed. 6. 7. cf. Harpocr. p. 131, 16. Δημοσϑένης ἐν τῷ κατ' Ἀριστογείτονος] Dem. 25, 161: νεαλὴς δὲ καὶ πρόσφατος ὢν ἐκεῖνος περιῆν αὐτοῦ τεταριχευμένου καὶ πολὺν χρόνον ἐμπεπτωκότος. 8. verba καὶ νοσῶ μεταβατικῶς om. ed. pr. 10. Συνέσιος] Synesius Epist. 1 p. 159 A. 11. ἀποκλίναντες ed. pr. atque ita primitus cod., ubi ἀποκλίναντος, quod Synesius scripsit, a pr. m. restitutum est. 13. Εὐριπίδης] Eur. Or. 1136. ξυναείρων ed. pr., ξυναόρων cod. et Eur. 15. ἀλλό τι cod., ἄλλο τι ed. pr. Λυσίας] Lysias 2, 38. 16. καὶ πολεμίων] καὶ φιλίων καὶ πολεμίων Lys. 17. Σοφοκλῆς]

δον. καὶ Θουκυδίδης· διὰ τῶν νεκρῶν καὶ τῶν ναυαγίων προσκομισθεῖσαι κατέπλεον ἐς τὸ στρατόπεδον. ναυαγία δὲ θηλυκῶς ὁ κλύδων. Συνέσιος· καὶ οὐδὲν ἀξιοῖ παρὰ τῆς ναυαγίας ὠφελεῖσθαι. ἀττικῶς δὲ λέγεται ναυάγιον καὶ ὁ κλύδων. θεολόγος· ἕως ἐξ οὐρίας πλεῖς, φοβήθητι τὸ ναυάγιον.

7. νέμεται οὐκ ἐπὶ πυρὸς μόνον λέγεται, ἀλλὰ καὶ ἐπὶ βοσκημάτων καὶ ἐπ' ἀνθρώπων. Μάξιμος· ἐνέμετο τὴν πᾶσαν γῆν ὡς οἶκον ἕνα μόνος. καὶ νέμεται ἀντὶ τοῦ δίδοται. Ἡρόδοτος· τὸ μὲν ἀπ' ἡμέων οὕτως ἀκίβδηλον νέμεται τοὺς Ἕλληνας.

8. νυκτὸς καὶ τῆς νυκτὸς μετὰ ἄρθρου, καὶ ἡμέρας καὶ τῆς ἡμέρας, πρωίας καὶ τῆς πρωίας ἐλλειπτικῶς ἔχουσι τὴν σύνταξιν, ἤγουν κατὰ τὸν καιρὸν τῆς νυκτὸς καὶ κατὰ τὸν καιρὸν τῆς ἡμέρας καὶ κατὰ τὸν καιρὸν τῆς πρωίας καὶ τὰ ὅμοια.

9. νέον τὸ λυπηρόν, ὡς Εὐριπίδης. καὶ Ἡρόδοτος· πυνθάνομαι, Ἱστιαῖε, ἐπίτροπον τὸν σόν, τῷ σὺ Μίλητον ἐπέτρεψας, νεώτερα ἐς ἐμὲ πεποιηκέναι πρήγματα.

10. νομίζοντες ἀντὶ τοῦ νόμον ἔχοντες. Ἡρόδοτος· γυναῖκας δὲ νομίζοντες πολλὰς ἔχειν ἕκαστος.

Soph. El. 729 sq. ναυαγίων τὸ ..ησαίαν ed. pr., ναυαγίων κρησαίων cod., ναυαγίων Κρισαῖον ex Sophocle scripsi, quamquam Κρισσαῖον praebent codices Sophoclei. ἱππικὸν] ἱππικῶν pr. cod. et Sophoclis libri.

1. Θουκυδίδης] Thuc. I, 51, 4. καὶ τῶν] καὶ Thuc. ναυαγίων] ναυαγιῶν pauci Thuc. libri. 3. Συνέσιος] Synesius Epist. 67 p. 215 B.

4. θεολόγος] Greg. Naz. Orat. XL p. 644 D. 4. 5. ἐξουρίας cod., ἐξ οὐρίας Greg. Naz. 5. verba φοβήθητι τὸ ναυάγιον om. cod.

7. Μάξιμος] Maximus Tyr. III, 9 vol. 1 p. 43. 8. 9. verba καὶ νέμεται — τοὺς Ἕλληνας in margine addita sunt literis minoribus.

8. Ἡρόδοτος] Herodotus IX, 7, 4. 9. οὕτως ἀκίβδηλον] οὕτω ἀκίβδηλον ἐὸν in Herod. ed., sed ἐὸν plurimi libri om. νέμεται τοὺς] νέμεται ἐπὶ τοὺς Herod. 11. πρωὶ καὶ cod., πρωίας καὶ ed. pr. 14. Εὐριπίδης] haud scio an respiciatur Eur. Hec. 83: ἔσται τι νέον, ubi Scholia: τὸ νέον λαμβάνεται καὶ ἐπὶ καινοῦ τινὸς καὶ ἐπὶ δεινοῦ. Ἡρόδοτος] Herodotus V, 106, 1. 15. 16. νεωτέρα ed. pr.

17. Ἡρόδοτος] Herodot. IV, 172, 2.

11. νῦν δὲ ἐν τῇ φράσει ἀντὶ τοῦ ἀλλὰ λαμβάνεται. Χρυσόστομος· ὅταν γὰρ ὁ βάρβαρος καὶ ἀμαθὴς τοιαῦτα φθέγγηται, ἃ μηδεὶς τῶν ἐπὶ γῆς ἀνθρώπων συνεῖδέ ποτε, καὶ μὴ φθέγγηται μόνον, καίτοι καὶ εἰ τοῦτο μόνον ἦν, μέγα θαῦμα ἦν, νῦν δὲ πρὸς τούτῳ καὶ ἕτερον παρέχει τεκμήριον τοῦ θεόπνευστα εἶναι τὰ λεγόμενα, τὸ τοὺς ἀκούοντας πεῖθειν ἅπαντας διὰ χρόνου παντός.

12. νομίζεται παθητικῶς ἀντὶ τοῦ ὑπολαμβάνεται, καὶ ἀντὶ τοῦ νόμιμόν ἐστι. Συνέσιος· οὐ γὰρ οἶμαι νομίζεται νυμφευτρίαις βαδίζειν ἐπ' ἐκφοράν. καὶ νομίζω ἐνεργητικῶς τὸ ὑπολαμβάνω, καὶ τὸ νομίμως πολιτεύομαι. Ἀριστείδης· οὐδὲ γὰρ εἰ Βυζάντιοι σιδήρῳ νομίζουσι, τούτου χάριν εἰσὶ δίκαιοι τῶν Ἑλλήνων καταγελᾶν. καὶ Ἱμέριος· τί δὲ Σκύθαις μουσικῆς ὄφελος σιδήρῳ τὰ πάντα νομίζουσι;

13. νομίσας ἀντὶ τοῦ ὑπολαβών. καὶ ἀντὶ τοῦ ὑποληφθείς. καὶ ἀντὶ τοῦ νόμον θέμενος. Θουκυδίδης· ἐπιψήφιζε καὶ γνώμας προτίθει αὖθις Ἀθηναίοις νομίσας, εἰ ὀρρωδεῖς τοῦ ἀναψηφίσαι.

14. νεώτατα ἀντὶ τοῦ νεωστί. Θουκυδίδης· ὅσαι μὲν νεώτατα ᾠκίσθησαν.

15. νυκτῶν μέσων ἀντὶ τοῦ νυκτὸς μέσης.

16. νιπτὴρ ἔνθα νίπτονται· πλυνὸς ἔνθα τινὰ πλύνονται.

---

1. νῦν δε cod., νῦν δὲ ed. pr. 3. συνεῖδε ποτὲ cod. 4. νῦν δε cod., νῦν δὲ ed. pr. 8. νόμιμον ἐστὶ cod. Συνέσιος] Synesius Epist. 3 p. 160 B. 10. Ἀριστείδης] Aristides vol. 2 p. 195. οἱ Βυζάντιοι ed. pr., εἰ Βυζάντιοι cod. et Aristid. ceterum cf. Georgius Lecap. in Matthaei Lect. Mosq. p. 71, ubi Ἀριστοφάνης pro Ἀριστείδης scribitur. 12. Ἱμέριος] prius iota in codice ex η factum est. τί δε cod., τί δὲ ed. pr. 15. Θουκυδίδης] Thuc. VI, 14. in cuius verbis interpretandis turpiter lexicographus erravit, cum quae scriptor addidit plane neglexerit. 16. τοῦ ἀναψηφίσαι] τὸ ἀναψηφίσαι plerique Thuc. libri, unus τῷ ἀναψηφίσαι. 17. Θουκυδίδης] Thuc. I, 7. 17. 18. νεώτατα] νεώτατοι aliquot Thuc. libri. 20. ἔνθά τινα cod., ἔνθα τινὰ ed. pr.

17. νόμος τὸ ἔθος. Ἀριστείδης· νόμος ἐστι τοῖς Ἕλλησι παλαιός. καὶ νόμος ὁ γραπτός, ὃς καὶ περιγράφεται οὕτως· νόμος ἐστὶ λόγος ἄκρος, ἔμφυτος τῇ φύσει, τὰ πρακτέα προτρέπων, ἀποτρέπων δὲ τὰ μὴ τοιαῦτα.

Ξ.

1. ξυραῖος ὁ ἐξυρημένος. Συνέσιος· εἰ τοίνυν ὁ ξυραῖος χειροποίητός ἐστιν εὐσεβής, ὁ φύσει φαλακρὸς αὐτοφυὴς ᾠκείωται τῷ θεῷ.

2. ξυμβαλεῖν ἀντὶ τοῦ νοῆσαι. καὶ ξυμβαλεῖν ἀντὶ τοῦ κοινώσασθαι. Εὐριπίδης· ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς ἔχω ξυμβαλεῖν πρὸς αὐτὸν βουλεύματα. καὶ ξυμβαλεῖν ἀντὶ τοῦ ἁρμόσαι.

3. ξένειν ἐπὶ ἐρίων καὶ σαρκός, ξέειν καὶ ξύειν ἐπὶ ξύλων.

4. ξυνάρασθαι τῷ δεῖνι κατὰ τὸν κίνδυνον. καὶ ξυνάρασθαι τὸν κίνδυνον, αἰτιατικῇ μόνῃ. Θουκυδίδης· μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς μάχης, ἣ παρ' ἡμῖν ἐγένετο.

5. ξενίζειν τὸ ξένῃ διαλέκτῳ χρῆσθαι, καὶ τὸ ξένους δέχεσθαι, καὶ τὸ ἐκπλήττειν.

6. ξένος καὶ ὁ δεχόμενος τὸν ξένον καὶ ὁ ἀπὸ ξένης ἥκων.

---

1. Ἀριστείδης] Aristides vol. 1 p. 150. 2. νόμος ἐστι ed. pr., νόμος ἐστὶ hoc loco cod. 5. Συνέσιος] Synesius Calvit. encom. c. 7 p. 71 A. 6. ἐστι cod., ἐστιν ed. pr. αὐτοφυὴς] αὐτοφυῶς Synes. 8. ξυμβαλεῖ priore loco cod., ξυμβαλεῖν ed. pr. 9. Εὐριπίδης] Eur. Phoen. 692 sq. 9. 10. ἔχω ξυμβαλεῖν πρὸς αὐτὸν] θέλω πρὸς αὐτὸν συμβαλεῖν Eur. 11. ξέειν ἐπὶ ἐρίων ed. pr., ξένειν ἐπὶ ἐρίων cod., ξαίνειν ἐπὶ ἐρίων scribendum. 13. Θουκυδίδης] Thuc. II, 71, 2.

16—18. glossas 5 et 6 in unum coniunxit ed. pr. codice invito.

16. ξένῳ διαλέκτῳ ed. pr., ξένη διαλέκτω cod.

7. ξυλλαβεῖν ἀντὶ τοῦ ἐχθρωδῶς κρατῆσαι αἰτιατικῇ. ξυλλαβεῖν δὲ ἀντὶ τοῦ συμμαχῆσαι δοτικῇ. Ἰσοκράτης· ἐρῶ δὲ τὴν τύχην ἡμῖν ξυλλαμβάνουσαν.

8. ξυρεῖν καὶ ξυρᾶν οἱ Ἀττικοὶ ἐπὶ πρώτης καὶ δευτέρας λέγουσι.

9. ξύλωσις τὰ τῶν οἰκημάτων ξύλα. Θουκυδίδης· καὶ αὐτῶν τῶν οἰκιῶν καθαιροῦντες τὴν ξύλωσιν.

O.

1. οἴμοι παρὰ Ἀριστοφάνει ἐπὶ ἡδονῆς· οἴμ' ὡς ἥδομαι, πεντατάλαντός μοι δίκη διαγέγραπται. οὕτω καὶ τὸ ὤμοι· ὤμοι σοφίας τῆς ἐμῆς. καὶ τὸ παπαὶ παρὰ Λουκιανῷ· παπαὶ τῶν ἐπαίνων Ὁμήρου καὶ τῶν ὀνομάτων.

2. ὀβολοστάται οἱ δανεισταὶ παρ' Ἀριστοφάνει. καὶ ὀβολοστατεῖν τὸ δανείζειν παρὰ Λυσίᾳ.

3. ὁμόφωνα τὰ ὁμόγνωμα. καὶ ὁμόφωνα τὰ ὁμόγλωσσα. Ἱμέριος· ἦν ἄρα τότε ὁμόφωνα καὶ τὰ θηρία τοῖς ἀνθρώποις.

4. ὀργῶ ἀντὶ τοῦ ἐπιθυμητικῶς κεκίνημαι. Ἡρόδοτος· ὁ γὰρ σὸς υἱὸς ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα.

---

2. Ἰσοκράτης] Isocr. 1, 3. ἐρῶ δὲ τὴν] ὁρῶ δὲ καὶ τὴν Isocr. 3. ξυλλαμβάνουσαν] συλλαμβάνουσαν Isocr. 5. λέγουσιν ed. pr. 6. Θουκυδίδης] Thuc. II, 14, 1. 8. παρ' ed. pr., παρὰ cod. Ἀριστοφάνει] Ar. Nub. 773 sq. καὶ ἡδονῆς ed. pr., ἐπὶ ἡδονῆς cod. 8. 9. πεντατάλαντός μοι δίκη διαγέγραπται] ὅτι πεντετάλαντος διαγέγραπταί μοι δίκη Aristoph. 10. Λουκιανῷ] Lucian. Char. c. 23 vol. 1 p. 523. 11. Ὁμήρου] Ὅμηρε Lucianus. τῶν om. ed. pr. 12. Ἀριστοφάνει] Ar. Nub. 1155: ἰὼ κλάετ', ὠβολοστάται. quae sequuntur ex Harpocr. p. 134, 14 repetita sunt: ὀβολοστατεῖ ἀντὶ τοῦ δανείζει Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος. 14. Ἱμέριος] immo Maximus Tyr. XXV, 2 vol. 2 p. 5. 16. Ἡρόδοτος] quo spectet haec

5. ὀξύχειρ ὁ μανικός. Λυσίας· νῦν δὲ ὀξύχειρ λίαν ἐστὶ καὶ πάροινος.

6. ὅτῳ καὶ ὅτου εὕρηνται καὶ ἐπὶ θηλυκοῦ. Σοφοκλῆς· ὅτου νυμφῶν Ἑλικωνιάδων. γράφει δὲ Σοφοκλῆς καὶ ὅτων ἐπὶ θηλυκοῦ.

7. ὄψις ὁ ὀφθαλμός. Σοφοκλῆς· τίς σε δαιμόνων ἐπῆρε σὰς ὄψεις μαρᾶναι; καὶ ὄψις τὸ βλεπόμενον ὑπὸ τῆς ὄψεως. Εὐριπίδης· Πυλάδην δρόμῳ στείχοντα Φωκέων ἄπο ἡδεῖαν ὄψιν ὁρῶ. καὶ ὄψις ἡ ἀπάτη. θεολόγος· εὐσεβείας τι πλάσμα καὶ ὄψιν ἡμῖν περιχρώσαντες. ὄψις καὶ τὸ ἐνύπνιον. Εὐριπίδης· εἶδον γὰρ φοβερὰν ὄψιν ἔμαθον ἐδάην.

8. οὖσα ἡ ὑπάρχουσα· τὸ ἐναντίον μὴ οὖσα. οὖσα ἡ ἐπιδημοῦσα· τὸ ἐναντίον ἀποῦσα. Σοφοκλῆς· κἀγὼ βαρυνθεὶς τὴν μὲν οὖσαν ἡμέραν μόλις κατέσχον. καὶ θεολόγος· τῇ μὲν ὑγίειαν ἢ εὐεξίαν σαρκὸς ἢ οὖσαν φυλάξαι ἢ ἀπελθοῦσαν ἀνακαλέσασθαι.

---

mentio docet Suidas v. ὀργᾶν: Ἡρόδοτος ἰδὼν Θουκυδίδην ὑπὸ ἐνθουσιασμοῦ τινος δακρύοντα, ἔφη· μακαρίζω σε, Ὄλορε, τῆς εὐτεκνίας· ὁ γὰρ σὸς υἱὸς ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα.

1. Λυσίας] Lysias 4, 8: εἶτα ὑπὸ τῆς ἀνθρώπου παρωξυμμένος ὀξύχειρ λίαν καὶ πάροινός ἐστιν. νῦν δε cod., νῦν δὲ ed. pr. λίαν ἐστι cod. 3. Σοφοκλῆς] Soph. Oed. R. 1107. ὅτου] ἔκ του recte Sophoclis libri. 4. Ἑλικωνιάδων] Ἑλυκωνιάδων pr. cod. Σοφοκλῆς] respicitur Soph. Oed. R. 414: σὺ καὶ δέδορκας κοὐ βλέπεις ἵν' εἶ κακοῦ οὐδ' ἔνθα ναίεις οὐδ' ὅτων οἰκεῖς μέτα. ubi ὅτων masculini est generis, non feminini. neque ullum habemus locum ubi ὅτου pro ἥστινος aut ὅτῳ pro ᾗτινι dictum sit. 5. Σοφοκλῆς] Soph. Oed. R. 1327 sq.: πῶς ἔτλης τοιαῦτα σὰς ὄψεις μαρᾶναι; τίς σ' ἐπῆρε δαιμόνων; 6. μαράναι cod., μαρᾶναι ed. pr. Εὐριπίδης] Eur. Or. 725 sqq.: ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν Πυλάδην δρόμῳ — ἡδεῖαν ὄψιν. 8. θεολόγος] Greg. Naz. Orat. I p. 21 D. τί cod., τι ed. pr. ἡμῖν] ἡμῖν αὐτοῖς Greg. Naz. 9. Εὐριπίδης] Eur. Hec. 76 sq. ubi verba εἶδον γὰρ et ὄψιν ἔμαθον spuria esse vidit Hartungius. 12. Σοφοκλῆς] Soph. Oed. R. 781 sq. 13. θεολόγος] Greg. Naz. Orat. I p. 11 A. ὑγίειαν] ί in codice ex εί factum est.

9. ὀξυθύμια τὰ ξύλα ἀφ' ὧν ἀπάγχονταί τινες παρ' Ὑπερίδῃ ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι. καὶ ὀξυθύμια τὰ καθάρματα καὶ ἀπολύματα.

10. ὀργεῶνες παρ' Ἰσαίῳ οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες. ὀργιάζειν γάρ τὸ θύειν ἐστὶν ἢ τὸ τὰ νομιζόμενα δρᾶν, ἢ ἀπὸ τοῦ ὀρέγειν τὰς χεῖρας ἢ ἀπὸ τοῦ τὸ ὄργιον.

11. ὄζει ἀμετάβατον. καὶ ὄζει μεταβατικῶς μύρων.

12. οἰδῶ τὸ ἐξογκοῦμαι. καὶ ἐξῳδηκὼς τὸν πόδα.

13. ὁμολογία καὶ ἡ συμφωνία. Θουκυδίδης· καὶ ἀπόβασιν ποιησάμενοι ἐς τὴν Κρανίων γῆν, ἀπατηθέντες ὑπ' αὐτῶν ἐξ ὁμολογίας τινός, ἄνδρας τε ἀποβάλλουσιν.

14. ὀφθαλμία κυρίως ἡ σύγχυσις τῶν ὀφθαλμῶν. Συνέσιος· δεινῇ καὶ πέρα δεινῆς ὀφθαλμίᾳ παλαίεις. καταχρηστικῶς ἡ τύφλωσις. Ἀριστοφάνης· οἶμαι δὲ οἶμαι, σὺν θεῷ δὲ εἰρῆσθαι, ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας.

15. ὁμόσε ἀντὶ τοῦ ἀσχέτως. Συνέσιος· ἔγνωκεν ὁμόσε ἰτέον

1—3. locus excerptus ex Harpocr. p. 138, 6. cf. Phot. Lex. p. 340, 3 et Suid. v. ὀξυθύμια. 1. ἀπάγχονται τινὲς cod., ἀπάγχονταί τινες ed. pr. Ὑπερίδῃ] Hyperidis locum ex oratione adv. Demadem habita affert Harpocr.: περὶ οὗ πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθυμίοις ἡ στήλη σταθείη ἢ ἐν τοῖς ἡμετέροις ἱεροῖς. 2. ὀξέος cod., ὀξέως ed. pr. et Harp. 3. ἀπολύματα] ἀπολλύματα pr. cod. 4—6. plura Harpocr. p. 138, 26. 4. ὀργεῶνες παρ' Ἰσαίῳ] ὀργεῶνας. Ἰσαίου λόγος ἐστὶ πρὸς ὀργεῶνας, ὀργεῶνες δ' εἰσὶν Harp. 5. ὀργιάζειν] ὀργεάζειν pr. cod. γάρ τὸ θύειν ἐστὶν] γάρ ἐστι τὸ θύειν Harp. δρᾶν] δρᾶν Harpocrationi restituit Valesius. 5. 6. ἢ ἀπὸ — τὸ ὄργιον] ἤτοι παρὰ τὸ ὀρέγειν τὼ χεῖρε ἢ παρὰ τὰ ὄργια Harpocr. 8. ἐξῳδηκὼς πόδα ed. pr., ἐξῳδηκὼς τὸν πόδα cod. 9. Θουκυδίδης] Thuc. II, 33, 3. 11. ἄνδρας τὲ cod., ἄνδρας τε ed. pr. 12. Συνέσιος] Synesius Epist. 7 p. 171 B. 13. δεινὴ καὶ cod., δεινῇ καὶ ed. pr., δεινῇ τινὶ καὶ Synes. 14. Ἀριστοφάνης] Ar. Plut. 114 sq. οἶμαι δὲ] οἶμαι γὰρ Ar. εἰρῆσθαι] εἰρήσεται Ar. 16. Συνέσιος] Synesius Epist. 35 p. 179 B.

εἶναι τοῖς ἀποθνήσκουσι. καὶ Εὐριπίδης· ξυνετῶς χωρεῖν ὁμόσε τοῖς λόγοις θέλει.

16. ὄκνος ἡ ῥᾳθυμία καὶ ὁ φόβος.

17. Ὄλυμπος ποιητικῶς ὁ οὐρανός. Ὀλύμπια ὁ ἀγών. καὶ Ὀλυμπία ἐπὶ θηλυκοῦ. Λουκιανός· ἀλλ' οὐδ' ἐθεώρησα ἐγώ ποτε εἰς Ὀλυμπίαν.

18. ὁμοῖον οἱ Ἀττικοὶ γράφουσιν.

19. ὅσον οὐκ ἤδη ἀντὶ τοῦ συντόμως. Εὐριπίδης· ἥξει δ' Ὀδυσσεὺς ὅσον οὐκ ἤδη. καὶ μικρὸν ὅσον ἀντὶ τοῦ ὀλίγον λίαν. Θεόκριτος· μικρὸν ὅσον ἄπωθεν ἁλιτρύτοιο γέροντος.

20. οἰωνίζομαι ἀντὶ τοῦ δι' οἰωνῶν μαντεύομαι. καὶ οἰωνίζομαι τόδε τὸ πρᾶγμα μεταβατικῶς ἀντὶ τοῦ ἁπλῶς στοχάζομαι καὶ μαντεύομαι.

21. ὁρμεῖ ἡ ναῦς· ὁρμίζει δὲ τὴν ναῦν.

22. ὄπισθεν γράφεται καὶ ἐπὶ μέλλοντος. Ἡρόδοτος· αὐτός τε οὕτω τυγχάνω ἐπιστάμενος καὶ ἐν τοῖς ὄπισθεν λόγοισιν ἀποδέξω.

23. ὁρμᾷ ἄνθρωπος ἀντὶ τοῦ κεκίνηται ἀμετάβατον. καὶ ὁρμᾷ μεταβατικὸν ἀντὶ τοῦ κινεῖ. Ἡρόδοτος· ὡς δὲ τὸ στράτευμα τὸ Περσικὸν ὥρμα βασιλεύς.

---

1. τοῖς] τῆς pr. cod. ἀποθνήσκουσιν ed. pr., ἀποθνήσκουσι cod. Εὐριπίδης] Eur. Or. 921. ξυνετῶς] ξυνετὸς δὲ Eur. 2. θέλω ed. pr., θέλει cod. ut videtur, θέλων Euripidis libri. 5. Ὀλυμπία ἐπὶ θηλυκοῦ] lexicographus ita loquitur quasi τὰ Ὀλύμπια et ἡ Ὀλυμπία perinde haberentur. Λουκιανός] Lucianus Tim. c. 50 vol. 1 p. 164. ἐγώ ποτε] ἐγὼ κώποτε Luc. 7. ὁμοῖον οἱ Ἀττικοὶ γράφουσιν] haud scio an spectet hic locus ad duplicem adiectivi ὅμοιος accentum, de quo dixit Ellendtius Lex. Soph. vol. 2 p. 315. 8. Εὐριπίδης] Eur. Hec. 141. 9. Ὀδυσσεὺς] Ὀδυσεὺς Eur. 10. Θεόκριτος] Theocr. 1, 45. μικρὸν ὅσον] τυτθὸν δ' ὅσσον Theocr. 14. ὁρμᾷ ed. pr., ὁρμεῖ cod. 15. Ἡρόδοτος] Herodotus V, 22, 1. 16. καὶ] καὶ δὴ καὶ vel καὶ δὴ Herod. libri. τοῖς ὄπισθεν λόγοισιν] τοῖσι ὄπισθε λόγοισι Herod. ed. 18. Ἡρόδοτος] Herodotus VIII, 106, 1.

24. ὅτε ἀντὶ τοῦ ἐπειδή. Δημοσϑένης· ἀντὶ πολλῶν ἄν, ὦ Ἀϑηναῖοι, χρημάτων ὑμᾶς ἑλέσϑαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει περὶ ὧν νυνὶ σκοπεῖτε· ὅτε τοίνυν τοῦϑ' οὕτως ἔχει, προσήκει προϑύμως ἐϑέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν.

25. ὀνειδίζω σε καὶ ὀνειδίζω σοι τόδε τὸ πρᾶγμα.

26. ὄμνυμι τὸν ϑεὸν καὶ εἰς τὸν ϑεόν.

27. ὀχλῶ καὶ ἐνοχλῶ ἐνίοτε μὲν δοτικῇ, ἐνίοτε δὲ αἰτιατικῇ.

28. οἶδα παρεωραμένος. Συνέσιος· νυνὶ δὲ οἶδα ὑφ' ἁπάντων ὑμῶν παρεωραμένος.

29. ὅπως ἀντὶ τοῦ ὅτε. Ἡρόδοτος· ὅπως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρός, τηνικαῦτα ἐσέβαλλε τὴν στρατιήν.

30. ὀρφανὸς λέγεται καὶ πατὴρ ἐπὶ παιδί. Εὐριπίδης· ἦ γάρ σε λιταὶ διακωλύσουσιν ὀρφανὰν εἶναι παιδός. καὶ γυνὴ ἐπ' ἀνδρί. Εὐριπίδης· νύμφας τ' ἔϑηκεν ὀρφανὰς ξυναόρων. καὶ οἶκος ἐπὶ δεσπότῃ. Εὐριπίδης· ϑανὼν γὰρ οἶκον ὀρφανὸν λείψω πατρός. ἐπεκράτησε δὲ λέγεσϑαι ὀρφανὸν ἐπὶ πατράσιν.

31. ὅπου ἀντὶ τοῦ ἐπειδή. Εὐριπίδης· ἐγώ τοι πρὸς σὲ δειμαίνω λέγειν, ὅπου γε μέλλω σήν τε λυπήσειν φρένα. καὶ Χρυσό-

---

1. Δημοσϑένης] Demosth. 1, 1. 1. 2. ὦ Ἀϑηναῖοι] ὦ ἄνδρες Ἀϑηναῖοι Dem. 3. τόϑ' ed. pr., τοῦϑ' cod. et Demosth. 8. ἐνιότε utroque loco ed. pr., ἐνίοτε utroque loco cod. 9. Συνέσιος] Synesius Epist. 10 p. 172 C. νυνί δε cod., νυνὶ δὲ ed. pr., νῦν δὲ Synes.

9. 10. ὑφ' ἁπάντων ὑμῶν παρεωραμένος] παρεωραμένος ὑφ' ἁπάντων ὑμῶν Synes. 11. Ἡρόδοτος] Herodotus I, 17, 2. ὅπως] ὅκως Herod. 12. στρατίην ed. pr., στρατιὴν cod. 13. Εὐριπίδης] Eur. Hec. 148 sq. ἤ ed. pr. atque ita primum in cod. scriptum erat, ubi ἦ correctum est. 14. διακωλύσουσιν ὀρφανὰν] διακωλύσουσ' ὀρφανὸν Eur., ubi ὄρφανὰν vel ὀρφανὴν nonnulli libri praebent.

15. Εὐριπίδης] Eur. Or. 1136. 16. ἐπιδεσπότῃ cod., ἐπὶ δεσπότῃ ed. pr. Εὐριπίδης] Eur. Or. 664. ϑανών γαρ cod., ϑανὼν γὰρ ed. pr. 18. Εὐριπίδης] Eur. Or. 544 sq. πρός σε ed. pr., πρὸς σὲ cod. 19. ὅπου γε] sic pauci Euripidis libri, plerique ὅπου σε praebent. σήν τε] σήν τι Euripidi restituendum iudicavit Musgravius.

στομος· καὶ τὰ ἄλλα πάντα τὰ ἀνθρώπινα ὑπέμεινεν, ὅπου γε καὶ σταυρὸν κατεδέξατο.

32. ὀνειροπολῶ τὸ ἐνυπνιάζομαι. Ἀριστοφάνης· ὀνειροπολεῖ θ' ἵππους. καὶ Λιβάνιος· ὀνειροπολήσας τὴν δωρεὰν ἀνηγέρθη.

33. ὀνειρώττω τὸ ἀμυδρῶς νοῶ. Μάξιμος· μόγις πως ὀνειρώττει τὰ ὄντα. πολλάκις δὲ καὶ ἀντὶ τοῦ ἐνυπνιάζεται. Μάξιμος· καὶ μένει βουκολῶν καὶ τὴν Ἑλένην οὐκ ὀνειρώττει.

34. ὁμοῦ ἐπὶ τόπου καὶ ἐπὶ χρόνου. Κύπριος· ὁμοῦ τῷ φανῆναι παρέχων ἀνάρρωσιν.

35. ὀπωρίζειν ἀντὶ τοῦ ὀπώρας συνάγειν. καὶ ὀπωριᾶν ἐπὶ μέλλοντος. Ἡρόδοτος· ὀπωριεῦντες τοὺς φοίνικας φοιτῶσιν.

36. ὄναρ γράφεται καὶ ὄνειρος καὶ ὄνειρον ἐπὶ οὐδετέρου. Ἡρόδοτος· φοιτῶν ὄνειρον φαντάζεταί μοι οὐδαμῶς συνεπαινέον μετὰ ταῦτα ποιέειν.

37. ὅμως ἐναντιωματικὸς ὢν σύνδεσμος λέγεται ἐπὶ πράγματι, ᾧπέρ τις ἐνδώσει πρῶτον, εἶτα ἐναντιωθῇ. εὕρηται δὲ καὶ ἀντὶ τοῦ ἀλλά. Κύπριος· ἀλλ' ἐῶ τὴν γῆν, ἣ τοσοῦτον παρέχειν ἐφρόντισεν, ὅσον εἰ μηδὲ τὴν ἀρχὴν διδόναι προσέταττε βασιλεύς, ὅμως σίτου καὶ κριθῆς ἡμᾶς δωρεῖται ὡσεὶ χιλίοις τοῖς πᾶσι μοδίοις ὁ βασιλεύς.

---

1. Χρυσόστομος] Ioh. Chrys. Homil. IV in Genes. c. 1 vol. 4 p. 19 C. ὑπέμενεν ed. pr., ὑπέμεινεν cod. 3. Ἀριστοφάνης] Ar. Nub. 16. 4. Λιβάνιος] Libanius Decl. vol. 4 p. 629, 3. τὴν ... εὰν ed. pr., τὴν δωρεὰν cod. et Libanius. ἀνηγέρθη] ἀνηγέρθην Liban. 5. Μάξιμος] Maximus Tyr. XVI, 1 vol. 1 p. 286. μόγίς πως cod., μόγις πως ed. pr., μόλις πως Max. Tyr. 6. Μάξιμος] Maximus Tyr. XXVI, 7 vol. 2 p. 26. 10. ὀπωριᾶν] ὀπωριεῖν requiritur. 11. Ἡρόδοτος] Herodot. IV, 182. φοιτῶσιν] φοιτέουσι vel φοιτέωσι libri Herodotei. 12. ὄνειρος] fortasse ὄνειαρ scripsit lexicographus: cf. L. Dindorfius in Thes. Gr. L. vol. 5 p. 2010 A. 13. Ἡρόδοτος] Herodot. VII, 15, 2. φοιτῶν] ἐπιφοιτέων vel ἐπίφοιτον Herodotei libri. 14. μετὰ ταῦτα ποιέειν] ποιέειν με ταῦτα Herod. 15. ἐνὶ πράγματι cod., ἐπὶ πράγματι ed. pr. 16. ὅπέρ τις cod., ὅπερ τις ed. pr., ᾧπέρ τις scripsi. ἐνδώσει] ἐνδοὺς aut ἐνδώσῃ malim. 18. μὴ δὲ τηναρχὴν cod., μηδὲ τὴν ἀρχὴν ed. pr.

38. οὐ διοίσομαι ἀντὶ τοῦ διαμαχοῦμαι. Ἱμέριος· δόγμα καὶ δόξαν εἴ τῳ φίλον καλεῖν τὸν πίνακα, οὐ διοίσομαι.

39. οὐσία ὁ ὀλίγος πλοῦτος καὶ ὁ πολύς. Λιβάνιος· αἱ τοῦ θειοτάτου βασιλέως πρὸς σὲ καταλλαγαὶ σοὶ μὲν ἀποδεδώκασι τὴν οὐσίαν, ἅπαντας δὲ ἀνθρώπους εὔφραναν. περιουσία δὲ ἀεί ποτε ὁ πολὺς πλοῦτος.

40. ὅσον τάχιστα ἀντὶ τοῦ συντόμως. Σοφοκλῆς· ῥῖψόν με γῆς ἐκ τῆσδε ὅσον τάχιστα.

41. οὔπω ποτὲ μὲν λεγόμενον, τὸ παρὸν ἀπαγορεῦον, τὸ μέλλον ὑπισχνεῖται. Εὐριπίδης· οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην. ποτὲ δὲ τὴν παντελῆ ἀπαγόρευσιν δηλοῖ. Θεολόγος· καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν πάντων οὐδείς.

42. οὖν λαμβάνεται πολλάκις ἀντὶ τοῦ δὴ ὡς τὸ γάρ. Εὐριπίδης· τίς γάρ νιν ἔκτειν'; οἶσθ' ὀνειρόφρων. καὶ Προκόπιος· ἀλλὰ γὰρ εἴθε μὴ τῆς ἐφ' ἡμῖν ἐλπίδος διήμαρτες.

43. οἴομαι οὐ μόνον τῶν ποιητῶν ἀλλὰ καὶ τῶν ἄλλων. Δημοσθένης· ἐγὼ δ' οἴομαι μέν, ὦ Ἀθηναῖοι, νὴ τοὺς θεοὺς ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων.

44. οἷον ἀντὶ τοῦ καθά, καὶ μετὰ πληθυντικοῦ. Χρυσόστομος· οἷον εἰσὶν ἐν πόλει οἱ στρατιῶται.

---

1. διαμαχοῦμαι] οὐ διαμαχοῦμαι malim. Ἱμέριος] Himerius Ecl. XXXII, 11. δόγμα καὶ] δόγμα δὲ καὶ Himer. 3. Λιβάνιος] Libanius Epist. 876 p. 409. 5. εὔφανον ed. pr., εὐφρανον cod., εὔφραναν scripsi e Libanio. 7. Σοφοκλῆς] Soph. Oed. R. 1436. ῥίψον με cod., ῥῖψόν με ed. pr. 10. Εὐριπίδης] Eur. Hec. 1023. 11. δηλοῖ in cod. primitus omissum postea insertum est. Θεολόγος] Greg. Naz. Orat. XX p. 316 C. 13. Εὐριπίδης] Eur. Hec. 709. 14. ἔκτεινεν ed. pr., ἔκτεινε pr. cod., ubi extremam literam delere studuit librarius. οἶσθ'] οἶσθα pr. cod. Προκόπιος] Procopius Gaz. Epist. 2 in Maii Class. auct. vol. 4 p. 203. 16. Δημοσθένης] Demosth. 4, 49. 17. ἐγώ δ' cod., ἐγὼ δ' ed. pr. οἴομαι] οἶμαι Dem. ὦ Ἀθηναῖοι] ὦ ἄνδρες Ἀθηναῖοι Dem.

45. οὐ μὴν ἀντὶ τοῦ οὐδαμῶς. καὶ οὐ μὴν μετὰ τοῦ ἀλλὰ ἀντὶ τοῦ ἔτι, οἷον· ὕβρισεν, οὐ μὴν ἀλλὰ καὶ ἔτυψεν.

46. ὄφλημα ἡ δίκη· ὀφείλημα τὸ χρέος.

47. ὅσον ἐστὶν ἀναφορικόν, λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ πολύ. Θεολόγος· καὶ τὸ τάχος ὅσον ἐκεῖθεν τὸ γράμμα τῆς ἐξορίας.

48. οὐδὲν ὅ τι ἀντὶ τοῦ οὐδαμῶς παρὰ Ἀττικοῖς. ὁ μέγας Βασίλειος· οὐδὲν ὅ τι τῆς θείας ἀπόκληρον εἶναι φύσεως ἐδογμάτισαν.

49. οἴσω ἀντὶ τοῦ κομίσω, καὶ ἀντὶ τοῦ ὑπομενῶ. Θεολόγος· πάντα οἴσει φιλία.

50. ὀνήσομαι τοῖσδε καὶ τόδε ἀττικῶς. Συνέσιος· ὀνήσομαι δὲ οὐ μόνον τοῦτο τῆς ἐπὶ τὰς Ἀθήνας ὁδοῦ.

Π.

1. πλάττομαι τὸν μὴ εἰδότα ἀντὶ τοῦ ὑποκρίνομαι· καὶ πλάττομαι μὴ εἰδέναι.

2. προσείποις ἀντὶ τοῦ ἐπονομάσεις. Μάξιμος· ἐρῶντα μὲν τὸν φιλόσοφον, ἐρῶντα δὲ καὶ τὸν μοχθηρὸν ἄνδρα, μὴ προσείποις τὸ πρᾶγμα ὀνόματι ἑνί. καὶ προσείποις ἀντὶ τοῦ χαιρετίσεις.

3. πλέον καὶ τὸ κέρδος. Χρυσόστομος· ἄπεισι λοιπὸν κατ-

---

3. cf. Piers. in Moer. p. 471. 4. ὅσον ἔστιν cod. 5. Θεολόγος] Greg. Naz. Orat. XX p. 352 A. 6. 7. οὐδὲν ὅτι utroque loco ed. pr., οὐδὲν ὅ τι scripsi. 7. 8. ἐδογμάτισαν] sic ed. pr., in codice fortasse ἐδογμάτισεν legitur. 9. Θεολόγος] Greg. Naz. Orat. VI p. 138 A. 11. Συνέσιος] Synesius Epist. 54 p. 190 B. 15. προσείπῃς ἀντὶ τοῦ ἐπονομάσῃς praetulerim. Μάξιμος] Maximus Tyr. XXV, 4 vol. 2 p. 11. 16. μὴ προσείποις] μὴ προσείπῃς Max. Tyr. 17. τὸ πρᾶγμα] τὸ γιγνόμενον Max. Tyr. προσείποις ἀντὶ τοῦ χαιρετίσεις] προσείπῃς ἀντὶ τοῦ χαιρετίσῃς expectes. 18. Χρυσόστομος] Ioh. Chrys. Homil. V in Genes. c. 1 vol. 4 p. 32 D.

αισχυνθείς, εἰδὼς ὅτι αὐτῷ πλέον ἔσται οὐδὲν ἡμῶν πολλὴν τὴν φυλακὴν ἐπιδεικνυμένων.

4. πρόσοψις ἡ ὄψις. καὶ πρόσοψις ἡ θεωρία. Χρυσόστομος· ἀλλ' εὐθέως ἂν πρὸς τὴν πρόσοψιν ἐξεπλάγη καὶ ἀπεπήδησε.

5. ποῦ χώρας καὶ ποῦ λόγου τάξομεν οἱ Ἀττικοὶ λέγουσιν ἀντὶ τοῦ εἰς ποῖον μέρος τοῦ λόγου καὶ εἰς ποῖον μέρος τῆς χώρας.

6. πολλοῦ οἱ Ἀττικοὶ λέγουσιν ἀντὶ τοῦ κατὰ πολύ. Ἀριστοφάνης· θρασὺς εἶ πολλοῦ ...... πάμπολυ τῶν νεφῶν ἀποσπάσας.

7. πολλοῦ δεήσει ἀντὶ τοῦ παντελοῦς καὶ ὅλου. Συνέσιος· πολλοῦ δὴ δεήσομεν κοινωνῆσαι τῆς ἀπορρήτου τελετῆς, ἀντὶ τοῦ οὐδ' ὅλως κοινωνήσομεν. καὶ πολλοῦ δεήσω ἐλθεῖν, ἀντὶ τοῦ οὐδ' ὅλως ἐλεύσομαι. καὶ ἕτερα ὅσα μετὰ τοῦ πολλοῦ τὸ δέω ἔχουσι καὶ ἀπαρεμφάτως συντάσσονται.

8. περιγίνεται ἀντὶ τοῦ ὑπερτερεῖ, καὶ συντάσσεται γενικῇ. καὶ περιγίνεται ἀντὶ τοῦ ἐπέρχεται, καὶ συντάσσεται δοτικῇ. Ἀφθόνιος· φόβος ἀεὶ τοῖς παισὶ περιγίνεται.

---

3. Χρυσόστομος] Ioh. Chrys. Homil. IX in Genes. c. 1 vol. 4 p. 68 D.

5. 6. ποῦ χώρας — εἰς ποῖον μέρος τῆς χώρας] ποῦ χοροῦ — εἰς ποῖον μέρος τοῦ χοροῦ malim. sic certe Plat. Euthyd. p. 279 C: τὴν δὲ σοφίαν ποῦ χοροῦ τάξομεν; Aristid. vol. 2 p. 215: Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι ποῦ χοροῦ τάξομεν ἢ τάξιν τίνα; vol. 2 p. 517: τάττοις γὰρ ἂν που καὶ ἡμᾶς ἐνταῦθα χοροῦ. Himerius Orat. VII, 15 p. 63, 19: τὸν κυβερνήτην τῆς πόλεως δὲ ποῦ χοροῦ τάξομεν; Eur. Iph. Taur. 1046: Πυλάδης δ' ὅδ' ἡμῖν ποῦ τετάξεται φόνου; ubi χοροῦ suasit Winckelmannus *Zeitschr. f. d. Alterth.-Wiss.* 1840 p. 1283, alii πόνου vel δόλου vel λόγου praetulerunt. 7. καταπολύ cod., κατὰ πολύ ed. pr.

Ἀριστοφάνης] Ar. Nub. 915. 8. post πολλοῦ complura exciderunt: in codice nullum est lacunae vestigium, sed quae subiciuntur, πάμπολυ τῶν νεφῶν ἀποσπάσας, Luciani sunt verba desumpta ex Icarom. c. 11 vol. 2 p. 768. 9. Συνέσιος] Synesius Epist. 58 p. 203 B.

10. post τελετῆς perperam in codice signum illud legitur quo singulae glossae dirimuntur. 11. 12. οὐδόλως utroque loco cod., οὐδ' ὅλως ed. pr. 15. Ἀφθόνιος] Aphthonius Progymn. c. 3 in Rhet. Gr. vol. 1 p. 64, 7.

9. πεζομαχία ἡ ἁπλῶς ἐν ξηρᾷ μάχη, εἰ τύχοι εἶναι, καὶ ἀπὸ ἱππέων. καὶ πεζομαχία ἡ ἀπὸ μόνων πεζῶν. Ἀριστείδης· καὶ τὰς μὲν πεζομαχίας καὶ ἱππομαχίας.

10. πανδαισία ἡ πάντα ἔχουσα ἄφθονα.

11. Παναθήναια μικρὰ τὰ κατ' ἔτος· Παναθήναια μεγάλα τὰ κατὰ πενταετηρίδα.

12. πριῶμαι γράφεται. Συνέσιος· πριῶ μοι τρεῖς ἢ τέτταρας τῶν ἀναβολῶν. καὶ πρίαμαι. Κύπριος· ὃ πολλῶν ἂν οὗτοι πρίαιντο χρημάτων.

13. παραπεπτωκὼς ἀντὶ τοῦ ὑποπεπτωκώς, Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

14. παραβάλλοιτο ἀντὶ τοῦ παραπέμψαιτο Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

15. πρὸς ἐμαυτὸν ἀντὶ τοῦ ἰδικῶς. Ἀριστοφάνης· ἀναγινώσκοντί μοι τὴν Ἀνδρομέδαν πρὸς ἐμαυτὸν ἐξαίφνης πόθος τὴν καρδίαν ἐπάταξε. καὶ Λιβάνιος· καθίσας πρὸς ἐμαυτόν.

---

1. ξηρᾷ] ξυρᾶ pr. cod. τύχοιτο ed. pr., τύχοι cod. 2. Ἀριστείδης] Aristides vol. 1 p. 261. 4. cf. Suid. v. πανδαισία. 5. 6. plura Harpocr. p. 144, 15 et Suid. v. Παναθήναια. 5. κατέτος cod., κατ' ἔτος ed. pr. 6. κατὰ πενταετηρίδα] διὰ πενταετηρίδος Harp. et Suid. 7. 8. nec πριῶμαι nec πρίαμαι unquam extitisse videtur, sed unus aoristus ἐπριάμην. 7. Συνέσιος] Synesius Epist. 52 p. 189 D. πριῶ μοι] πρίω μοι Synes. 10. 11. ex Harpocr. p. 146, 11. cuius locum iterant Photius Lex. p. 388, 6 et Suidas v. παραπεπτωκώς. 10. Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου] Dem. 45, 84: ὅταν γὰρ τῷ δούλῳ συνδικῇ τὸν ἀδελφὸν ἀτιμῶν, καὶ παραπεπτωκὼς θαυμάζῃ τούτους ὑφ' ὧν αὐτῷ θαυμάζεσθαι προσῆκε. 12. 13. Harpocr. p. 146, 26. Phot. Lex. p. 380, 8. Suid. v. παραβάλοιτο. 12. παραβάλλοιτο] παραβάλοιτο recte Harp. Phot. Suid., sed παραβάλλοιτο Harpocrationis codex B. 12. 13. ἐν τῷ plerique testes om., agnoscunt Harpocrationis codices BC. 14. Ἀριστοφάνης] Ar. Ran. 52—54.

14. 15. ἀναγινώσκοντί μοι] ἀναγιγνώσκοντί μοι Aristoph. 16. Λιβάνιος] respici suspicor Liban. Decl. vol. 4 p. 464, 17: κατ' ἐμαυτὸν

16. παράκλησις ἡ παραμυθία. καὶ παράκλησις ἡ προτροπή. θεολόγος· ἐκείνοις δ' ἅμα μὲν ἡδονὴ γένοιτο καὶ ἅμα παράκλησις εἰς ἀρετὴν ὁ λόγος. καὶ Ἀριστείδης· καὶ παράκλησις αὕτη πρώτη πρὸς τὴν ναυμαχίαν ἐγένετο.

17. πολεμῶ τὸ μάχομαι δοτικῇ· τὸ καταβάλλω αἰτιατικῇ.

18. παρακρούεται ἀντὶ τοῦ ἀπατᾷ πολύ ἐστι παρὰ τοῖς Ἀττικισταῖς καὶ τῷ Δημοσθένει.

19. προῦπτον ἀντὶ τοῦ πρόδηλον καὶ φανερόν. Δημοσθένης· μηδ' οὕτως ἀνοήτως ὥστε εἰς προῦπτον κακὸν αὑτὸν ἐμβαλεῖν.

20. προσδοκώμενος μετοχικόν, καὶ προσδόκιμος παράγωγον. Δημοσθένης· καὶ δύναμιν μεγάλην ἔχων αὐτός ἐστι προσδόκιμος.

21. παλαίω ἀμετάβατον. καταπαλαίω σε δὲ καὶ προσπαλαίω σοι μεταβατικόν.

22. προσέχω τοῖς πράγμασιν ἀντὶ τοῦ πρόσκειμαι. καὶ προσέχω ἀντὶ τοῦ προσάγω, ἐπὶ τοῦ νοῦ ὡς ἐπὶ τὸ πλεῖστον λεγόμενον, οἷον πρόσεχε τὸν νοῦν τοῖς λεγομένοις.

23. πηδῶ ἐπὶ τοῦ ἀγῶνος. πηδῶ δὲ τὴν τάφρον μεταβατικόν, καὶ ὑπερπηδῶ τὴν δίκην.

δὲ καθίσας ἐμαυτῷ διελεγόμην. ubi pro ἐμαυτῷ lexicographus πρὸς ἐμαυτὸν legisse videtur.

2. θεολόγος] Greg. Naz. Orat. XX p. 317 A. 3. Ἀριστείδης] Aristides vol. 1 p. 227. 4. ἐγένετο] τοῖς Ἕλλησιν ἐγένετο Aristides atque ipse lexicographus supra E, 206 p. 81, 6. 6. 7. locus derivatus ex Harpocr. p. 147, 13. cf. Phot. et Suid. v. παρακρούεται. 6. πολύ] πολλή pr. cod. ut videtur. 6. 7. παρὰ τοῖς Ἀττικισταῖς καὶ τῷ Δημοσθένει] παρά τε τοῖς ἄλλοις Ἀττικοῖς καὶ παρὰ Δημοσθένει ἐν τοῖς Φιλιππικοῖς Harpocr. 7. Δημοσθένει] Dem. 2, 5: πάντα διεξελήλυθεν οἷς πρότερον παρακρουόμενος μέγας ηὐξήθη. 8. 9. προὖπτον utroque loco cod. 8. Δημοσθένης] Demosth. 3, 13. 9. μὴ δ' cod., μηδ' ed. pr. ἀνοήτως] leg. ἀνόητον e Demosth. αὑτὸν ed. pr., αὑτὸν Dem., utrum codicis scriba voluerit haud facile dignoscas.

11. Δημοσθένης] Dem. 6, 15. 16. ὡσεπιτοπλεῖστον cod., ὡς ἐπὶ τὸ πλεῖστον scripsi.

24. πλουτῶ καὶ πένομαι γενικῇ .... ἀλλ' ὅσον χρημάτων ἐπλούτει, τοσοῦτον λόγων ἐπένετο.

αὐτοῦ βίον, ὑφ' οὗ σώζεται, λέουσιν ἀλκή, ἐλάφοις δρόμος, ϑήρα κυσί, καὶ τῷ μὲν διερῷ γένει αἱ νήξεις, τῷ δὲ μεταρσίῳ αἱ πτήσεις, τῷ δὲ ἰλυσπωμένῳ οἱ φωλεοί· ὧς δὲ καὶ τοῖς ἀνϑρώποις τὰ ἄλλα ἐλαττουμένοις τῶν ἁπάντων, καὶ γὰρ ἀλκὴν ἀσϑενέστατοι καὶ ἐλϑεῖν βράδιστοι καὶ ἀνίπτασϑαι ἀδύνατοι καὶ νήχειν ἀσϑενεῖς καὶ φωλεύειν ἀμήχανοι, λόγον αὐτοῖς ϑεὸς ἔδωκεν. καὶ ὁ ϑεολόγος· ὧς δὲ καὶ οὗτοι περὶ ὧν ὁ λόγος.

9. ὠρυγὴ ἐπὶ λύκου φωνῆς λέγεται, ὠρυγμὸς ἐπὶ λέοντος.

10. ὡς μὲν ὡς δὲ ἀντὶ τοῦ ὅτι μὲν ὅτι δέ. Κύπριος· ὅτι δὲ σκιάς τινας ὁ ἡμέτερος οὗτος ἥξει κομίζων ἡμῖν καὶ πλέον οὐδέν, ἴσασιν ὅσοι τὴν αὐτοῦ φύσιν ἴσασιν, ὡς μὲν ἀμβλεῖα, ὡς δὲ νωϑρά, ὡς παντὸς μᾶλλον τῶν ἔνδοϑεν κινουμένων ἀκίνητος.

11. ὡς ἔπος εἰπεῖν ἀντὶ τοῦ ὡς ἐν ὀλίγῳ εἰπεῖν. Ἀριστείδης· οὐ γάρ ἐστι γένος οὐδὲν ὡς ἔπος εἰπεῖν.

12. ὡς τὰ πολλὰ ἀντὶ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον. ϑεολόγος· ὑφ' ὧν καὶ φιλεῖ ὡς τὰ πολλὰ κλέπτεσϑαι ἡ ἀλήϑεια.

13. ὡς ἔτι ἀντὶ τοῦ ἕως. ϑεολόγος· καταγελῶνται δὲ πρὸς τὸ παρόν, ὡς ἔτι ἡ τοῦ ϑεοῦ χρηστότης κρύπτεται.

14. ὡς κεῖται καὶ εἰς μερισμόν. Θουκυδίδης· καὶ ἄλλοι τε παριόντες ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι.

---

1. αὐτοῦ] αὑτοῦ Max. Tyr. δρόμος] δρόμοι Max. Tyr. ϑήρα] ϑῆραι Max. Tyr. 3. ὡς δὲ cod., ὧς δὲ Max. Tyr. 5. ἐλ-ϑεῖν] ϑεῖν recte Max. Tyr. 6. λόγον] λόγον δὲ Max. Tyr. ὁ ϑεολόγος] Greg. Naz. Orat. XVI p. 260 C. 7. ὡς δὲ cod., ὧς δὲ scripsi. περιὼν cod., περὶ ὧν Greg. Naz. 10. σκιὰς τινὰς cod. 11. οὐδε .... ἴσασιν ed. pr., οὐδὲν ἴσασιν cod. 13. ἐν ὀλίγῳ] ἑνὶ λόγῳ malim. Ἀριστείδης] Aristides vol. 1 p. 173. idem locus supra A, 98 allatus est. 15. ὡσταπολλὰ ἀντὶ τοῦ ὡσεπιτοπλεῖστον cod. ϑεολόγος] Greg. Naz. Orat. I p. 2 A. 16. ὡσταπολλὰ κλέπτεσϑαι cod., κλέπτεσϑαι ὡς τὰ πολλὰ Greg. Naz. 19. Θουκυδίδης] Thuc. I, 67, 4.

15. ὠνάμην καὶ ἀπωνάμην τῶν μαθημάτων.

16. ὡσεὶ ἀντὶ τοῦ καθά. λαμβάνεται δὲ τῇ φράσει καὶ ἀργόν. Κύπριος· σίτου καὶ κριθῆς ἡμᾶς ὡσεὶ χιλίοις τοῖς πᾶσι δωρεῖται βασιλεύς.

---

3. 4. ὡσεὶ χιλίοις τοῖς πᾶσι δωρεῖται] δωρεῖται ὡσεὶ χιλίοις τοῖς πᾶσι μοδίοις supra O, 37 p. 135, 19. 4. ὁ βασιλεύς ed. pr. (cf. O, 37), βασιλεύς cod.

APPENDIX.

PHOTII

IN ROSSORVM INCVRSIONEM

HOMILIA I.

Τί τοῦτο; τίς ἡ χαλεπὴ αὕτη καὶ βαρεῖα πληγὴ καὶ ὀργή; πόθεν ἡμῖν ὁ ὑπερβόρειος οὗτος καὶ φοβερὸς ἐπέσκηψε κεραυνός; ποῖα νέφη παθῶν πυκνωθέντα, τίνων δὲ κριμάτων σφοδραὶ παρατρίψεις τὴν ἀνυπόστατον ταύτην καθ' ἡμῶν ἐξεπυρήνισαν ἀστραπήν; πόθεν ἡ βαρβαρικὴ αὕτη καὶ πυκνὴ καὶ ἀθρόα κατερράγη θάλασσα; οὐ καλάμην σίτου κείρουσα καὶ τὸν στάχυν συμπατάσσουσα οὐδὲ κληματίδας ἀμπέλου μαστίζουσα καὶ τὸν καρπὸν ἄωρον τεμαχίζουσα, οὐδὲ φυτῶν τὰ στελέχη τύπτουσα καὶ τοὺς κλάδους διασχίζουσα, ὃ πολλοῖς πολλάκις μέτρον ἐπλήρωσεν ἐσχάτης

In codice Athoo, quem littera *A* significabimus, haec est homiliae inscriptio: Τοῦ αὐτοῦ ἁγιωτάτου Φωτίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ὁμιλία πρώτη εἰς τὴν ἔφοδον τῶν Ῥώς. de accentu Ῥώς cf. Thes. Gr. L. vol. 6 p. 2457. Georg. Hamart. p. 736, 8. Niceph. Greg. vol. 3 p. 113, 14. 513, 21. Nicet. Chon. p. 122, 17. 168, 18. 691, 18. Theophan. cont. p. 196, 6. 342, 20. 423, 15. 20. 826, 18. 914, 10. Tzetz. Epist. p. 74 al. **1.** βαρεῖα] sic *A*. βαθεῖα alius quidam codex (v. Fabricii Bibl. Gr. vol. IX p. 564). **4.** ἐξεπυρήνισαν ἀστραπήν] similiter ἀστραπῆς ταχυτάτην ἐκπυρήνισιν dixit Eust. Opusc. p. 203, 11. ἀστραπῶν ἐκπυρηνίσματα Nicetas Chon. p. 118, 23. διὰ τοὺς κεραυνοὺς ἢ τοὺς τῶν ἄστρων (l. ἀστραπῶν) ἐκπυρηνισμούς Psellus Opusc. ed. Boiss. p. 136. ἀστραπὰς ἐκπυρηνιζομένας νεφῶν Eust. Od. p. 1858, 61. νεφέλη ἐκπυρηνιζούσῃ κεραυνούς Eust. Opusc. p. 237, 85. **9.** ὃ πολλοῖς] ὁ πολλοῖς *A*.

κακώσεως, ἀλλ' ἀνθρώπων αὐτῶν οἰκτρῶς τὰ σώματα συναλήθουσα καὶ τὸ γένος ἅπαν πικρῶς ὀλοθρεύουσα. πόθεν ἢ πῶς τῶν τηλικούτων καὶ τοσούτων κακῶν ὁ τρυγίας, ὅ τι μὴ μεῖζον εἰπεῖν, ἐξεχύθη ἐφ' ἡμᾶς; ἆρ' οὐ διὰ τὰς ἁμαρτίας ἡμῶν ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς; οὐκ ἔλεγχος ταῦτα καὶ ἀνάγραπτος θρίαμβος τῶν ἡμετέρων παραπτωμάτων; οὐχὶ δὲ καὶ τεκμηριοῖ τὸ τῶν παρόντων φοβερὸν τὰ τῶν μελλόντων φρικτὰ καὶ ἀδέκαστα δικαιωτήρια; οὐκ ἐλπὶς ἁπάντων ἡμῶν, μᾶλλον δὲ κοινὴ προκειμένη ὄψις, ἵνα μηδὲ τῆς συμφορᾶς τοῖς ἔπειτα πυρφόρος ἐκφύγῃ, μηκέτι μηδένα εἰς τὸ περιεῖναι ἐγκαταλειφθῆναι; ὄντως «ἐλασσονοῦσι φυλὰς ἁμαρτίαι» καὶ ὡς ῥομφαία δίστομος πᾶσι τοῖς χρωμένοις αὐτῇ. ἐρρύσθημεν κακῶν, οἷς πολλάκις συνεσχέθημεν· δέον εὐχαριστεῖν οὐκ εὐγνωμονήσαμεν. ἐσώθημεν, ἠμελήσαμεν· ἐφρουρήθημεν, κατεφρονήσαμεν. ἐφ' οἷς δέος ἦν τιμωρίαν ὑποσχεῖν. ὦ γνώμης ὠμῆς καὶ ἀδιακρίτου, καὶ τί γὰρ οὐχὶ τῶν δυσχερῶν καὶ δεινῶν πάσχειν ἀξίας. τοὺς μικρά τινα καὶ τῶν εὐτελεστάτων ὀφείλοντας ἀποτόμως εἰσεπραξάμεθα, ἐτιμωρησάμεθα, οὐκ ἐμνήσθημεν τῆς εὐχαριστίας, παρελθούσης τῆς εὐεργεσίας, οὐδ' ὅτι συγγνώμης ἐτύχομεν τοὺς πλησίον ᾠκτειρήσαμεν. ἀλλ' ἐν ᾧ τῶν ἐπικρεμασθέντων φόβων καὶ κινδύνων ἀπηλλάγημεν, ἀγριώτεροι τούτοις κατέστημεν, μήτε τὸ πλῆθος καὶ μέγεθος τῶν οἰκείων ὀφλημάτων καὶ τὴν ἐπὶ τούτοις τοῦ σωτῆρος συγχώρησιν λογισάμενοι, μήτε τὴν τῶν ὁμοδούλων ὀφειλὴν βραχυτάτην οὖσαν καὶ μηδὲ ἐν στάθμῃ λόγου ζυγοστατουμένην πρὸς τὰς ἡμετέρας αἰδεσάμενοι. πολλῶν δὲ

---

2. 3. τηλικούτων] τηλικούντων *A*. **6.** τεκμήριον *A*, τεκμηριοῖ scripsi. φοβερῶν *A*, φοβερὸν scripsi. **8.** μηδὲ] μὴ δὲ *A*. **8. 9.** μηδὲ — πυρφόρος ἐκφύγῃ] de proverbio cf. interpr. Zenob. 5, 34. **10.** ἐλασσονοῦσι] ἔλασσον οὖσι *A*. emendationem petere licebat e Prov. Sal. 14, 34: δικαιοσύνη ὑψοῖ ἔθνος, ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι. **11.** καὶ ὡς ῥομφαία δίστομος] ante haec verba non nihil excidisse videtur. **19.** ἐτύχομεν] ἐτύχωμεν *A*. ᾠκτειρήσαμεν] exempla istius aoristi collegit Lobeckius in Phryn. p. 741. nihilo minus ᾠκτείραμεν praetulerim. **23.** μηδὲ] μὴ δὲ *A*.

καὶ μεγάλων φιλανϑρώπως ἐλευϑερωϑέντες, ὀλίγων ἄλλους καὶ ἀφιλανϑρώπως ἐδουλώσαμεν. εὐφράνϑημεν, ἐλυπήσαμεν· ἐδοξάσϑημεν, ἠτιμώσαμεν· ἰσχύσαμεν, εὐϑηνήσαμεν, ἐξυβρίσαμεν, ἠφρονευσάμεϑα. ἐλιπάνϑημεν, ἐπαχύνϑημεν, ἐπλατύνϑημεν, καὶ εἰ μὴ τὸν ϑεὸν ὡς ὁ πάλαι Ἰακὼβ ἐγκατελίπομεν, ἀλλ᾽ ὡς ὁ ἠγαπημένος πλησϑέντες ἀπελακτίσαμεν καὶ «ὡς δάμαλις παροιστρῶσα» τῶν τοῦ κυρίου προσταγμάτων παροιστρήσαμεν καὶ τῶν δικαιωμάτων αὐτοῦ κατωλιγωρήσαμεν. διὰ τοῦτο «φωνὴ πολέμου καὶ συντριβὴ πολέμου ἐν τῇ γῇ» ἡμῶν. διὰ τοῦτο «ἤνοιξε κύριος τὸν ϑησαυρὸν αὐτοῦ καὶ ἐξήνεγκε τὰ σκεύη τῆς ὀργῆς αὐτοῦ». διὰ τοῦτο «λαὸς ἐξεῖρψεν ἀπὸ βορρᾶ» ὡς εἰς ἄλλην ἐπελαύνων Ἱερουσαλὴμ καὶ «ἔϑνη ἐξηγέρϑη ἀπ᾽ ἐσχάτου τῆς γῆς, τόξον καὶ ζιβύνην κρατοῦντες. ἰταμός ἐστι καὶ οὐκ ἐλεεῖ· φωνὴ αὐτοῦ ὡς ϑάλασσα κυμαίνουσα». «ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν», μᾶλλον δὲ ἀϑρόαν εἴδομεν τὴν ὄψιν αὐτῶν, καὶ «παρελύϑησαν αἱ χεῖρες ἡμῶν. ϑλῖψις κατέσχεν ἡμᾶς καὶ ὠδῖνες ὡς τικτούσης. μὴ ἐκπορεύεσϑε εἰς ἀγρὸν καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία παροικεῖ κυκλόϑεν». «τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι», Ἱερεμίας σὺν ἐμοὶ κεκράξεται σήμερον, πόλις βασιλίς; «τίς σώσει σε καὶ παρακαλέσει σε, ὅτι ἐμεγαλύνϑη ποτήριον συντριβῆς σου; τίς ἰάσεταί σε;» νῦν κλαίετε· μικροῦ κἀμὲ τὸ πάϑος ἐβύϑισε καὶ τοῦ λέγειν

---

6. ὡς δάμαλις παροιστρῶσα] Hos. 4, 16: ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραήλ. **8.** διὰ τοῦτο] διατοῦτο *A*. **8. 9.** φωνὴ πολέμου — γῇ] Ierem. 27, 22: φωνὴ πολέμου καὶ συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων. **9.** διὰ τοῦτο] διατοῦτο *A*. **9. 10.** ἤνοιξε κύριος — τῆς ὀργῆς αὐτοῦ] Ierem. 27, 25. ubi τῆς omittitur. **10.** διὰ τοῦτο] διατοῦτο *A*. **11—14.** cf. Ierem. 6, 22. 23: ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βορρᾶ, καὶ ἔϑνη ἐξεγερϑήσονται ἀπ᾽ ἐσχάτου τῆς γῆς, τόξον καὶ ζιβύνην κρατήσουσιν. ἰταμός ἐστι καὶ οὐκ ἐλεήσει· φωνὴ αὐτοῦ ὡς ϑάλασσα κυμαίνουσα. **14—18.** cf. Ierem. 6, 24. 25: ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν, παρελύϑησαν αἱ χεῖρες ἡμῶν, ϑλῖψις κατέσχεν ἡμᾶς, ὠδῖνες ὡς τικτούσης. μὴ ἐκπορεύεσϑε εἰς ἀγρὸν καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία τῶν ἐχϑρῶν παροικεῖ κυκλόϑεν. **15. 16.** ϑλῖψις] ϑλίψις *A*.
18—21. cf. Thren. 2, 13: τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι,

ἀνέκοψεν. ἀλλὰ τί βοᾶτε πρός με, τί δὲ ὀδύρεσθε; ἀκούσατέ μου. στήσατε μικρὸν τὸν κλαυθμὸν καὶ δότε τοῖς λόγοις πάροδον. δακρύω μὲν γὰρ κἀγὼ σὺν ὑμῖν· ἀλλ᾽ οὔτε τὴν ἐν χρόνῳ ἀναρριπισθεῖσαν φλόγα μικραὶ ῥανίδες σβεννύουσι· τί γὰρ δεῖ λέγειν ὡς πλέον ἀνάπτουσιν; οὔτε τὸν ἐκκαυθέντα ὑπὸ τῶν ἡμετέρων ἁμαρτημάτων θυμὸν τοῦ θεοῦ πρόσκαιρον δάκρυον ἰσχύει ἐξιλεώσασθαι. δακρύω κἀγὼ σὺν ὑμῖν· ἀλλὰ πολλῶν ταλαιπωρουμένων παρείδομεν δάκρυα· παρατρέχω γὰρ ὡς καὶ ἐκενώσαμεν. δακρύω κἀγὼ σὺν ὑμῖν, εἴπερ ἐστὶ δακρύων καιρὸς ὁ παρὼν καιρός. ἀλλὰ μὴ πολλῷ μείζων τῆς τῶν δακρύων φορᾶς ἡ καταλαβοῦσα συμφορά. εἰσὶ γάρ, εἰσὶν ὄντως μείζους δακρύων πολλαὶ συμφοραί, ἐν αἷς τῶν ἔνδον ὑπὸ τοῦ στηριχθέντος διαφυλαχθέντων ἢ καὶ σφόδρα γε συσταλέντων τε καὶ συμμεμυκότων οὐδὲ ἡ διὰ τῶν ὀμμάτων προχεομένη πολλάκις καταλείπεται νοτίς. οὐχ ὁρῶ δὲ νῦν οὐδὲ τῶν δακρυόντων τὸ κέρδος. ὅτε γὰρ πρὸ τῶν ἡμετέρων ὀμμάτων τὰ τῶν ἐχθρῶν ξίφη τοῖς τῶν ὁμοφύλων βαπτίζεται αἵμασιν, ἡμεῖς δὲ τοῦτο καθορῶντες ἐπικουρεῖν δέον τοῦτο μὲν ἀπορίᾳ τοῦ πράττειν οὐκ ἀναδεχόμεθα, εἰς δάκρυα δὲ καταφερόμεθα, ποταπὴ τοῖς ἀτυχοῦσι παράκλησις ἐπιγίνεται; μείζους ἂν ποταμοὺς τὰ ἀπὸ τῶν διαιρεθέντων σωμάτων ἐκίνησεν αἵματα ἢ τὰ ἀπὸ τῶν ἡμετέρων βλεφάρων ἀναδιδόμενα δάκρυα. ἀλλ᾽ ὅτε ταῖς ἐκεῖθεν καταφερομέναις τῶν λύθρων ῥοαῖς ὁ τῶν πλημμελημάτων οὐκ ἀποσμήχεται μολυσμός, ἤπου γε τὰ τῶν ὀμμάτων ῥεῖθρα τοῦτον ἐκπλῦναι δυνηθήσεται. οὐ νῦν ἔδει κλαίειν, ἀγαπητοί, ἀλλὰ τὴν ἁμαρτίαν μισεῖν ἀπ᾽ ἀρχῆς· οὐ νῦν πενθεῖν, ἀλλὰ τὰς δι᾽ ὧν ἡμῖν τὸ πένθος ἐξέφυ πάλαι φεύγειν

θύγατερ Ἱερουσαλήμ; τίς σώσει καὶ παρακαλέσει σε, παρθένος θύγατερ Σιών; ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου, τίς ἰάσεταί σε;

7. παρείδομεν] παρίδομεν *A*. 8. ἐκενώσαμεν corruptum videtur. 9. ὑμῖν] ἡμῖν *A*. εἴπερ ἐστὶ] εἴπέρ ἐστι *A*. 10. ἡ καταλαβοῦσα] ἢ ἡ καταλαβοῦσα ἡμᾶς malim. 12. διαφυλαχθέντων non potest intellegi; διαφλεχθέντων temptabam. 14. δακρυόντων] δακρύων malim. 22. ἀποσμήχεται μολυσμός] ἀποσμίχεται μολισμός *A*. 23. ἐκπλῦναι] ἐκπλύναι *A*. 24. ἀπ᾽ ἀρχῆς] ἀπαρχῆς *A*.

ἡδονάς. ἴσον γάρ ἐστι δεσπόταις καταδουλωθέντα πικροῖς τὴν ἀπὸ τῶν μαστίγων βάσανον μὴ βούλεσθαι καρτερεῖν καὶ πράξεσιν ἑαυτοὺς ἐκδεδωκότας πονηραῖς τὰς ἀπὸ τῆς δικαιοκρισίας τοῦ θεοῦ ἐπαφιεμένας ἡμῖν παραιτεῖσθαι ποινάς. οὐ νῦν ἐχρῆν ὀλοφύρεσθαι, ἀλλὰ διὰ βίου σωφρονεῖν· οὐ νῦν τὸν πλοῦτον σκορπίζειν, ὅτε μηδ' αὐτὸς οἶδας εἰ τούτου κύριος ἔτι καταστήσῃ, ἀλλὰ πάλαι τῶν ἀλλοτρίων ἀπέχεσθαι, ὅτε ἡ παροῦσα θραῦσις οὔπω ἐστήρικτο καθ' ἡμῶν· οὐ νῦν τὸν ἔλεον ἐμπορεύεσθαι, ὅτε ἡ τοῦ βίου πανήγυρις ἐν ἐλπίδι κεῖται τοῖς ἐνεστηκόσι λυθῆναι κακοῖς, ἀλλ' ἐν ᾧ τοῦ δύνασθαι ἡ ἐξουσία περιῆν, μηδέποτε ἀδικεῖν· οὐ νῦν παννυχίζειν καὶ λιταῖς προστρέχειν καὶ στήθη τύπτειν καὶ βαθὺ στενάζειν καὶ χεῖρας ἐπαίρειν καὶ γόνατα κάμπτειν καὶ γοερὰ δακρύειν καὶ στυγνὸν προσβλέπειν, ὅτε τοῦ θανάτου τὰ κέντρα ἠκονημένα ἥκει καθ' ἡμῶν. πάλαι ταῦτα προσῆκε ποιεῖν, πάλαι σχολάζειν τοῖς ἀγαθοῖς ἔργοις, πάλαι μετανοεῖν ἐπὶ τοῖς κακοῖς. ἐν ᾧ γὰρ ταῦτα πράττομεν νυνὶ παρά γε δικαίῳ μάλιστα κριτῇ καὶ μὴ παρὰ πολὺ τὴν γνώμην πρὸς τὴν συγγνώμην ἐπιρρεπῶς ἔχοντι, οὐκ εἰς ἔλεον οἶμαι κινοῦμεν τὸν θεόν, ἀλλὰ τῶν ὑπηργμένων ἡμῖν ἁμαρτημάτων κατήγοροι καθιστάμεθα πικροί. οἱ γὰρ οὕτω τινὲς σωφρόνως καὶ θεοφιλῶς ἐπιστάμενοί τε καὶ κατ-

---

1. ἴσον] ἶσον *A*. **3.** ταῖς ἀπὸ *A*, τὰς ἀπὸ scripsi. **5.** μηδ'] μὴ δ' *A*. **8.** τὸν ἔλεον ἐμπορεύεσθαι] hoc est *lucri causa misericordem se praebere* sive *misericordiam cauponari*. **8. 9.** ἡ τοῦ βίου πανήγυρις] sic Men. Com. 4 p. 211: πανήγυριν νόμισόν τιν' εἶναι τὸν χρόνον, ὃν φημί (scripserim τὸν βίον, Ὀνήσιμε), τοῦτον ἢ ἐπιδημίαν. Men. monost. 444 sive Greg. Naz. vol. 2 p. 156 D: πανήγυριν νόμιζε τόνδε τὸν βίον. Diog. L. VIII, 8: τὸν βίον ἐοικέναι πανηγύρει. Longin. de subl. 35, 2: ἡ φύσις τὸν ἄνθρωπον ὡς εἰς μεγάλην τινὰ πανήγυριν εἰς τὸν βίον καὶ τὸν σύμπαντα κόσμον ἐπάγουσα (l. εἰσάγουσα). Clem. Alex. Strom. VII p. 860: ἅπας δὲ ὁ βίος αὐτοῦ πανήγυρις ἁγία.
14. προσήκει *A*, προσῆκε scripsi. **15.** τοῖς ἔργοις ἀγαθοῖς *A*, τοῖς ἀγαθοῖς ἔργοις scripsi. **17.** παρὰ πολὺ] παραπολὺ *A*. **17. 18.** ἐπιρρεπῶς] ἐπιρεπῶς *A*. **20.** τινὲς vitiosum arbitror.

ισχύοντες ἐμβιοῦν, εἶτα πρὶν ἢ τῶν κακῶν ἐπιδημίοις ἡ φορὰ μηδὲν εἰς ἀρετῆς καὶ σωτηρίας λόγον πραξάμενοι, ἀλλ' ἀμελῶς οὕτω καὶ ῥαθύμως τὰς ἑαυτῶν ψυχὰς τοῖς πάθεσι κηλιδώσαντες, πῶς οὐκ αὐτοκατακρίτους εἰσάγουσιν ἑαυτούς; τί γὰρ νῦν πενθῶν οὐ πρότερον ἐξίστασο γελώτων μὲν ἀκρατῶν, ᾀσμάτων δὲ πορνικῶν καὶ ἀθυρμάτων θυμελικῶν; τί δὲ σκυθρωπάζων νυνὶ τὰς ὀφρῦς συνῆγες καὶ τὰς παρειὰς ἐξῆρες, τὸ πρόσωπον τυραννίδος δεικνύων μεστόν; τί δ' ἐλεῶν τοὺς ἠδικημένους καὶ συμπαθεῖν σεμνυνόμενος λοιμὸς αὐτὸς τοῖς παρατυχοῦσιν ἐνέπιπτες ἀπροσδοκήτως καὶ λόγῳ ἐνί; τί νῦν πᾶσι καὶ πάντα χρηστὸς ὢν οὐδενὶ παρεῖχες πρότερον μέτριον σαυτόν, ἀλλὰ χειρῶν μὲν ἄρχων ἀδίκων ἐμεγαλοφρόνεις, ἀμύνασθαι δὲ τὸν ὑπονοηθέντα εἰ μὴ διεπράξω, οὐδὲ βιωτὸν τὸν βίον ἐνόμιζες; καὶ πένης μὲν πρὸ πυλῶν λιμώττων διέρριπτο βδέλυγμα, οἱ δὲ πρὸς γέλωτα εὐδοκιμοῦντες τῆς σῆς ἐμπιπλάμενοι τραπέζης καὶ περιουσίας οὐδὲν ἧττον ἐνετρύφων καὶ τῆς εὐηθείας, καὶ φίλων μὲν στοργὴν μικροῦ παρέβλεπες λήμματος, συγγενείας δὲ φύσιν διέπτυες καὶ δεσμοὺς βοηθείας ἐρρήγνυες, ἐρινυώδης 'τις ὥσπερ εἶναι φιλονεικῶν καὶ μισάνθρωπος ἄνθρωπος. πολλοῦ γε δὴ δέω καταλέγειν κλοπάς τε καὶ ἁρπαγὰς πορνείας τε καὶ μοιχείας καὶ τὰς ἄλλας ἀρρητοποιίας, τὰ μεγάλα καὶ πολυάρκῆ ταυτησὶ τῆς ἐκπυρσευθείσης ἡμῖν καὶ περιχυθείσης φλογὸς ὑπεκκαύματα. οἶδα ὅτι ταῦτα νυνὶ καὶ ὑμεῖς ἀναλογιζόμενοι πενθεῖτε καὶ σκυθρωπάζετε· ἀλλ' ὀξὺς μὲν ὁ καιρός, ἀδέκαστος δὲ ὁ κριτής, ἡ δ' ἀπειλὴ φοβερά, τὸ δὲ πλῆθος τῶν ἡμαρτημένων πολύ, καὶ οὐκ ἐξαρκοῦσα ἡ μετάνοια. ἐγὼ πολλάκις ὑμῶν τοῖς ὠσὶ τοὺς παραινετικοὺς κατέσπειρα λόγους, τοὺς ἀπειλητικούς· ἀλλ' ὡς ἔοικεν εἰς ἀκάνθας ἐξέφυσαν. ἐδυσώπησα, ἐπέπληξα· πολλάκις ὑμῖν τὴν τῶν Σοδομιτῶν ὑπέδειξα τέφραν καὶ τὸν πρὸ ταύτης κατακλυσμόν, ἡνίκα

---

1. ἐπιδημίοις ἡ φορὰ] ἐπιδημήσῃ φορὰ scripserim. 5. γελώντων *A*, γελώτων scripsi. 17. τις] τίς *A*. 18. φιλονεικῶν] φιλονικῶν malim. δεῖ *A*, δὴ scripsi. 22. ὑμεῖς] ἡμεῖς *A*. 27. ἐξέφυσαν parum aptum videtur.

τοῖς ὕδασιν ἐπικαταρρύτου γεγενημένης τῆς γῆς ὁ τοῦ ἀνθρωπείου γένους συνετελέσθη παγκόσμιος ὄλεθρος. πολλάκις τὸν Ἰσραηλίτην παρέστησα λαόν, τὸν περιούσιον, τὸν ἠγαπημένον, τὸ βασίλειον ἱεράτευμα, διὰ γογγυσμόν, δι' ἀντιλογίαν, δι' ἀχαριστίαν, διὰ παραπλήσιον πλημμέλημα μαστιζόμενον, ταπεινούμενον ὑπὸ τῶν ἡττωμένων ἐχθρῶν καὶ καθ' ὧν αὐτὸς ἐτροπαιοφόρει ἐλασσούμενον, πίπτοντα, διολλύμενον. πολλάκις ὑμῖν ὑπετιθέμην· φυλάξασθε, διορθώθητε, ἐπιστράφητε, μὴ ἀναμείνητε στιλβωθῆναι τὴν ῥομφαίαν· τὸ τόξον ἐντείνεται· μὴ τὴν μακροθυμίαν ἀφορμὴν καταφρονήσεως λάβετε, μὴ κατὰ τῆς χρηστότητος πονηρεύησθε. ἀλλὰ πῶς ὑμῶν τὰς καρδίας ἤδη φλεγμαινούσας ἐπιξέσω; κρεῖττον νῦν ἀλγυνομένους ἐπιπλῆξαι ἢ ἐκεῖθεν ἀνεπιτιμήτους δίκας ὑφέξοντας παραπέμψαι, καὶ τὴν παροῦσαν συμφορὰν τοῦ πρὸς ὑμᾶς ἐλέγχου συνεργὸν προσλαβεῖν ἢ διευλαβηθέντα τὸ πάθος, ἀνεξέλεγκτον καταλιπεῖν τὸ ἀπειθῆσαν καὶ ἡμαρτηκός. τί οὖν ἐνουθετήσαμεν; ἠπειλήσαμεν θεὸν λέγοντες· ὁ θεὸς ἡμῶν ζηλωτής· μακρόθυμος, ἀλλ' ἐὰν ὀργισθῇ, τίς ὑποστήσεται; ταῦτα ἔλεγον· ἀλλ' ὡς ἔοικεν εἰς πῦρ ἔξαινον· τοῦτο γάρ μοι τὸ νῦν εἶναι, ὡς εἴθε μὴ ὤφελεν, παροιμιάσασθαι καίριον· οὐ γὰρ ἐπεστράφητε οὐδὲ μετενοήσατε, ἀλλ' ἐβαρύνατε τὰ ὦτα τοῦ μὴ εἰσακούειν λόγον κυρίου. διὰ τοῦτο ἐξεχύθη ἐφ' ἡμᾶς ὁ θυμὸς αὐτοῦ καὶ ἐγρηγόρησεν ἐν ταῖς ἁμαρτίαις ἡμῶν καὶ τὸ πρόσωπον αὐτοῦ ἐστήριξεν ἐφ' ἡμᾶς. «οἴμοι ὅτι ἐμακρύνθη ἡ παροικία μου», καὶ μὴ μακρᾶς οὔσης μετὰ τοῦ ψαλμῳδοῦ βοήσομαι Δαυίδ, ἐμακρύνθη· ὅτι οὐκ εἰσηκούσθην παρακαλῶν, ὅτι νέφος βαρβάρων ὁρῶ τοῖς πταίσμασι καταξηρανθεῖσαν τὴν πόλιν ἡμῶν τοῖς αἵμασιν

---

5. 6. ἡττωμένων] ἡττομένων *A*. 10. λάβετε] λάβητε malim. πονηρεύησθε] πονηρεύσησθε scripserim. 11. ἢ κρεῖττον *A*, ἢ delevi. 12. δίψας *A*, δίκας scripsi. 17. εἰς πῦρ ἔξαινον] cf. Paroemiogr. Gott. vol. 1 p. 130. vol. 2 p. 27 sq. 19. οὐδὲ μετενοήσατε] οὐδ' ἐμετενοήσατε *A*. 20. διὰ τοῦτο] διατοῦτο *A*. 22. 23. οἴμοι — μου] Psalm. 119, 5: οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη. 25. ὁρᾷ *A*, ὁρῶ scripsi.

ἐπικλύζοντας. οἴμοι ὅτι ἐπὶ τούτοις ἐφυλαττόμην τοῖς κακοῖς ἐγώ, ὅτι «ἐγενήϑημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν», ὅτι βαρβάρων ἄπιστος δρόμος οὐκ ἔδωκε τῇ φήμῃ καιρὸν ἀγγελίας, ὡς ἄν τις ἀσφάλεια περινοηϑείη, ἀλλὰ σύνδρομον ἔσχεν ἡ ϑέα τὴν ἀκοὴν καὶ τὸ πεπονϑέναι, χώραις πόσαις ἐϑναρχίαις τε καὶ ποταμοῖς ναυσιπόροις καὶ ἀλιμένοις πελάγεσι τῶν ἐπελασάντων διειργομένων. οἴμοι ὅτι ἔϑνος ὠμὸν καὶ ἀνήμερον ἐπ' ἀδείας ὁρῶ τῆς πόλεως περιχεόμενον καὶ τὰ πρὸ τῆς πόλεως ληιζόμενον, πάντα φϑεῖρον, πάντα λυμαινόμενον, ἀγροὺς οἰκίας, βοσκήματα ὑποζύγια, γύναια παιδάρια, πρεσβύτας νεανίας· διὰ πάντων τὸ ξίφος ὠϑούμενον, οὐδενὸς λαμβάνον οἶκτον, οὐδενὸς φειδόμενον. παγγενὴς ἡ καταφϑορά, ὡς ἀκρὶς ἐν ληίῳ καὶ ὡς ἐρυσίβη ἐν ἀμπελῶνι, μᾶλλον δὲ ὡς πρηστὴρ ἢ τυφὼν ἢ χειμάρρους ἢ οὐκ οἶδ' ὅ τι εἴπω, εἰς τὴν χώραν ἡμῶν εἰσπεσὸν αὐταῖς γενεαῖς τοὺς κατοικοῦντας ἀνάλωσεν. μακαρίζω τοὺς τῆς παλαμναίας καὶ βαρβάρου χειρὸς ἔργον γεγονότας, ὅτι τεϑνηκότες ϑᾶσσον διέφυγον τὴν συναίσϑησιν τῶν κατασχόντων ἡμᾶς ἀνελπίστων συμφορῶν. εἰ δὲ αἴσϑησις ἦν αὐτοῖς τούτων ἀποιχομένοις, ἐϑρήνησαν ἂν κἀκεῖνοι σὺν ἐμοὶ τοὺς ἔτι περιόντας ὧν τε διὰ παντὸς πάσχουσι καὶ οἵων ἀλγεινῶν ἀναπλησϑέντες οὐκ ἀπαλλάσσονται καὶ ἐν ᾧ ζητοῦντες τὸν ϑάνατον οὐχ εὑρίσκουσι. πολλῷ γὰρ αἱρετώτερον ἅπαξ ϑανεῖν τοῦ διὰ παντὸς ἐλπίζειν ϑανεῖν καὶ τοῖς τῶν πλησίον πάϑεσι συνεχῶς ἀλγεῖν καὶ σπαράσσεσϑαι τὴν ψυχήν. ποῦ νῦν βασιλεὺς ὁ φιλόχριστος; ποῦ τὰ στρατόπεδα; ποῦ τὰ ὅπλα, τὰ μηχανήματα, αἱ στρατηγικαὶ βουλαί τε καὶ παρασκευαί; οὐ βαρβάρων ἄλλων ἔφοδος ἐφ' ἑαυτὴν ταῦτα πάντα μετέστησέ τε καὶ μεϑειλκύσατο; καὶ βασιλεὺς μὲν ὑπερορίους πόνους

---

2. 3. ἐγενήϑημεν — κύκλῳ ἡμῶν] Psalm. 78, 4. **5.** τό τε πόϑεν καὶ *A*, τὸ πεπονϑέναι scripsi. **13.** τυφὼν] de accentu cf. Thes. Gr. L. vol. 7 p. 2623 B. **18.** ἡ δὲ αἴσϑησις *A*, εἰ δὲ αἴσϑησις scripsi. **19.** κἀκεῖνοι] κᾀκεῖνοι *A*, qui iota subscriptum plerumque omittit. **19. 20.** διὰ παντὸς] διαπαντὸς *A*. **22.** διὰ παντὸς] διαπαντὸς *A*.

καὶ μακροὺς ἀναντλεῖ, συναπῆρε δὲ καὶ συνταλαιπωρεῖ τὸ στρατιωτικόν, ἡμᾶς δὲ ὁ κατ' ὀφθαλμοὺς ὄλεθρος καὶ φόνος δαπανᾷ, τοῖς μὲν ἐπελθών, τοῖς δὲ ἤδη ἐπερχόμενος. τὸ δὲ Σκυθικὸν τοῦτο καὶ ὠμὸν ἔθνος καὶ βάρβαρον ἐξ αὐτῶν τῶν τῆς πόλεως ἐξερπύσαν προπυλαίων μονιοῦ δίκην ἀγρίου τὰ πέριξ αὐτῆς κατενεμήσατο. τίς οὖν ἡμῶν προπολεμήσει, τίς ἀντιπαρατάξεται τοῖς ἐχθροῖς; πάντων ἡμεῖς ἔρημοι, πανταχόθεν ἐξηπορημένοι. τίς ἐξισωθείη θρῆνος ταῖς συμφοραῖς; ποῖον ἐξισχύσει δάκρυον ἐπαρκέσαι πρὸς τὸ μέγεθος τῶν περιστοιχισαμένων ἡμᾶς δυσχερῶν; δεῦρό μοι τῶν προφητῶν συμπαθέστατε, συνθρήνησον τὴν Ἱερουσαλήμ, οὐ τὴν παλαιὰν ἐκείνην, ἔθνους ἑνὸς ἐκ μιᾶς ῥίζης δώδεκα στελέχη βλαστήσαντος τὴν μητρόπολιν, ἀλλὰ συμπάσης τῆς οἰκουμένης ὁπόσην ὁ Χριστιανῶν λαμπρύνει θεσμός, τὴν χρόνῳ καὶ κάλλει καὶ μεγέθει καὶ λαμπρότητι πολυπληθείᾳ τε τῶν ἐνοικούντων καὶ πο-

---

1. ἀναντλεῖ scripsi, ἀνατλᾶ *A*. barbaram istam formam nunquam adducar ut Photio tribuam. quamquam Tzetzes Chil. 9, 133 τλῶσα καὶ ὑπουργοῦσα dixisse videtur. suspectus etiam aoristus ἔτλησα, cuius exempla quae mihi innotuerunt fide carent ad unum omnia. in oraculo Lactantii IV, 3, 11 editur πικρὴν ἀνέτλησε τελευτήν: scribendum erit ἀνέπλησε. similiter Lucianus q. d. de luctu c. 16 vol. 2 p. 928 non πολλὰς τριακάδας καὶ ὀλυμπιάδας ἀνατλήσας, sed ἀναπλήσας dixisse putandus est. eadem medela indiget Phlego Trall. ed. Westerm. p. 200, 13: Ἱερώνυμος δὲ ὁ συγγαφεὺς πολλοὺς μὲν χρόνους ἐν ταῖς στρατείαις ἀνατλήσας, πλείστοις δὲ τραύμασιν ἐν πολέμοις περιπεσών. in Maximi περὶ καταρχῶν v. 557: ἤ γὰρ ἀνατλήσειεν ἀεικέλιον βροτὸς ἄλγος, dudum Lobeckius Paral. p. 172 sq. ἀναπλήσειεν suasit, quod recepit Koechly. Heraclitum de incredib. c. 21 in Westerm. Mythogr. p. 317, 5 non διατλήσας sed διαθλήσας scripsisse G. Dindorfius in Thes. Gr. L. vol. 2 p. 1351 A probabiliter coniecit. in Diog. L. IX, 4 διατλήσας dudum cessit genuinae lectioni διαντλήσας. denique in Christ. pat. 22 et praef. 20 pro τλῆσαι e codice B τλῆναι revocandum erat. 7. τίς] τίς ἂν malim. 9. περιστοιχισαμένων] περιστοιχησαμένων *A*. de similibus erroribus vide Thes. Gr. L. vol. 6 p. 942 C.

λυτελείᾳ δεσπόζουσαν. συνθρήνησόν μοι ταύτην τὴν Ἱερουσαλήμ, οὐχ ἁλοῦσαν ἤδη καὶ χαμαὶ πεσοῦσαν, ἀλλ' ἐγγὺς κειμένην τοῦ ἁλῶναι καὶ τοῖς ὁρωμένοις κατασειομένην. συνθρήνησον τὴν βασιλίδα τῶν πόλεων, οὐκ αἰχμάλωτον ἀγομένην, ἀλλὰ τῆς σωτηρίας ἐλπίδας ᾐχμαλωτισμένην. ζήτησον ὕδωρ τῇ κεφαλῇ καὶ πηγὰς δακρύων τοῖς ὀφθαλμοῖς καὶ συμπένθησον. καὶ πένθησον ἐπ' αὐτῇ, ὅτι «κλαίουσα ἔκλαυσεν ἐν νυκτί, καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς, καὶ οὐχ ὑπάρχει ὁ παρακαλῶν αὐτήν». ὅτι «ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλήμ, διὰ τοῦτο εἰς σάλον ἐγένετο», καὶ οἱ τεθηπότες αὐτῆς τὴν ἰσχὺν ἐξεμυκτήρισαν αὐτήν, ὅτι ἐξαπέστειλε κύριος πῦρ ἐν τοῖς ὀστέοις αὐτῆς καὶ ἐβάρυνε τὸν ζυγὸν αὐτοῦ ἐπὶ τὸν τράχηλον ἡμῶν καὶ «ἔδωκεν ἐν χερσὶν ἡμῶν ὀδύνας», ἃς οὐ δυνησόμεθα ὑποστῆναι. συνθρήνησον ὅτι ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου. «ἡ κοιλία μου ἐταράχθη, καὶ ἐστράφη ἡ καρδία μου ἐν ἐμοί, ὅτι παραπικραίνουσα παρεπίκρανα. ἔξωθεν ἠτέκνωσέ με μάχαιρα» καὶ «διήνοιξεν ἐπ' ἐμὲ ὁ ἐχθρὸς στόμα αὐτοῦ καὶ ἔβρυξεν ὀδόντας καὶ εἶπε, καταπίομαι αὐτήν». ὦ πόλις βασιλίς, οἵων κακῶν περικέχυται ὄχλος, καὶ τὰ σὰ τῆς κοιλίας ἔγγονα καὶ τὰ πρὸ τοῦ ἄστεος, ἃ λαμπρῶς ἐπεπόλιστο, λαγόνες θαλάσσης καὶ πυρὸς καὶ μαχαίρας στόμα βαρβαρικῷ νόμῳ διακληρωσάμενα κατεσθίουσιν. ὦ πολλῶν ἐλπὶς ἀγαθή, ὅση χαλεπῶν ἀπειλὴ καὶ δειμάτων πλῆθος περικλύσαν τὰ κύκλῳ τὴν σὴν περιβόητον ἐταπείνωσεν δόξαν. ὦ πόλις βασιλεύουσα μικροῦ συμπάσης τῆς οἰκουμένης, οἷός σε στρατὸς ἀστρατήγητος καὶ δουλικῶς ἐνεσκευασμένος

---

7. 8. κλαίουσα — αὐτήν] Thren. 1, 2. **9.** ἁμαρτία *A*, ἁμαρτίαν scripsi e Thren. 1, 8. διὰ τοῦτο] διατοῦτο *A*. **10. 11.** ἐξαπέστειλε — αὐτῆς] cf. Thren. 1, 13: ἐξ ὕψους αὐτοῦ ἀπέστειλε πῦρ, ἐν τοῖς ὀστέοις μου κατήγαγεν αὐτό. **12.** ἔδωκεν — ὀδύνας] cf. Thren. 1, 14: ἔδωκε κύριος ἐν χερσί μου ὀδύνας. **14 — 16.** ἡ κοιλία — μάχαιρα] Thren. 1, 20. **16. 17.** διήνοιξεν — αὐτήν] cf. Thren. 2, 16: διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ ἐχθροί σου, ἐσύρισαν καὶ ἔβρυξαν ὀδόντας, καὶ εἶπαν, καταπίωμεν (male κατεπίομεν ed. Tischendorfius) αὐτήν. **19.** ἃ addidi.

ὡς δουλεύουσαν ἐκμυκτηρίζει. ὦ πόλις πολλῶν ἐϑνῶν λαφύραις ἐκλαμπρυνϑεῖσα, οἷον λαφυραγωγεῖν σε διενοήσατο ἔϑνος. ὦ πολλὰ στησαμένη κατὰ τῶν πολεμίων Εὐρώπης τε καὶ Ἀσίας καὶ Λιβύης τρόπαια, ὅπως νῦν ἐπὶ σὲ βαρβαρικὴ καὶ ταπεινὴ χεὶρ ἐξέτεινε δόρυ, τὸ κατὰ σοῦ κράτος ἐπαρϑεῖσα τροπαιοφορῆσαι. ἐπὶ τοσοῦτον γὰρ κακώσεως πάντα σοι ἥκει, ὥστε καὶ τὴν ἀπροσμάχητόν σου ῥώμην εἰς τρύγα ἐλάσαι βαϑυτάτης ἀρρωστίας καὶ τὸ ἀρρωστοῦν καὶ τεταπεινωμένον τῶν ἀντιπάλων φιλάνϑρωπον ὄμμα χειρὸς ἰσχὺν ἐν σοὶ ἀποφαίνειν καὶ δόξης ὀνόματι πειρᾶσϑαι διακοσμηϑῆναι. ὦ βασιλὶς πόλεων βασιλίδων, πολλὰς μὲν συμμαχίαις ἐξαρπάσασα κινδύνων, πολλὰς δὲ ἐπὶ γόνυ κλιϑείσας ἀνορϑώσασα τοῖς ὅπλοις, εἰς προνομὴν δὲ νυνὶ προκειμένη καὶ τῶν συνεπικουρούντων ἐξηπορημένη. ὦ ναῶν σεβασμίων χάρις καὶ λαμπρότης, ὦ μεγέϑη καὶ κάλλη καὶ λεπτουργίαι καὶ ἀγλαΐσματα, ὦ ϑυμάτων ἀναιμάκτων καὶ φρικτῆς ϑυσίας καὶ μυστικῆς τραπέζης, ὦ ϑυσιαστήριον καὶ χῶρος ἄβατος καὶ σεπτός, ὅπως πολεμίων πόδες βεβήλωσιν ἀπειλοῦσιν. ὦ σέβας αὐτὸ καὶ πίστις ἄχραντος καὶ λατρεία καϑαρά, ὅπως δυσσεβούντων καϑ' ὑμῶν καὶ φρυαττομένων πλατύνεται στόμα. ὦ ἱερέων πολιὰ καὶ χρῖσμα καὶ ἱερωσύνη. ὤμοι τέμενος ἱερὸν ϑεοῦ καὶ ϑεοῦ σοφία ὁ τῆς οἰκουμένης ἀκοίμητος ὀφϑαλμός. ϑρηνήσατε, παρϑένοι, ϑυγατέρες Ἱερουσαλήμ· κλαύσατε, νεανίσκοι πόλεως Ἱερουσαλήμ, πενϑήσατε καὶ μητέρες δακρύσατε, νήπια δακρύσατε· τὸ μέγεϑος γὰρ τοῦ πάϑους καὶ ὑμᾶς εἰς συναίσϑησιν ἐκβιάζεται. δακρύσατε ὅτι ἐπλήϑυνεν ἡμῖν τὰ κακά, καὶ οὐκ ἔστιν ὁ ἐξαιρούμενος, οὐκ ἔστιν ὁ βοηϑός. ἀλλὰ μέχρι τίνος ὁ ϑρῆνος, μέχρι τίνος τὸ πένϑος, μέχρι τίνος ὁ ὀλολυγμός; τίς εἰσακούσεται, καὶ πῶς ἡ ϑραῦσις κοπιάσει; τίς ἐξιλάσεται; τίς βοήσεται ὑπὲρ

---

1. δουλέυσαν *A*, δουλεύουσαν scripsi. 5. τὸ κατὰ σοῦ κράτος] κατὰ τοῦ σοῦ κράτους exspectes. 8. φιλάνϑρωπον ὄμμα] verba corrupta. 13. μεγάλη *A*, μεγέϑη scripsi. 17. σέβας αὐτὸ] σέβας ἁγνὸν malim. 19. χρῖσμα] χρίσμα *A*. ὤμοι] ᾤμοι *A*. 26. ὀλολυγμός *A*, ὁ ὀλολυγμός scripsi. 27. κοπιάσει] κοπάσει *A*.

ἡμῶν; εἴ τις ἦν Μωυσῆς, εἶπεν ἂν πρὸς κύριον· «ἐὰν αὐτοῖς ἀφῇς, ἄφες· εἰ δὲ μή, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου τῆς ζωῆς, ἧς ἔγραψας.» καὶ πρὸς ἡμᾶς δέ· «κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς σιγήσομεν». ἀλλ' οὐκ ἔστιν, ὅτι ἐκλέλοιπεν ὅσιος ἀπὸ τῆς γῆς. οὐκ ἔστι Μωσῆς, οὐκ ἔστιν Ἀβραὰμ ὥστε διᾶραι τὸ στόμα καὶ παρρησιάσασϑαι καὶ εἰπεῖν πρὸς τὸν ϑεόν· «μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής». οὐκ ἔστιν ὅστις ἐπέλϑοι τὰς φιλανϑρώπους ἐκείνας καὶ ϑαυμασίους τῶν λόγων ἐπαγωγάς, δι' ὧν ἐπὶ δέκα δικαίοις τὴν μυριάνϑρωπον πόλιν ἔξω φύσεως φερομένην ἐντὸς σωτηρίας ἠξίου γενέσϑαι καὶ πρὸς τοῦ τῶν ὅλων ἀκοῦσαι ϑεοῦ ὡς «ἐὰν εὑρεϑῶσιν ἐν τῇ πόλει δέκα, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα». οὐκ ἔστιν οὖν Μωσῆς, οὐκ ἔστιν Ἀβραάμ· ἀλλ' ἐὰν ὑμεῖς βούλησϑε, παράδοξον μὲν ἐρῶ, ἀληϑὲς δέ, ὅμως δύνασϑε ὑμῖν ἑαυτοῖς Μωσέα παρασκευάσαι, δύνασϑε Ἀβραὰμ δεῖξαι. καὶ Μωυσῆς γὰρ ἀνεπιστρόφως ἔχοντος τοῦ λαοῦ δεινὸν οὔπω δεινὸν εἰ πρεσβεύων παρηκούετο· ἀλλ' ἐκεῖνο λίαν φοβερὸν ὡς πολλοὺς πολλάκις ὑπὲρ ὧν ἅπαντα ἔπραττεν ὑποχείρια διεχρήσατο. καὶ Ἀβραὰμ δὲ περὶ ὧν ἐδυσώπει καὶ ἱκέτευεν, τούτους ἑώρα τὸν βίον εἰς πυρὸς δαπάνην καταστρέφοντας, ὅτι παϑῶν αὐτοῖς ἄκανϑαι τὸ γεώργιον ἦν. δύνασϑε, ἐὰν βούλησϑε, ἵνα λέγῃ κἀκεῖνος πρὸς ὑμᾶς· «κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς σιγήσομεν». ποϑεῖτε μαϑεῖν ὅπως δέδοικα τὸν κλαυϑμὸν ὑμῶν; ὅτι πρόσκαιρος· τὴν ἐλεημοσύνην ὑμῶν, ὅτι πρὸς βραχύ· τὴν σωφροσύνην, ὅτι ἐφήμερος· τὴν φιλαδελφίαν, ὅτι μέχρις ἂν τὸ δυσμενὲς τῶν κύκλῳ ἐχϑρῶν ἅτε δὴ κοι-

---

1—3. ἐὰν — ἔγραψας] Exod. 32, 32: καὶ νῦν εἰ μὲν ἀφεῖς (sic) αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου ἧς ἔγραψας. 3. 4. cf. Exod. 14, 14: κύριος πολεμήσει περὶ ὑμῶν, καὶ ὑμεῖς σιγήσετε. 4. σιγήσομεν] σιγήσωμεν *A*. 5. διᾶραι] διάραι *A*. 6. 7. μὴ — ἀσεβής] Genes. 18, 23. 11. 12. ἐὰν εὑρεϑῶσιν — τῶν δέκα] Genes. 18, 32: ἐὰν δὲ εὑρεϑῶσιν ἐκεῖ δέκα; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα. 14. ὑμῖν ἑαυτοῖς] ὑμῖν αὐτοῖς scripserim, nisi forte ὑμῖν αὐτοὶ ἑαυτοῖς praeferendum. 20. 21. cf. p. 212, 3. 4. 23. πρὸς βραχύ] προσβραχύ *A*.

νὸν ὑπάρχον κακὸν εἰς ὁμόνοιαν ὑμᾶς συνωθεῖ· τὸ ταπεινὸν καὶ μέτριον τῶν ἠθῶν, ὅτι μέχρις ἂν ἡ αἰχμαλωσία ἐμπρόθεσμος· τὸν τῦφον πατούμενον καὶ τὸν θυμὸν χαλινούμενον καὶ τὴν γλῶτταν πνευματικῶν ᾀσμάτων, ἀλλὰ μὴ αἰσχρῶν ῥημάτων δεικνυμένην ὄργανον, ὅτι μέχρις ἂν τῶν πολεμίων οἱ ἀλαλαγμοὶ τοῖς ὠσὶν ὑμῶν προσαράσσουσι· τὰς λιτὰς καὶ τὰς παννύχους στάσεις καὶ τὴν νηστείαν καὶ τοὺς στεναγμούς, ὅτι μέχρις ἂν ὁ διὰ ξίφους θάνατος. ταῦτά με ταράττει καὶ θορυβεῖ πολὺ τῶν ὅπλων πλέον τῶν βαρβαρικῶν· ταῦτα δέδοικα ῥᾳδίως νυνὶ καὶ παρὰ πάντων ἅμα ὁρῶν συντελούμενα, ὅτι πρότερον οὐδ' ἐνίοις τισὶν οὐδὲ χωρὶς καὶ μόλις ἐπράττετο. φοβεῖ με καὶ ἀνιᾷ ὅτι ὅταν ἵσταται ἡ πληγή, τότε καὶ ἡμεῖς σεμνυνόμεθα τὴν ἐπιστροφήν, ὅτι ὅταν ἐπιστῇ τὰ λυπηρά, τότε πρὸς τὰς πράξεις καταφεύγομεν τὰς χρηστάς. διὰ τοῦτο νῦν οὐκ ἔστι Μωυσῆς οὐδὲ Ἀβραάμ. εἰ δὲ καὶ παρελθούσης τῆς νῦν ἡμᾶς κατεχούσης συμφορᾶς τὴν αὐτὴν κοσμιότητα καὶ τάξιν καὶ κατάστασιν ἐφυλάττετε, πολλοὺς ἂν Μωσέας καὶ Ἀβραὰμ προπολεμεῖν ὑμῶν καὶ ὑπὲρ ἡμῶν ἐξιλεοῦσθαι προεβάλλετο θεός. καὶ τί λέγω Μωυσέα καὶ Ἀβραάμ; αὐτὸν τὸν κοινὸν δεσπότην ἡμῶν τε κἀκείνων πρόμαχον ἡμῶν καὶ προασπιστὴν ἀπεργάζεσθε, τὸν ἐπαγαγόντα τὸν ἐχθρὸν διὰ τὰς ἁμαρτίας ἡμῶν θραύοντα τῶν ἐχθρῶν τὴν ἰσχύν, τὸν παιδεύοντα ἰώμενον, τὸν ὀργιζόμενον φιλανθρωπευόμενον. μεγάλη γὰρ ἡ ἐλεημοσύνη κυρίου τοῦ θεοῦ ἡμῶν καὶ ἐξιλασμὸς αὐτοῦ τοῖς ἐπιστρέφουσιν ἐπ' αὐτὸν ὁσίως, καὶ βελτίους ποιήσατε, διὰ Ἱερεμίου βοᾷ, τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἔργα ὑμῶν καὶ ἀκούσατε τῆς φωνῆς κυρίου, καὶ παύσεται κύριος τῶν κακῶν ὧν ἐλάλησεν ἐφ' ὑμᾶς. ἀλλ' οὐ βούλεσθε. μὴ βοᾶτε μηδὲ θορυβεῖσθε· κρεῖσσον ἦν ἡσύχως εὐχαριστεῖν, ἀλλὰ μὴ διωλύγιον βοᾶν,

---

3. τῦφον] τύφον *A*. 9. ὁρῶ *A*, ὁρῶν scripsi. 13. διὰ τοῦτο] διατοῦτο *A*. 16. ἐφύλαττε *A*, ἐφυλάττετε scripsi. 17. ὑπὲρ ἡμῶν] ὑπὲρ ὑμῶν malim. προεβάλετε *A*, προεβάλλετο scripsi. 24. διὰ Ἱερεμίου] haud scio an Ierem. 42, 15 et 43, 7 respiciantur. 26. ἐφ' ἡμᾶς *A*, ἐφ' ὑμᾶς scripsi. μηδὲ] μὴ δὲ *A*.

ὑπὲρ ὧν μὴ ἐπάσχομεν, ἀλλὰ μὴ περὶ τοῦ δεδιέναι παθεῖν ἃ τοῖς οὐκ ὀρθῶς βιοῦσιν ἕπεται παθεῖν, ἐφ᾽ ᾧ τῶν ἀγαθῶν ἡμῖν αἱ κατὰ τὸν βίον ἄφθονοι πηγαὶ ἀνεδίδοντο, ἀλλὰ μὴ τῶν χαλεπῶν ἡμῖν ἀπείρων ὄχλον ἐπὶ ξυροῦ βεβηκότα πειρᾶσθαι φυγεῖν. ἀλλὰ στήσατε τὸν κλαυθμόν, παύσασθε τούτων, ἀσφαλεῖς φύλακες γένεσθε, τολμῶ καὶ λέγω ἐγὼ τῆς σωτηρίας ὑμῖν ἐγγυητής. ταῖς ἐπαγγελίαις ὑμῶν θαρρῶν τοῦτο φημί, οὐ ταῖς πράξεσι ταῖς ἐμαῖς, ταῖς ὑμῶν ὑποσχέσεσιν, ἀλλ᾽ οὐ ταῖς ἐμαῖς φωναῖς. ἐγὼ ὑμῖν ἐγγυῶμαι τὴν σωτηρίαν, ἂν αὐτοὶ βεβαίως συντηρήσητε τὰς ὁμολογίας· ἐγὼ τὴν τῶν δυσχερῶν ἀπαλλαγήν, ἂν ὑμεῖς πάγιον τὴν ἐπιστροφήν· ἐγὼ τὴν ὑποχώρησιν τῶν ἐχθρῶν, ἂν τὴν ἀναχώρησιν ὑμεῖς τῶν παθῶν. μᾶλλον δὲ οὐδὲ ἐγὼ τούτων ἐγγυητής, ἀλλὰ καὶ ὑπὲρ ἐμαυτοῦ καὶ ὑπὲρ ὑμῶν, ἂν ἄρα τῶν συνθηκῶν ὑμῶν ἀπροφάσιστοι γένησθε πληρωταί, ὑμᾶς αὐτοὺς προβάλλομαι ἐγγυητάς· ὑμᾶς ἀποφαίνω πρεσβευτάς, καί γε κύριος φιλάνθρωπος ὢν καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων ἐρεῖ πρὸς ὑμᾶς· «ἰδού, ἀπαλείφω ὡς νεφέλην τὰς ἀνομίας σου καὶ ὡς γνόφον τὸς ἁμαρτίας σου. ἐπιστράφηθι ἐπ᾽ ἐμέ, καὶ λυτρώσομαί σε», καὶ «ἐπιστράφητε πρός με καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς». καὶ «πέρας λαλήσω ἐπὶ ἔθνος

---

3. πληγαὶ *A*, πηγαὶ scripsi. 5. γένησθε *A*, γένεσθε scripsi. 6. ἐγγυητής] ἐγγυιτής *A*. 11. ἂν τῶν *A*, ἂν τὴν scripsi. 12. οὐδὲ ἐγὼ τούτων] οὐδὲ τούτων ἐγὼ *A*. ἐγγυητής] ἐγγυιτής *A*. 13. συνθηκῶν ὑμῶν] συνθηκῶν ὑμεῖς malim. 14. ἐγγυητάς] ἐγγυιτάς *A*. 15. καί γε κύριος] καὶ γὰρ κύριος requiri videtur. 16 — 18. ἰδού — σε] Ies. 44, 22: ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου καὶ ὡς γνόφον τὴν ἁμαρτίαν σου· ἐπιστράφηθι πρός με (πρὸς μὲ more suo Tischend.), καὶ λυτρώσομαί σε. 17. νεφέλην] νέφελην *A*. 18. ἐπιστράφηθι] ἐπιστράφητι *A*. 18. 19. ἐπιστράφητε — πρὸς ὑμᾶς] Zachar. 1, 3: ἐπιστρέψατε πρός με, λέγει κύριος τῶν δυνάμεων, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. 19 — p. 215, 3. πέρας λαλήσω — ποιῆσαι αὐτοῖς] Ierem. 18, 7. 8: πέρας λαλήσω ἐπὶ ἔθνος ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτοὺς καὶ τοῦ ἀπολλύειν, καὶ ἐπιστραφῇ τὸ ἔθνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω τῶν κακῶν ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς.

ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτοὺς καὶ ἀπολλύειν. καὶ ἐὰν ἐπιστραφῇ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τῶν κακῶν αὐτῶν, μετανοήσω κἀγὼ περὶ πάντων τῶν κακῶν ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς». τὸ λοιπόν, ἀγαπητοί, πρὸς τὴν μητέρα τοῦ λόγου, τὴν μόνην ἡμῶν ἐλπίδα καὶ καταφυγήν, καιρὸς ἐφέστηκε προσδραμεῖν. ταύτῃ βοήσωμεν ποτνιώμενοι. σῶσον πόλιν σὴν ὡς οἶδας, ὦ δέσποινα. ταύτην πρὸς τὸν υἱὸν αὐτῆς καὶ θεὸν ἡμῶν μεσίτην στησώμεθα καὶ τῶν διομολογηθέντων ἡμῖν μάρτυρα καὶ ἐγγυητὴν ποιησώμεθα καὶ τὰς ἡμετέρας αἰτήσεις διαπορθμεύουσαν καὶ τὴν παρὰ τοῦ τεχθέντος ἐξ αὐτῆς φιλανθρωπίαν ἐπομβρίζουσαν καὶ τὸ νέφος τῶν ἐχθρῶν διασκεδάζουσαν καὶ τὰς τῆς σωτηρίας ἡμῖν αὐγὰς ἀναλάμπουσαν· ἧς ταῖς πρεσβείαις τῆς παρούσης μὲν ῥυσθείημεν ὀργῆς, ῥυσθείημεν δὲ καὶ τῆς μελλούσης καὶ ἀτελευτήτου κατακρίσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα καὶ εὐχαριστία καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

1. ἐξᾶραι] ἐξάραι *A*. 3. 4. τὸ λοιπόν] τολοιπόν *A*. 8. ἐγγυητὴν] ἐγγυιτὴν *A*. 13. μελλούσης] μελούσης *A*. 15. ἀεὶ] ᾀεὶ *A*.

PHOTII
IN ROSSORVM INCVRSIONEM
HOMILIA II.

Οἶδα μὲν ὡς ἅπαντες συνεπίστασθε, ὅσοι τε δεινοὶ συνιδεῖν ἀποστροφὴν πρὸς ἀνθρώπους θεοῦ ὅσοι τε ἀμαθέστερόν πως περὶ τὰ τοῦ κυρίου διάκεισθε κρίματα, πάντας δ' οὖν ὁμῶς συνιέναι καὶ κατανοῆσαι λογίζομαι τὴν ἐπενεχθεῖσαν ἡμῖν ἀπειλὴν καὶ τὴν τοῦ ἔθνους ἀθρόαν ἐπιδρομὴν οὐκ ἄλλοθέν ποθεν ἢ ἐξ ὀργῆς καὶ θυμοῦ παντοκράτορος κυρίου ἡμῖν ἐπισπιλάσαι. ἀγαθὸν μὲν γὰρ τὸ θεῖον καὶ θυμοῦ κρεῖττον καὶ παντὸς πάθους, ἅτε δὴ πάσης ὑλαίας διαθέσεως ἀνυπερβλήτῳ λόγῳ τὴν ὑπόβασιν κληρωσαμένης τὴν φύσιν ἔχον ὑπερανῳκισμένην· ὀργίζεσθαι δὲ καὶ θυμοῦσθαι λέγοιτ' ἂν εἰκότως, ἐπειδάν τι τῶν πεπραγμένων θυμοῦ καὶ ὀργῆς κριθὲν ἄξιον τὴν προσήκουσαν ἐκεῖθεν δίκην τοῖς δεδρακόσιν ἐπισπάσηται, καθ' ὃν τρόπον καὶ νῦν ἡμῖν ἐπεισφρήσασα κατερράγη συμφορὰ κατὰ πρόσωπον ἡμῶν παριστῶσα τῶν ἡμαρτημένων τὸν ἔλεγχον. οὐδὲ γὰρ οὐδὲ ταῖς ἄλλαις τῶν βαρβάρων καταδρομαῖς προσέοικεν, ἀλλὰ τὸ τῆς ἐφόδου παράλογον καὶ τοῦ τάχους τὸ παράδοξον τοῦ

Inscriptionem hanc praebet *A*: Τοῦ αὐτοῦ ἁγιωτάτου Φωτίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης ὁμιλία δευτέρα εἰς τὴν ἔφοδον τῶν Ῥώς. **3.** ὅμως *A*, ὁμῶς scripsi. **5.** ἢ] ἡ *A*.
6. ἐπισπιλάσαι] verbum lexicographis ignotum erunt fortasse qui in ἐπιπολάσαι mutandum existiment; interea haud infrequens est κατασπιλάζειν, de quo cf. inprimis Suid. v. κατεσπίλασεν.

τε βαρβάρου φύλου τὸ ἀπάνθρωπον καὶ τῶν τρόπων τὸ ἀπότομον καὶ τῆς γνώμης τὸ ἀνήμερον οὐρανόθεν τὴν πληγὴν ὡς σκηπτὸν μηνύει ἐπαφεθῆναι. οὐχ ὅτι δὲ πάντες τοῦτο συνεπίστασθε καὶ ταῖς ὑμῶν καρδίαις ἥ τε τοῦ πάθους ὀξύτης καὶ ἡ τοῦ καιροῦ ἀκμὴ τῶν συνενεχθέντων τὸ αἴτιον ἐνεχάραξε, διὰ τοῦτο σιγήσομαι, ἀλλ' ὅτι καὶ ὑμᾶς τῶν εἰρησομένων λαβὼν ἔχω συνίστορας, διὰ τοῦτο μᾶλλον σὺν ἐλέγχῳ δικαίῳ τοὺς λόγους ποιήσομαι, ἐκεῖνα ὑμῖν ἐκτραγῳδῶν καὶ ὑποκρινόμενος, ὧν αὐτοὶ τὴν σκηνὴν τοῖς οἰκείοις ἐπηξάμεθα παραπτώμασιν καὶ τὸ δρᾶμα συνεπεσκευασάμεθα, παθῶν πολυμόρφων θέατρον τὴν ἡμῶν πολιτείαν στησάμενοι. ὀργὴ γὰρ θεοῦ διὰ τὰς ἡμῶν ἁμαρτίας ἐπέρχεται καὶ τῆς ἀπειλῆς ὕλη τῶν ἁμαρτανόντων αἱ πράξεις τυγχάνουσι καὶ τῆς τιμωρίας ἡ εἴσπραξις τῶν ὀλισθημάτων τὸ ἀνεπίστροφον. ὅσῳ δὲ ξένη καὶ δεινῶς ἄτοπος τοῦ καταρραγέντος ἔθνους ἡ ἔφοδος, τοσούτῳ τῶν πλημμεληθέντων ἡ ὑπερβολὴ διελέγχεται. ὅσον δὲ πάλιν ἀφανὲς ἄσημον καὶ μηδὲ μέχρι τῆς καθ' ἡμῶν ἐπελεύσεως γινωσκόμενον, τοσοῦτον ἡμῖν ὁ τῆς αἰσχύνης ὄγκος ἐπιγράφεται καὶ τῶν ὀνειδισμῶν ὁ θρίαμβος αἴρεται καὶ πικρότερον αἱ μάστιγες τὴν ὀδύνην ἐναποτίθενται. ἡ γάρ τοι τῶν ἀσθενεστέρων τε καὶ παρεωραμένων κατὰ τῶν ἐπιφανείᾳ λαμπρυνομένων καὶ ἰσχὺν ἀμάχων ἐπικράτεια ἀνυπέρβλητον παρίστησι τὴν πληγήν, ἀπαραμύθητον εἰσάγει τὴν συμφοράν, ἀνεξάλειπτον συνέχει τῶν δυστυχημάτων τὴν μνήμην. οὕτω ταῖς ἀνομίαις ἡμῶν ἐμαστίχθημεν καὶ τοῖς πάθεσιν ὠδυνήθημεν καὶ τοῖς παραπτώμασιν ἐταπεινώθημεν καὶ τοῖς κακοῖς ἐκαρώθημεν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ γενόμενοι. οἷς γὰρ

---

5. συνεχθέντων *A*, συνενεχθέντων scripsi. memorabile est eandem corruptelam infra recurrere p. 221, 16. 6. εἰρημένων *A*, εἰρησομένων scripsi. 13. 14. δεινὸς *A*, δεινῶς scripsi. 16. μηδὲ] μὴ δὲ *A*. ceterum post μηδὲ vide an ὀνόματι exciderit. 22. ἀνεξάλειπτον] ἀνεξάληπτον *A*. 24. 25. ἐκαρώθημεν] aptius fuerit ἐκολάσθημεν: quid scripserit Photius, sciet qui LXX interpretum locum quo utitur indagarit. 25. μυκτηρισμὸς — γενόμενοι] simillima verba supra legimus p. 208, 3. 4.

οὐδὲ Ῥωμαίων φήμη μόνη φορητή ποτε κατεφαίνετο, οὗτοι κατ' αὐτῆς αὐτῶν τῆς ἐξουσίας ὅπλα ἤροντο καὶ τὰς χεῖρας ἀνεκρότησαν ἐν ἐλπίδι τοῦ λαβεῖν τὴν βασιλίδα πόλιν ὡς νοσσιὰν φρυαξάμενοι. τά τε γὰρ πέριξ αὐτῆς ἐληίσαντο καὶ τὰ πρὸ τοῦ ἄστεος ἐλυμήναντο καὶ τοὺς συλληφθέντας ὠμῶς ἀπεχρήσαντο καὶ σὺν ἀδείᾳ πάσῃ ταύτης περιεχύθησαν, ἐπὶ τοσοῦτον ὑπὸ τῆς ἡμετέρας δυσπραγίας ἐπαρθέντες καὶ ὑψωθέντες ὥστε μηδ' ὀρθοῖς εἰς αὐτοὺς καὶ ἀπτοήτοις ἐνατενίζειν τοῖς ὀφθαλμοῖς τοὺς ἐνοικοῦντας δύνασθαι. ἀλλ' ἐξ ὧν εἰκὸς ἦν μᾶλλον αὐτοὺς ἀνδρικώτερον τοῖς πολεμίοις συμπλέκεσθαι, τούτοις ἐξενευροῦντο καὶ κατέπιπτον. τὴν γὰρ εἰς τοὺς ὁμοφύλους τῶν βαρβάρων μιαιφονίαν δέον δικαίαν ποιεῖσθαι ὀργὴν καὶ μετ' εὐλόγων ἐλπίδων τὴν ἴσην τιμωρίαν ἐπάγεσθαι ἀπαιτεῖν, οἱ δὲ κατεπτηχότες καὶ ἐκπεπληγμένοι παρελέλυντο, τὰ πάθη τῶν ἑαλωκότων οἰκείαν ἅλωσιν οἱ σεσωσμένοι καὶ παρ' ὧν ἐκδίκησις τοῖς ἠτυχηκόσιν ὠφείλετο φανταζόμενοι. ἐφ' ἅπαξ γὰρ τοῦ αἰφνιδίου δείματος τοῖς τῆς καρδίας κόλποις ἐναποσκήψαντος καὶ εἰς τραῦμα τὸ πάθος κοιλάναντος, ὥσπερ ἀπὸ πηγῆς τινος καὶ ἀρχῆς τοῦ περικαρδίου μώλωπος τὸ τῆς δειλίας ῥεῦμα εἰς ὅλον τὸ σῶμα μετωχετεύετο καὶ παρειμένα πάντας φέροντας τὰ μέλη τοὺς ἐφ' οἷς ἡ τοῦ πολέμου κρίσις ἀνέκειτο διεδείκνυεν. οὕτω δὴ τοῦ βαρβάρου φύλου γεγενήμεθα παίγνιον καὶ τὴν ἀπειλὴν αὐτῶν ἀνυπόστατον ἡγησάμεθα καὶ τὴν βουλὴν ἀκαταίσχυντον καὶ τὴν προσβολὴν ἀπροσμάχητον. ἔνθα γὰρ ὀργὴ θεοῦ, ἐκεῖ καὶ τὸ ἀτυχεῖν, καὶ ἡνίκα αὐτὸς ἀποστρέφεται, ἐκ τοῦ ῥᾴστου καὶ τὸ καταστραφῆναι παρεισδύεται, καὶ οὓς αὐτὸς μαστίζεσθαι παραδίδωσι, τὸ λαφυραγωγεῖν κατὰ χεῖρας τοῖς ἐπιχειροῦσι παραγίνεται, καὶ «εἰ μὴ κύριος φυλάσσει πόλιν, εἰς μάτην ἀγρυπνοῦσιν οἱ φυλάσσοντες.» ἔθνος ἀφανές, ἔθνος ἀναρίθμητον, ἔθνος ἐν ἀνδραπόδοις ταττόμενον,

---

6. ταύτης] ταύτῃ exspectes. **7.** μηδ'] μὴ δ' *A*. **19.** μετωχετεύετο] μετοχετεύετο *A*. **23. 24.** τὸ τυχεῖν *A*, τὸ ἀτυχεῖν scripsi. **26. 27.** εἰ μὴ — φυλάσσοντες] Psalm. 126, 1: ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

ἄγνωστον μέν, ἀλλ' ἀπὸ τῆς καθ' ἡμῶν στρατείας ὄνομα λαβόν, καὶ ἄσημον μέν, ἀλλ' ἐπίσημον γεγονός, ταπεινὸν καὶ ἠπορημένον, ἀλλ' εἰς ὕψωμα λαμπρὸν καὶ πλοῦτον ἄπλετον ἀναβεβηκός, ἔθνος πόρρω που τῆς ἡμῶν ἀπῳκισμένον, βαρβαρικόν, νομαδικόν, τὸ θράσος ἔχον εἰς ὅπλα, ἀφύλακτον, ἀνεξέλεγκτον, ἀστρατήγητον, οὕτως ἀθρόον, οὕτως ἐν ῥιπῇ ὀφθαλμοῦ ὡς κῦμα θαλάσσης ἐξεχύθη τοῖς ὁρίοις ἡμῶν, καὶ ὡς μονιὸς ἄγριος χόρτον ἢ καλάμην ἢ λήιον κατενεμήσατο τοὺς ἐνοικοῦντας ἐν τῇ γῇ, ὢ τῆς συμπεσούσης ἡμῖν θεηλάτου ποινῆς, μὴ φειδόμενον ἀπὸ ἀνθρώπου ἕως κτήνους, οὐ θήλεων ἀσθένειαν εὐλαβούμενον, οὐ νηπίων ἁπαλότητα δυσωπούμενον, οὐ πρεσβυτέρων πολιὰν καταιδούμενον, ὑπ' οὐδενὸς τῶν ὅσα δυσωπεῖν εἴωθεν ἀνθρώπου κἂν εἰς θηρίων ἐκδράμῃ φύσιν μαλασσόμενον, ἀλλὰ διὰ πάσης ἡλικίας καὶ φύσεως τὸ ξίφος ὠθεῖν θρασυνόμενον. ἦν ἰδεῖν παρ' αὐτῶν νήπια μαζῶν καὶ γάλακτος ἅμα καὶ ζωῆς αὐτῆς ἀποσπώμενα καὶ τάφον αὐτοῖς αὐτοσχέδιον οἴμοι τὰς πέτρας αἷς προσηράσσοντο, μητέρας οἰκτρῶς ὀλολυζούσας καὶ ἐπισφαττομένας ἔτι σπαρασσομένοις καὶ ψυχορραγοῦσι τοῖς βρέφεσιν, ἄκουσμα ἐλεεινὸν καὶ θέαμα ἐλεεινότερον καὶ πολὺ κρεῖττον σιγᾶσθαι ἢ λέγεσθαι καὶ τῶν δεδρακότων μᾶλλον ἢ τῶν πεπονθότων ἄξιον. οὐδὲ γὰρ οὐδὲ μέχρι τῆς ἀνθρωπίνης φύσεως ἡ ἀγριότης προέβαινεν, ἀλλὰ διὰ πάντων ἀλόγων ζῴων, βοῶν καὶ ἵππων καὶ ὀρνίθων καὶ τῶν ἄλλων οἷς ἀνέπιπτον, ἡ ὠμότης διήλαυνεν. ἔκειτο βοῦς καὶ παρ' αὐτὸν ἄνθρωπος, καὶ παῖς καὶ ἵππος τάφον εἶχον ὁμόσκηνον, καὶ γυναῖκες καὶ ὄρνιθες τοῖς ἀλλήλων συνεφύροντο αἵμασι. μεστὰ δὲ νεκρῶν σωμάτων ἐτύγχανεν ἅπαντα. ποταμοῖς τὸ ῥεῖθρον εἰς αἷμα μετεσκευάζετο, κρήνας καὶ δεξαμενὰς τὰς μὲν οὐκ ἦν ἔτι διακρίνειν ἐξομαλισθέντων τῶν κοιλωμάτων τοῖς πτώμασι, ταῖς δὲ παντελῶς ἀμυδρὰ τοῦ προτέρου σχήματος ἴχνη ἐφαίνετο τῶν παρακειμένων αὐτοῖς ἀναπληρούντων τὰ λείποντα. τὰς

---

1. καθ' ἡμᾶς *A*, καθ' ἡμῶν scripsi. **10.** θήλεος *A*, θήλεων scripsi. **11.** ὅσω *A*, ὅσα scripsi. **12.** ἐκδράμῃ] ἐκδράμοι *A*. **13.** ἰδία *A*, διὰ scripsi. **25.** μετὰ *A*, μεστὰ scripsi.

ἀρούρας νεκρὰ κατέσηπε σώματα, τὰς ὁδοὺς ἐστενοχώρει. τὰ ἄλση τούτοις μᾶλλον ἢ τοῖς θάμνοις καὶ ταῖς ἐρημίαις ἐθηριοῦτο καὶ ἐξηγρίωτο. τὰ σπήλαια ἐπεπλήρωτο, ὄρη καὶ λόφοι καὶ χαράδραι καὶ φάραγγες οὐδὲν ἐν ταῖς πόλεσι πολυανδρίων διέφερον. οὕτω τοῦ πάθους ἡ θραῦσις ἐξήπλωτο, καὶ ὁ τοῦ πολέμου λοιμὸς τοῖς τῶν ἁμαρτημάτων πτεροῖς ἐποχούμενος πανταχοῦ περιίπτατο τὸ προστυχὸν λυμαινόμενος. οὐδεὶς ἂν δύναιτο τὴν ἐπιστᾶσαν ἡμῖν τότε τῶν κακῶν Ἰλιάδα ἐφικέσθαι τῷ λόγῳ. καὶ τίς ταῦτα συνορῶν οὐ τὸν τρυγίαν τοῦ ποτηρίου, ὃν ὁ θυμὸς ἐκέρασε κυρίου τοῖς ἡμῶν ὑπερζέσας πλημμελήμασιν, οὐκ ἐφ' ἡμᾶς ἐκχυθῆναι ἂν ὁμολογήσειε; τίς ταῦτα μελετῶν καὶ συλλογιζόμενος οὐ πενθῶν καὶ σκυθρωπάζων δι' ὅλου τοῦ βίου καὶ πρὸς δυσμὰς αὐτὰς. ἀφικόμενος πορεύεται, ὅπως ἅπαντα τότε συνεκέχυτο καὶ πῶς ἡ πόλις μικροῦ δέω φάναι δοριάλωτος ἐγεγένητο. ἐν ᾧ γὰρ ῥᾴδιον μὲν τὸ ἁλῶναι, ἄπορον δὲ τοῖς ἐνοικοῦσι τὸ ὑπερασπίσαι, ἐν ἐξουσίᾳ δηλονότι τῶν ἀντιπάλων τὸ παθεῖν ταύτην ἢ μὴ παθεῖν ἔκειτο· ἐν ᾧ δὲ ἡ τῆς πόλεως σωτηρία τοῖς τῶν πολεμίων ἤρτητο δακτύλοις καὶ τῇ τούτων εὐμενείᾳ ἡ ταύτης διεμετρεῖτο στάσις, παρὰ βραχὺ φημὶ διαφέρειν, μᾶλλον δὲ πολὺ χαλεπώτερον εἶναι τὸ μήπω πεσεῖν τὴν πόλιν τοῦ πάλαι πεσεῖν. τὸ μὲν γὰρ ἴσως τῷ τάχει τοῦ πάθους ἄδηλον ἂν παρεῖχε τῆς μὴ παραυτίκα ἁλώσεως τὴν αἰτίαν· τὸ δὲ τῷ μήκει τοῦ χρόνου καὶ τὴν τῶν ἀντιπάλων ἐπαίρειν φιλανθρωπίαν ὡς τῇ ἐκείνων οὔπω συγκατενεχθείσης εὐσπλαγχνίᾳ καὶ τῷ πάθει συνάπτον τὴν ἀπὸ τῆς συμπαθείας ἀδοξίαν ἀλγεινοτέραν ποιεῖται τὴν συναίσθησιν τῆς αἰχμαλωσίας. ἆρα μέμνησθε τοῦ κλόνου καὶ τῶν δακρύων καὶ τῶν ὀλολυγμῶν, εἰς ἃ τότε ἡ πόλις πᾶσα σὺν

---

4. ἐν] τῶν ἐν malim. 6. 7. προστυχὸν] πρὸς τυχὸν *A*. 7. ἐπιστασίαν ἡμῶν *A*, ἐπιστᾶσαν ἡμῖν scripsi. 8. τῶν κακῶν Ἰλιάδα] eodem proverbio utitur Photius Epist. 13 p. 74. 9. τοῖς] ταῖς *A*. 10. 11. ἂν ὁμολογήσειε] ἀνομολογήσειε *A*. 17. ἤρτητο suspectum. 24. συμπαθείας] συμπαθίας *A*. quam formam non omnino damnandam esse docuit L. Dindorfius in Thes. Gr. L. vol. 7 p. 1087 B. cf. Anecd. Oxon. vol. 2 p. 299, 22 et quae diximus *Eur. Studien* II p. 137.

ἀπογνώσει τελευταίᾳ κατεφέρετο; ἴστε τὴν νύκτα ἐκείνην τὴν ζοφώδη καὶ φοβεράν, ὅτε συμπάντων ἡμῶν ὁ τοῦ βίου κύκλος τῷ τοῦ ἡλίου κύκλῳ συγκατεδύετο καὶ τὸ τῆς ζωῆς ἡμῶν φέγγος εἰς τὸ βαθὺ τοῦ θανάτου σκότος ἐβυθίζετο; ἴστε τὴν ὥραν ἐκείνην τὴν ἀφόρητον καὶ πικράν, ὅτε κατέπλεον ὑμῖν αἱ βαρβαρικαὶ νῆες, ὠμόν τι καὶ ἄγριον καὶ φονικὸν ἀποπνέουσαι; ὅτε ἡ θάλασσα γαληνιῶσα καὶ ἀτρεμίζουσα τὰ νῶτα ἐξήπλωτο, αὐταῖς μὲν τὸν πλοῦν ἡδὺν καὶ καταθύμιον παρεχόμενα, τὰ δὲ τοῦ πολέμου κύματα καθ' ἡμῶν ἐπεκύμαινεν ἀγριαίνουσα; ὅτε τὴν πόλιν παρεπορεύοντο ἀνατείνοντας τὰ ξίφη φέρουσαι καὶ δεικνύουσαι τοὺς ἐμπλέοντας καὶ θάνατον ὥσπερ τὸν διὰ ξίφους ἀπειλοῦσαι κατὰ τῆς πόλεως, ὅτε πᾶσα μὲν ἐλπὶς ἀνθρωπίνη ἐξ ἀνθρώπων ἐρρύη, τῇ δὲ πρὸς τὸ θεῖον μόνῃ καταφυγῇ ἡ πόλις ἐπεσάλευεν; ὅτε σεισμὸς καὶ γνόφος κατεῖχε τοὺς λογισμοὺς καὶ τὰ ὦτα πρὸς οὐδὲν ἠνέῳκτο ἕτερον ἢ ὡς οἱ βάρβαροι τειχῶν εἰσήλασαν ἐντὸς καὶ τοῖς ἐχθροῖς ἡ πόλις κεχείρωται. τὸ γὰρ τοῦ συνενεχθέντος ἀπροσδόκητον καὶ τῆς ἐφόδου τὸ ἀνέλπιστον τοιαῦτα φαντάζεσθαι καὶ ἀκούειν ὥσπερ ἀνέπειθεν ἅπαντας, εἰωθὸς μάλιστα τὸ πάθημα τοῦτο τοῖς ἀνθρώποις καὶ ἄλλως ἐπιφοιτᾶν. ὃ μὲν γὰρ ἐκτόπως δεδίασιν, ἀκρίτῳ δόξῃ καὶ μὴ παρὸν ἑστάναι νομίζουσιν· οὗ δ' ὑπόνοιαν οὐ προέλαβον, αὐτεξουσίῳ γνώμῃ καὶ φθάσαντος πόρρω πέμπουσιν. ἦν ὄντως τότε πένθος καὶ θρῆνος καὶ οὐαί. τότε τῶν ἰδίων ἁμαρτημάτων ἀδέκαστος κριτὴς καθίστατο ἕκαστος, οὐ συκοφάντημα κατηγόρων εἰς φυγὴν τῆς κατηγορίας λοιδορούμενος, οὐ τῶν ἔξωθεν ἐλέγχων δεόμενος, οὐ μαρτύρων κλῆσιν προσποιούμενος εἰς τὸν κατὰ τοῦ πονηρεύματος θρίαμβον, ἀλλὰ τὴν ὀργὴν κυρίου κατ' ὀφθαλμοὺς τιθέμενος, ἕκαστος τὸ ἴδιον πταῖσμα ἐπεγίνωσκεν, καὶ ὑπὲρ ὧν τῆς ἐντολῆς ἐκτὸς ἀφρόνως ἐπολιτεύσατο, ἐντὸς γενέσθαι τῆς ἀπειλῆς ἐλογίζετο, καὶ τῇ τῶν λυπούντων πείρᾳ τῶν ἡδονῶν ἀποσπώμενος, εἰς σώφρονα βίον μετεκοσμεῖτο καὶ μετερρυθμίζετο καὶ αὐθομολογεῖσθαι κυρίῳ

---

5. ὑμῖν] ἡμῶν praetulerim. 7. ἡδὺ *A*, ἡδὺν scripsi. 16. συνενεχθέντος] συνεχθέντος *A*. cf. p. 217, 5. 30. μετερρυθμίζετο] μετε-

τοῖς στεναγμοῖς, αὐϑομολογεῖσϑαι τοῖς δάκρυσι, ταῖς προσευχαῖς, ταῖς δεήσεσιν. οἶδε γὰρ οἶδε κοινὴ συμφορὰ καὶ προσδοκωμένη μετανάστασις ἐπιγνώμονας τῶν ἐλαττωμάτων ποιεῖν καὶ ἑαυτῶν γίνεσϑαι καὶ βελτίους ταῖς πράξεσιν ἀπεργάζεσϑαι. ἀλλ' ὅτε ταῦτα παρ' ἡμῶν κατεβάλλετο, ὅτε τῶν ἡμαρτημένων ἑαυτοῖς τὸν λογισμὸν ἱστῶμεν διαιτητὴν ἀπαρέγκλιτον καὶ τὴν ἐλαττουμένην ὡς νικῶσαν ἐφ' ἑαυτοὺς ἐψηφοφοροῦμεν οἱ διωκόμενοι, ὅτε τὸ ϑεῖον λιταῖς καὶ ὕμνοις ἐξεκαλούμεϑα, ὅτε συντριμμῷ καρδίας τὴν μετάνοιαν προσεφέρομεν, ὅτε χεῖρας πρὸς ϑεὸν δι' ὅλης νυκτὸς ἐξαπλοῦντες τῆς αὐτόϑεν φιλανϑρωπίας ἐδεόμεϑα, πάσας ἡμῶν τὰς ἐλπίδας πρὸς αὐτὸν ἀναρτήσαντες, τότε τῆς συμφορᾶς ἐλυτρούμεϑα, τότε τῶν περιστοιχισάντων ἡμᾶς κακῶν ἀπαλλαγὴν ἐλαμβάνομεν, τότε τὴν ἀπειλὴν ϑραυομένην ἐβλέπομεν, καὶ ἡ ὀργὴ κυρίου ἀναρπαζομένη ἀφ' ἡμῶν κατεφαίνετο. τοὺς γὰρ ἐχϑροὺς ἡμῶν ὑποχωροῦντας ἐϑεώμεϑα καὶ τὴν ἀπειλουμένην πόλιν εἰς ἁρπαγὴν ἐλευϑερουμένην τῆς προνομῆς τότε ποτέ, ἐπειδὰν ἁπάσης βοηϑείας ἀπογυμνωϑέντες καὶ τῆς ἐξ ἀνϑρώπων συμμαχίας ἐξηπορημένοι ἐπὶ ταῖς παρὰ τῆς μητρὸς τοῦ λόγου καὶ ϑεοῦ ἡμῶν ἐπέχοντες προσδοκίαις ἐψυχαγωγούμεϑα, αὐτὴν εἰς παράκλησιν κινοῦντες τοῦ υἱοῦ, αὐτὴν εἰς ἐξιλασμὸν τῶν ὀλισϑημάτων, ταύτης τὴν παρρησίαν εἰς σωτηρίαν ἐπιβοώμενοι, ταύτης τὴν σκέπην εἰς τεῖχος εὑρεῖν ἀπολιόρκητον, αὐτὴν ϑραῦσαι τὸ ϑράσος τῶν βαρβάρων καϑικετεύοντες, αὐτὴν κατασπάσαι τὸ φρύαγμα, αὐτὴν τοῦ ἀπηλπικότος λαοῦ προασπίσαι, τοῦ οἰκείου ποιμνίου ὑπερμαχῆσαι, ἧς καὶ τὴν

ρυϑμίζετο *A*. αὐϑομολογεῖσϑαι non esse nihili vocabulum et hic docet locus et Luciani Hermot. c. 59 vol. 1 p. 799, ubi αὐϑομολογούμενον in αὖϑις ὁμολογούμενον nuper mutatum est.

6. ἀπαρέγκλιτον] ἀπαρέγκλητον *A*. **6. 7.** τὴν ἐλαττουμένην ὡς νικῶσαν — ἐψηφοφοροῦμεν] de elliptico dicendi genere vide quae allata sunt in *Eurip. Stud.* I p. 129. **12.** περιστοιχισάντων] περιστοιχησάντων *A*. cf. p. 209, 9. **16.** ποτέ] πότε *A*. **21.** ταύτης τὴν] ταύτης τῆς τὴν *A*. εὑρεῖν] vitiosa scriptura, fortasse ἡμῖν legendum.

περιβολὴν εἰς ἀναστολὴν μὲν τῶν πολιορκούντων, φυλακὴν δὲ τῶν πολιορκουμένων σὺν ἐμοὶ πᾶσα ἡ πόλις ἐπιφερόμενοι τὰς ἱκεσίας ἐχουσιαζόμεθα, τὴν λιτανείαν ἐποιούμεθα. ἐφ' οἷς ἀφάτῳ φιλανθρωπίᾳ μητρικῆς παρρησιασαμένης ἐντεύξεως καὶ τὸ θεῖον ἐπεκλίθη καὶ ὁ θυμὸς ἀπεστράφη, καὶ ἠλέησε κύριος τὴν κληρονομίαν αὐτοῦ. ὄντως μητρὸς θεοῦ περιβολὴ ἡ πάνσεπτος αὕτη στολή· αὕτη περιεκύκλου τὰ τείχη, καὶ τὰ τῶν πολεμίων ἀρρήτῳ λόγῳ ἐδείκνυτο νῶτα. ἡ πόλις ταύτην περιεβάλλετο, καὶ τὸ χαράκωμα τῶν πολεμίων ὡς ἐκ συνθήματος διελύετο, αὕτη ταύτην ἐστολίζετο, καὶ τῆς ἐλπίδος αὐτῶν, ἐφ' ἧς ἐπωχοῦντο, ἐγυμνοῦτο τὸ πολέμιον. ἅμα γὰρ τὸ τεῖχος ἡ παρθενικὴ στολὴ περιελήλυθε, καὶ τῆς πολιορκίας οἱ βάρβαροι ἀπειπόντες ἀνεσκευάσαντο καὶ τῆς προσδοκωμένης ἁλώσεως ἐλυτρώθημεν καὶ τῆς ἀδοκήτου σωτηρίας ἠξιώμεθα. οὐ γὰρ ἐπέβλεψε κύριος ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, ἀλλ' ἐπὶ τὴν μετάνοιαν, οὐδὲ ἐμνήσθη τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπὶ τὸν συντριμμὸν ἐπεῖδε τῶν καρδιῶν ἡμῶν καὶ ἔκλινε τὸ οὖς αὐτοῦ τῇ ἐξομολογήσει τῶν χειλέων ἡμῶν. ἀπροσδόκητος ἐπέστη ἡ ἔφοδος τῶν ἐχθρῶν, ἀνέλπιστος ἐδείχθη ἡ ἀναχώρησις αὐτῶν. ἐξαίσιος ἡ ἀγανάκτησις, ἀλλ' ὑπὲρ λόγον τὸ ἔλεος. ἄφατος ἦν αὐτῶν ὁ φόβος, εὐκαταφρόνητοι γεγόνασι τῇ φυγῇ. ὀργὴν εἶχον εἰς τὴν καθ' ἡμῶν ἐπιδρομήν, συνελαύνουσαν αὐτοὺς φιλανθρωπίαν εὕρομεν θεοῦ, τούτων ἀναστέλλουσαν τὴν ὁρμήν. μὴ οὖν τὴν φιλανθρωπίαν ἀφορμὴν ὀλιγωρίας ποιησώμεθα μηδὲ τὴν εὐσπλαγχνίαν ἐπὶ ῥᾳθυμίαν παράκλησιν ἡγησώμεθα μηδὲ τῆς ἀπωλείας πύλην τὴν ἀρχὴν τῆς σωτηρίας ἑαυτοῖς ἀναπετάσωμεν, μηδὲ καταμαλακισθῶμεν τῷ ἐλέει αὐτοῦ, ἵνα μὴ τὰ ἔσχατα τῶν πρώτων χείρω γένηται καὶ τὴν κατὰ Ἰουδαίων ἀρὰν ἑαυτοῖς ἐφελκυσώμεθα. «οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν», «τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν», Ἡσαΐου λέγον-

2. πόλις] πόλεις *A*. ἱκεσίας ex ἐχουσίας factum est ab eo qui codicem exaravit. **20.** καθ' ἡμᾶς *A*, καθ' ἡμῶν scripsi. **23. 24. 25.** μηδὲ] μὴ δὲ *A*. **25.** καταμαλακισθῶμεν ἐν τῷ *A*, ἐν delevi. **27. 28.** οὐαὶ — ἁμαρτιῶν] Ies. 1, 4. **28.** τί — ἀνομίαν] Ies. 1, 5.

τοῖς στεναγμοῖς, αὐθομολογεῖσθαι τοῖς δάκρυσι, ταῖς προσευχαῖς, ταῖς δεήσεσιν. οἶδε γὰρ οἶδε κοινὴ συμφορὰ καὶ προσδοκωμένη μετανάστασις ἐπιγνώμονας τῶν ἐλαττωμάτων ποιεῖν καὶ ἑαυτῶν γίνεσθαι καὶ βελτίους ταῖς πράξεσιν ἀπεργάζεσθαι. ἀλλ' ὅτε ταῦτα παρ' ἡμῶν κατεβάλλετο, ὅτε τῶν ἡμαρτημένων ἑαυτοῖς τὸν λογισμὸν ἱστῶμεν διαιτητὴν ἀπαρέγκλιτον καὶ τὴν ἐλαττουμένην ὡς νικῶσαν ἐφ' ἑαυτοὺς ἐψηφοφοροῦμεν οἱ διωκόμενοι, ὅτε τὸ θεῖον λιταῖς καὶ ὕμνοις ἐξεκαλούμεθα, ὅτε συντριμμῷ καρδίας τὴν μετάνοιαν προσεφέρομεν, ὅτε χεῖρας πρὸς θεὸν δι' ὅλης νυκτὸς ἐξαπλοῦντες τῆς αὐτόθεν φιλανθρωπίας ἐδεόμεθα, πάσας ἡμῶν τὰς ἐλπίδας πρὸς αὐτὸν ἀναρτήσαντες, τότε τῆς συμφορᾶς ἐλυτρούμεθα, τότε τῶν περιστοιχισάντων ἡμᾶς κακῶν ἀπαλλαγὴν ἐλαμβάνομεν, τότε τὴν ἀπειλὴν θραυομένην ἐβλέπομεν, καὶ ἡ ὀργὴ κυρίου ἀναρπαζομένη ἀφ' ἡμῶν κατεφαίνετο. τοὺς γὰρ ἐχθροὺς ἡμῶν ὑποχωροῦντας ἐθεώμεθα καὶ τὴν ἀπειλουμένην πόλιν εἰς ἁρπαγὴν ἐλευθερουμένην τῆς προνομῆς τότε ποτέ, ἐπειδὰν ἁπάσης βοηθείας ἀπογυμνωθέντες καὶ τῆς ἐξ ἀνθρώπων συμμαχίας ἐξηπορημένοι ἐπὶ ταῖς παρὰ τῆς μητρὸς τοῦ λόγου καὶ θεοῦ ἡμῶν ἐπέχοντες προσδοκίαις ἐψυχαγωγούμεθα, αὐτὴν εἰς παράκλησιν κινοῦντες τοῦ υἱοῦ, αὐτὴν εἰς ἐξιλασμὸν τῶν ὀλισθημάτων, ταύτης τὴν παρρησίαν εἰς σωτηρίαν ἐπιβοώμενοι, ταύτης τὴν σκέπην εἰς τεῖχος εὑρεῖν ἀπολιόρκητον, αὐτὴν θραῦσαι τὸ θράσος τῶν βαρβάρων καθικετεύοντες, αὐτὴν κατασπάσαι τὸ φρύαγμα, αὐτὴν τοῦ ἀπηλπικότος λαοῦ προασπίσαι, τοῦ οἰκείου ποιμνίου ὑπερμαχῆσαι, ἧς καὶ τὴν

ῥυθμίζετο *A*. αὐθομολογεῖσθαι non esse nihili vocabulum et hic docet locus et Luciani Hermot. c. 59 vol. 1 p. 799, ubi αὐθομολογούμενον in αὖθις ὁμολογούμενον nuper mutatum est.

6. ἀπαρέγκλιτον] ἀπαρέγκλητον *A*. **6. 7.** τὴν ἐλαττουμένην ὡς νικῶσαν — ἐψηφοφοροῦμεν] de elliptico dicendi genere vide quae allata sunt in *Eurip. Stud.* I p. 129. **12.** περιστοιχισάντων] περιστοιχησάντων *A*. cf. p. 209, 9. **16.** ποτέ] πότε *A*. **21.** ταύτης τὴν] ταύτης τῆς τὴν *A*. εὑρεῖν] vitiosa scriptura, fortasse ἡμῖν legendum.

περιβολὴν εἰς ἀναστολὴν μὲν τῶν πολιορκούντων, φυλακὴν δὲ τῶν πολιορκουμένων σὺν ἐμοὶ πᾶσα ἡ πόλις ἐπιφερόμενοι τὰς ἱκεσίας ἐκουσιαζόμεθα, τὴν λιτανείαν ἐποιούμεθα. ἐφ' οἷς ἀφάτῳ φιλανθρωπίᾳ μητρικῆς παρρησιασαμένης ἐντεύξεως καὶ τὸ θεῖον ἐπεκλίθη καὶ ὁ θυμὸς ἀπεστράφη, καὶ ἠλέησε κύριος τὴν κληρονομίαν αὐτοῦ. ὄντως μητρὸς θεοῦ περιβολὴ ἡ πάνσεπτος αὕτη στολή· αὕτη περιεκύκλου τὰ τείχη, καὶ τὰ τῶν πολεμίων ἀρρήτῳ λόγῳ ἐδείκνυτο νῶτα. ἡ πόλις ταύτην περιεβάλλετο, καὶ τὸ χαράκωμα τῶν πολεμίων ὡς ἐκ συνθήματος διελύετο, αὕτη ταύτην ἐστολίζετο, καὶ τῆς ἐλπίδος αὐτῶν, ἐφ' ἧς ἐπωχοῦντο, ἐγυμνοῦτο τὸ πολέμιον. ἅμα γὰρ τὸ τεῖχος ἡ παρθενικὴ στολὴ περιελήλυθε, καὶ τῆς πολιορκίας οἱ βάρβαροι ἀπειπόντες ἀνεσκευάσαντο καὶ τῆς προσδοκωμένης ἁλώσεως ἐλυτρώθημεν καὶ τῆς ἀδοκήτου σωτηρίας ἠξιώμεθα. οὐ γὰρ ἐπέβλεψε κύριος ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, ἀλλ' ἐπὶ τὴν μετάνοιαν, οὐδὲ ἐμνήσθη τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπὶ τὸν συντριμμὸν ἐπεῖδε τῶν καρδιῶν ἡμῶν καὶ ἔκλινε τὸ οὖς αὐτοῦ τῇ ἐξομολογήσει τῶν χειλέων ἡμῶν. ἀπροσδόκητος ἐπέστη ἡ ἔφοδος τῶν ἐχθρῶν, ἀνέλπιστος ἐδείχθη ἡ ἀναχώρησις αὐτῶν. ἐξαίσιος ἡ ἀγανάκτησις, ἀλλ' ὑπὲρ λόγον τὸ ἔλεος. ἄφατος ἦν αὐτῶν ὁ φόβος, εὐκαταφρόνητοι γεγόνασι τῇ φυγῇ. ὀργὴν εἶχον εἰς τὴν καθ' ἡμῶν ἐπιδρομήν, συνελαύνουσαν αὐτοὺς φιλανθρωπίαν εὕρομεν θεοῦ, τούτων ἀναστέλλουσαν τὴν ὁρμήν. μὴ οὖν τὴν φιλανθρωπίαν ἀφορμὴν ὀλιγωρίας ποιησώμεθα μηδὲ τὴν εὐσπλαγχνίαν ἐπὶ ῥαθυμίαν παράκλησιν ἡγησώμεθα μηδὲ τῆς ἀπωλείας πύλην τὴν ἀρχὴν τῆς σωτηρίας ἑαυτοῖς ἀναπετάσωμεν, μηδὲ καταμαλακισθῶμεν τῷ ἐλέει αὐτοῦ, ἵνα μὴ τὰ ἔσχατα τῶν πρώτων χείρω γένηται καὶ τὴν κατὰ Ἰουδαίων ἀρὰν ἑαυτοῖς ἐφελκυσώμεθα. «οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν», «τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν», Ἡσαΐου λέγον-

---

2. πόλις] πόλεις *A*. ἱκεσίας ex ἐκουσίας factum est ab eo qui codicem exaravit. **20.** καθ' ἡμᾶς *A*, καθ' ἡμῶν scripsi. **23. 24. 25.** μηδὲ] μὴ δὲ *A*. **25.** καταμαλακισθῶμεν ἐν τῷ *A*, ἐν delevi. **27. 28.** οὐαὶ — ἁμαρτιῶν] Ies. 1,4. **28.** τί — ἀνομίαν] Ies. 1,5.

τος, καὶ «οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι οὔτε ἔλαιον οὔτε καταδέσμους.» μὴ οὖν τηλικούτων κακῶν ὑπευθύνους ἑαυτοὺς παρασκευάσωμεν, ἀγαπητοί, μηδὲ τῶν συνθηκῶν ἐπιλήσμονες γενώμεθα, ἃς θεῷ συνετιθέμεθα, ὅτε τὴν φοβερὰν ἐκείνην ἀπειλὴν κατὰ πρόσωπον ἡμῶν στηριζομένην ἐβλέπομεν. ἴστε γὰρ ἴστε πάντως ὑπὸ τῆς οἰκείας ἕκαστος ἀναδιδασκόμενος συνειδήσεως ὡς κατ' ἐκεῖνο καιροῦ ὁ μὲν ἄδικόν τι δεδρακὼς μηκέτι πράσσειν τοῦτο θεῷ συνετίθετο, ὁ δὲ πορνείᾳ τὸ σῶμα προδεδωκὼς μίσει τοῦ πάθους τὴν τῆς σωφροσύνης ὁμολογίαν ἑκουσιαζόμενος ἐπεδείκνυτο, καὶ δὴ ὁ μέθαις σχολάζων ἔνηφεν καὶ νήφειν ὑπισχνεῖτο τὸ ἐπίλοιπον. ἄλλος σκληρὰν ἔχων τὴν καρδίαν καὶ ἀφιλάνθρωπον ὅλος τῆς ἐλεημοσύνης ἐγίνετο, τὸν παρὰ θεοῦ ἔλεον εἰς ἀρραβῶνα τῆς πρὸς τοὺς πλησίον ἐλεημοσύνης ἐξαιτούμενος, καὶ ὁ φίλοις μὲν βάσκανος, διαπολιτευομένοις δὲ ὄλεθρος, καὶ δούλοις μὲν δήμιος, ἐλευθέροις δὲ τύραννος, θρήνοις καὶ κοπετοῖς συνεχόμενος τὸ τῶν ἠθῶν ἐξημέρου καὶ μετεσκεύαζε τὸ ἄγριον. ταπεινοὺς ἦν ἰδεῖν τοὺς ὑψαύχενας καὶ τοὺς τρυφητὰς νηστευτάς, καὶ οἷς γέλως διὰ βίου καὶ παίγνια, δακρύων ῥείθροις αἱ παρειαὶ κατεπλύνοντο. οἷς δ' ἐπὶ χρημάτων κτῆσιν ἑαυτοὺς ἀφεῖναι διεσπούδαστο, οὗτοι κοινωνοὺς ἐποιοῦντο τοὺς πένητας, τὸ τῆς φιλαργυρίας ἀρρώστημα διαπτύοντες. καὶ συγκεφαλαιωσάμενον εἰπεῖν, τὸ οἰκεῖον πολυπραγμονοῦντες ἐλάττωμα σπουδῇ πολλῇ περιῄρουν καὶ ἀπεσκευάζοντο, καὶ τῶν ὀλιγώρως καὶ ῥᾳστώναις ἐμβεβιωκότων ἕκαστος χειρὶ καὶ ποδὶ καὶ πάσῃ δυνάμει παραγγέλλειν εἰς ἀρετὴν ἐπηγγέλλετο, καὶ τὸν ἔπειτα χρόνον καθαρῶς καὶ ἀνεπιστρόφως τὴν τρίβον τέμνειν τῶν διομολογηθέντων ηὔχοντό τε καὶ συνετίθεντο. μηδεὶς οὖν ἡμῶν τούτων ἀμνημονείτω, μηδεὶς

---

1. 2. οὐκ ἔστι — καταδέσμους] Ies. 1, 6. 2. τηλικούτων] τηλικούντων *A* sicut supra p. 202, 2. 3. μηδὲ] μὴ δὲ *A*. 6. 7. κατ' ἐκείνου καιροῦ *A*, κατ' ἐκεῖνο καιροῦ scripsi. cf. Phot. Epist. p. 38: παραπλήσια τούτοις καὶ οἱ τῷ θυμῷ πληγέντες κατ' ἐκεῖνο καιροῦ διαπράττονται. Epist. 63 p. 115: ἃ πάντες ὁμοίως καὶ σπουδαῖοι καὶ φαῦλοι κατ' ἐκεῖνο καιροὺς (l. καιροῦ) ἠπίσταντο.

τὰς τοιαύτας ὑποσχέσεις λήϑη λυμηνάσϑω. ἡ γὰρ τούτων λήϑη ὀργὴν οἶδεν ἀνάπτειν ϑεοῦ. καὶ γὰρ καὶ ἐπὶ ταύταις ἡμῶν ταῖς ὁμολογίαις καὶ τὴν μητέρα τοῦ λόγου καὶ ϑεοῦ ἡμῶν πρὸς αὐτὸν ἐξεγγυησάμεϑα, καὶ ἡ αὐτόϑεν ἡμᾶς φιλανϑρωπία τῆς αἰχμαλωσίας ἀφελοῦσα κατελάβετο. ταύταις τὰς καρδίας ἡμῶν περικαϑάραντες καὶ ἀρόσαντες τοὺς ἐπὶ τῇ μετανοίᾳ καρποὺς ἐτρυγήσαμεν. οὕτως τὰς γνώμας βελτιωϑέντες τῶν δυσχερῶν ἀπηλλάγημεν. ταύτας κρηπῖδας τῆς ἔπειτα πολιτείας πηξάμενοι, μὴ ξύλα μηδὲ χόρτον, μὴ καλάμην ὕλην εὔφλεκτον τῆς ἁμαρτίας καὶ συνδαπανῶσαν τοὺς πεφορτισμένους ἐπισωρεύωμεν, ἀλλὰ χρυσὸν καὶ ἄργυρον τὰς εἰλικρινεῖς καὶ καϑαρωτάτας τῶν πράξεων, αἷς ἰὸς πονηρίας οὐκ ἐνέσπαρται, ἐποικοδομήσωμεν, ἵν' ἡμῖν ἔσοιτο τεῖχος ἄρρηκτον εἰς καταφυγὴν καὶ ἱερὸν ἄσυλον ἐν ταῖς τῶν πειρασμῶν ἐπαναστάσεσι. μηδὲ ἐκκλίνωμεν εἰς τὰ ὀπίσω, ἵνα μὴ κατακριϑῶμεν τὸ μὴ εὔϑετοι φανῆναι ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἵνα μὴ τὰ παρελϑόντα δυσχερῆ ἐπακολουϑοῦντα καὶ συμπαραμένοντα δείξωμεν τοῖς ἔργοις ἡμῶν. ἐπιστραφήτω ἕκαστος ἀπὸ τῶν ἔργων αὐτοῦ τῶν πονηρῶν ἐξ ὅλης τῆς καρδίας αὐτοῦ ἐπισταϑμώμενος καὶ διερευνώμενος ἑαυτόν, τί τῶν εἰργασμένων αὐτῷ λυπεῖν οὕτως οἶδε ϑεόν, ὡς τοσαύτην ἐπισπᾶσϑαι τὴν ὀργήν, τί τοσαύτην ἔχει τῆς μοχϑηρίας τὴν ὑπερβολήν, ὡς τηλικαύτην κινεῖν ἀπειλήν, ἐπὶ τίσι τῶν πράξεων ἀνήφϑη ἐφ' ἡμᾶς ὁ ϑυμὸς αὐτοῦ, καὶ ποῖαι τῆς φιλανϑρωπίας αὐτοῦ τὴν νεφέλην ἡμῖν ἐπισκιάσαι συγκατειργάσαντο, πόϑεν ἐπηνέχϑη ἡ ποινὴ καὶ πῶς ἀνεστάλη ἡ πληγή, πόϑεν ἐτραυματίσϑημεν καὶ τίσι μοτωϑέντες ἰατρεύϑημεν. ἂν γὰρ ταῦτα ζητῶμεν καὶ οὕτω πολυπραγμονῶμεν ἑαυτοὺς καὶ μελέτην ταῦτα ποιώμεϑα, οἶδα ὅτι ἐπὶ πλέον τὸν ἔλεον αὐτοῦ ἐπιδαψιλεύσοιτο κύριος. «ἐγγὺς γὰρ

4. ἐξεγγυησάμεϑα] similium formarum exempla attulit Lobeckius in Phryn. p. 155. 5. ταῖς καρδίαις *A*, τὰς καρδίας scripsi. 8. κρηπῖδας] κρηπίδας *A*. • μηδὲ] μὴ δὲ *A*. 14. μηδὲ] μὴ δὲ *A*. 23. ἐπισκιάσασαι *A*, ἐπισκιάσαι scripsi. 27 — p. 226, 3. ἐγγὺς — σώσει αὐτούς] Psalm. 144, 19. 20.

πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληϑείᾳ, καὶ ϑέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς», καὶ ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. ἐὰν δὲ τοῖς ἔμπροσϑεν ἡμῶν ἁμαρτήμασιν, ὃ μὴ γένοιτο, προστηκώμεϑα, μηδὲ γὰρ μηδ' εἴη τις ἐν ὑμῖν οὕτως ἀνάλγητος καὶ ἀδιόρϑωτος ὡς ἀλογῆσαι τοσαύτης καὶ τηλικαύτης ϑεηλάτου ἀγανακτήσεως, ἂν οὖν τούτοις αὐτοῖς ἐμμολυνώμεϑα πάϑεσι καὶ τῷ βορβόρῳ τῶν ἡδονῶν ἰλυσπώμεϑα καὶ μὴ τῇ ἐπιμονῇ τῆς μετανοίας τὰ φϑάσαντα ἐξιλασώμεϑα μηδὲ φυλακὴν τοῦ μέλλοντος βίου τῶν λυπηρῶν τὰ παρῳχηκότα ποιησώμεϑα, φεῦ, εἰς οἷον πάλιν ἑαυτοὺς ἐπιρρίπτομεν ὄλεϑρον, οἵων συμφορῶν ἀνορύσσομεν βόϑυνον, ἡλίκων κακῶν χειμῶνα καϑ' ἑαυτῶν ἀγριαίνοντες ἐπεγείρομεν. «ἐὰν γάρ», φησί, «μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη ϑανάτου». καὶ «ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδα, πῦρ καὶ ϑεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτοῦ» καὶ «πῦρ καὶ χάλαζα, λιμὸς καὶ ϑάνατος, ῥομφαία καὶ μάστιξ, ἐπὶ τοὺς ἁμαρτωλοὺς ἐκτίσϑησαν ταῦτα πάντα». οὐκ ἀλλοτρίων ἡμῖν ὑποδειγμάτων χρεία εἰς τὸν οἰκεῖον σωφρονισμόν. ἡμᾶς αὐτοὺς εἰς τὴν σφῶν αὐτῶν διόρϑωσιν καὶ νουϑεσίαν δεῖ παραλαβεῖν τὸ πάϑος ἡμῶν εἰς ἡμέτερον ἴαμα, τῶν μελλόντων τὸ προλαβόν. ὅτε γὰρ ἀναγώγοις καὶ ἡδυπαϑέσι διατριβαῖς ἐντρυφῶντες ἐκδεδιῃτήμεϑα, ἵνα μὴ τὰ ἄλλα λέγω, τότε τὴν ὀργὴν κυρίου ἐφ' ἡμᾶς ὡς χαλάζης πλῆϑος ἐπὶ καρπῶν συγκομιδῇ καταφερομένην ἐβλέπομεν. ἔστη ἡ ϑραῦσις τῇ μετανοίᾳ, μὴ κινήσωμεν αὐτὴν τῇ ἀμελείᾳ. κατεπραΰνϑη ὁ ϑυ-

---

4. γένηται *A*, γένοιτο scripsi. **5.** μηδὲ γὰρ μηδ'] μὴ δὲ γὰρ μὴ δ' *A*. τις] τίς *A*. ὑμῖν] ἡμῖν malim. **9.** μηδὲ] μὴ δὲ *A*. **12—15.** ἐὰν — σκεύη ϑανάτου] Psalm. 7, 13. 14. **15. 16.** ἐπιβρέξει — ποτηρίου αὐτοῦ] Psalm. 10, 6. ubi τοῦ ποτηρίου αὐτῶν legitur. **16—18.** cf. Siracid. 40, 9. 10: ϑάνατος καὶ αἷμα καὶ ἔρις καὶ ῥομφαία, ἐπαγωγαί, λιμὸς καὶ σύντριμμα καὶ μάστιξ, ἐπὶ τοὺς ἀνόμους ἐκτίσϑη ταῦτα πάντα. **17.** μάστιξ] μάστιγξ *A*. **19.** ἡμᾶς] ὑμᾶς *A*. **25.** ἀμελείᾳ] ἀμελία *A*. quae forma poetarum videtur esse propria.

μὸς αὐτοῦ τοῖς τῶν δακρύων ἡμῶν ὀχετοῖς, μὴ ἀνάψωμεν πάλιν αὐτὸν βρασμῷ γέλωτος ἀκρατοῦς καὶ θυμελικῶν ἀθυρμάτων ἐνδελεχισμοῖς. ἡ καθ' ἡμῶν ἠκονημένη συνεστάλη ῥομφαία λιταῖς καὶ δεήσεσιν ὑποχωρήσασα, μὴ στιλβώσωμεν πάλιν αὐτὴν ὕπνοις καὶ μέθαις καὶ θεραπείᾳ τῆς ἀκολάστου σχολάζοντες γαστρός. τοῦ στεναγμοῦ τῆς καρδίας ἡμῶν καὶ τῆς βοῆς ἐκείνης ἤκουσεν ὁ θεὸς καὶ οὐχ ὑπερεῖδε· μὴ παυσώμεθα τοῦτο ποιεῖν, ἵνα διὰ παντὸς ἡμῖν ἡ θεόθεν φιλανθρωπία ἐπικουρῇ. κακὸν ἡ μέθη, κακὸν ἡ πορνεία, κακὸν τὸ ἀδικεῖν, κακὸν ἡ μισαδελφία, ἡ κατὰ τοῦ πλησίον ὀργή, ἡ ὑπεροψία, ὁ φόνος, ὁ φθόνος. κακὸν ἡ ῥαθυμία καὶ ἡ ἀμέλεια. φύγωμεν ταῦτα πάσῃ δυνάμει, ἀγαπητοί. κοινὰ τὰ πάθη, ἀρχόντων ἀρχομένων, πλουσίων πενήτων, ἀνδράσι γυναιξί· κοινὰ γενέσθω καὶ τὰ κατορθώματα. ταῦτα τὴν ὀργὴν ἐκκαίει τοῦ θεοῦ, ταῦτα τὴν ἀπειλὴν αὔξει, τὴν φιλανθρωπίαν ἀναστέλλει καὶ ταπεινοὺς μὲν παρασκευάζει τοῖς ἐχθροῖς, ὑπερυψοῖ δὲ τὸ πολέμιον καθ' ἡμῶν. ταῦτα βδελυξώμεθα καὶ ἀποστραφῶμεν ἐκ ψυχῆς, ἵνα μὴ τὴν ἀπὸ θεοῦ καταδικασθῶμεν ἀποστροφήν. καὶ γὰρ ὁ παλαιὸς Ἰσραὴλ ὅτε τοῖς πάθεσιν ἁλοὺς ἐξηλέγχετο, τότε ῥομφαίας παρεδίδοτο στόματι. Ἰσραὴλ ἐκεῖνος οὐχὶ τυχὸν ἔθνος οὐδὲ λαὸς παρορώμενος, ἀλλ' ὃς «σχοίνισμα κληρονομίας» ἐδοξάζετο καὶ λαὸς ἐμακαρίζετο «περιούσιος», ἐκεῖνος αὐτὸς ἁμαρτάνων μὲν ἐχθροῖς ἐμαστίζετο, κατορθῶν δὲ τούτων ἐκράτει καὶ ὑπερίσχυε, καὶ φυλακὴν μὲν τῶν ἐντολῶν μελετῶν ὅπλοις ἐκαρποῦτο τὴν ἀλλοτρίαν, ἑτέρων πόνοις αὐτὸς εὐφραινόμενος, τοῦ νόμου δὲ κατολιγωρῶν αὐτὸς ἀγόμενος δοριάλωτος τὴν οἰκείαν τοὺς ἐχθροὺς ἑώρα διακληρουμένους καὶ τὸ ἐνυάλιον παιωνίζοντάς τε καὶ πυρριχίζοντας. καὶ λίαν γε τοῦτο σοφῶς τε

---

12. ἀρχομένων addidi. 20. σχοίνισμα κληρονομίας] Psalm. 104, 11: σοὶ δώσω τὴν γῆν Χαναάν, σχοίνισμα κληρονομίας ἡμῶν. 20. 21. λαὸς ἐμακαρίζετο περιούσιος] Exod. 19, 5 et alibi. 21. ἐκεῖνος οὗτος *A*, ἐκεῖνος αὐτὸς scripsi. quo sensu ἐκεῖνος οὗτος dicatur docet praeter alios Eur. Cycl. 105: ἐκεῖνος οὗτός εἰμι. cf. *Eurip. Stud.* II p. 145. 25. τὴν οἰκίαν *A*, τὴν οἰκείαν scripsi.

καὶ δικαίως· δεῖ γὰρ τὸν ἠγαπημένον καὶ οἰκειωθέντα τῷ θεῷ λαὸν οὐ τῇ ἰσχύϊ πεποιθέναι τῶν χειρῶν οὐδὲ τῇ ῥώμῃ μέγα φρονεῖν τοῦ βραχίονος οὐδὲ ταῖς τῶν ὅπλων παρασκευαῖς ἐπερείδεσθαι, πεπεῖσθαι δὲ κατακυριεύειν τῶν ἀνθεστηκότων καὶ κρατεῖν τῇ συμμαχίᾳ τοῦ κρείττονος, ἐκείνην δὲ πράξεων συνειδέναι ταῖς ἀρίσταις ἐπακολουθεῖν καὶ κατορθωμάτων πλήθει ἐπιφοιτᾶν. ἂν οὖν ἐξολισθήσῃ τις τοῦ καλοῦ καὶ τῆς ἀρετῆς, συνολισθαίνειν πάντως ἀνάγκη καὶ τῆς συμμαχίας αὐτοῦ τοῦ θεοῦ· ἂν δὲ τοῖς ἀγαθοῖς ἔργοις τὸν βίον κομᾷ καὶ τεθωρακισμένος μένῃ, τὴν ἀρετὴν σύμμαχον φέρει τὴν ἄμαχον ἐπικουρίαν κατ' ἐχθρῶν. ἀλλ' ὁ μὲν τοῦ θεοῦ λαὸς τῇ ἐξ αὐτοῦ συμμαχίᾳ καὶ κρατύνεται καὶ τὴν κατὰ τῶν ἀντιπάλων νίκην τροπαιοφορεῖ· τὰ δὲ λοιπὰ τῶν ἐθνῶν, οἷς ἡ περὶ τὸ θεῖον δόξα ἡμάρτηται, οὐ ταῖς σφῶν αὐτῶν ἀγαθοεργίαις, ταῖς ἡμετέραις δὲ κακοπραγίαις αὔξει τὴν ἰσχὺν καὶ ταύταις κραταιοῦται καὶ μεγαλύνεται καθ' ἡμῶν. μάστιγες γὰρ ὥσπερ ἐπαφίενται ἡμῖν, καὶ τὰ ἡμέτερα παραπτώματα τῶν μαστίγων ὕλη γίνεται, καὶ τοσοῦτον αὐτοῖς τὸ καθ' ἡμῶν κράτος ἐγχειρίζεται, ὅσον ἂν ἡμεῖς ἑαυτῶν τοῖς πάθεσι καταστρατηγήσωμεν καὶ τῇ πρὸς τὸ κακὸν νεύσει καὶ ὑποχωρήσει τὴν τάξιν, ἐφ' ἣν ἡμᾶς ὁ σωτήριος καὶ θεῖος νόμος ἔταξεν, ἐγκαταλείψωμεν. ὅταν οὖν κατορθοῦντες μὲν οἰκειώμεθα θεῷ, καὶ τὸ κρατεῖν ἡμῖν παραγίνεται τῶν ἐχθρῶν τῷ κρατεῖν τῶν παθῶν, ἁμαρτάνοντες δὲ τὴν θεόθεν εἰσπραττόμεθα ἀποστροφὴν καὶ τὸ πεσεῖν ὑποχείριοι τοῖς ἐχθροῖς. πῶς οὐχὶ ταῦτα μὲν ἐκτρέπεσθαι καὶ βδελύττεσθαι δεῖ, τὰ κατορθώματα δὲ μεταδιώκειν καὶ τούτοις θάλλειν καὶ συναύξειν τὸν βίον διὰ παντός; πῶς δ' ἂν τις

7. τις] τίς A. 8. 9. τὸν βίον κομᾷ] κομᾷ[β] τὸν βίον[α] A. 20. ἐγκαταλείψωμεν] de similibus formis multa attulit, quaedam aliis afferenda reliquit Lobeckius in Phryn. p. 713 sqq. nunc unum addere lubet non videri dixisse Babrium 21, 10 quod ei tribuitur, οὐ γὰρ ἐλλείψει τὸν βοῦν ὁ θύσων, κἂν μάγειρος ἐλλείψῃ. scribendum potius κἂν μάγειρος ἐλλείπῃ. 21. verba καὶ τὸ κρατεῖν bis deinceps scripta praebet A. ἡμῶν A, ἡμῖν scripsi. τῷ κράτει A, τῷ κρατεῖν scripsi.

καὶ κατισχῦσαι θαρρήσειεν ἐχθρῶν, ὅτε τοὺς ἐν αὐτῷ πολεμίους καὶ τὰς στάσεις ἔνδον θάλπει πορθοῦντας αὐτόν, ὅτε θυμὸς ἄλογος τοῦ αὐτοκράτορος λογισμοῦ κρατεῖ καὶ κατὰ τοῦ πλησίον μηδὲν ἴσως ἠδικηκότος ἀναπείθει φονᾶν; πῶς σοι πολεμίων περιεῖναι τὸ νικᾶν ζητεῖς, ὅτε τὸ λίχνον τῆς ἐπιθυμίας ὑποχείριον λαβὸν τὸν αὐτοδέσποτον λογισμὸν ἕλκει τε καὶ μεθέλκει περιάγον καὶ δουλαγωγοῦν, ἔνθα ἂν ἐπιτάττῃ τὸ πάθος; πῶς οὕτω πορθουμένοις τε καὶ κατηνδραποδισμένοις τὸ κατὰ τῶν πολεμίων ἔπαθλον ἔψοιτο; οὐκ ἔστιν ὅλως οὐκ ἔστιν ὑπὸ τῶν ἐμφυλίων ἐχθρῶν δεσμευθέντα τε καὶ δουλωθέντα καὶ τοῖς πάθεσι πεπρακότα ἑαυτὸν κυριεύειν δύνασθαι τῶν ὑπαίθρων ἐχθρῶν. ἂν οὖν ἐκείνους καθελεῖν ἐθελήσωμεν, πολὺ πρότερον τοὺς ἐντὸς πολεμίους ὑποτάξαι σπουδάσωμεν, τὴν τούτων στάσιν καὶ τὴν ἔριν καταλύσωμεν. ἔστω τῶν παθῶν ὁ λογισμὸς αὐταρχῶν, καὶ τότε τῶν ἐναντίων, οἷς ἔξωθεν βάλλειν καὶ τιτρώσκειν ἄδεια, ἐγκρατεῖς γενησόμεθα. ἂν γὰρ ὃν αὐτοκράτορα λογισμὸν ἔλαβες ἐκ θεοῦ, τοῦτον ταῖς ἡδοναῖς προπιών, ὡς ἀνδράποδον ὑπέταξας αὐταῖς αὐτόν, πῶς πολεμίων ἔξωθεν ἐπιτιθεμένων γενέσθαι κύριος ἐπιθυμεῖς; πῶς δυσμενῶν σκυλεύσεις ἀποσκευὴν ὁ ταῖς ἐγκολπίοις στάσεσι καὶ ταῖς ἐπιβουλαῖς καθ' ἑκάστην σκυλευόμενος τὸν νοῦν; ἐκφυλλοφορήσωμεν πρότερον τοὺς ἐμφυλίους τῶν λογισμῶν, καὶ τότε λαφυραγωγήσομεν τῶν ἀλλοφύλων εὐχερῶς τὴν ἰσχύν. οὐχ ὁρᾷς καὶ τὸν Ἰσραήλ, ὡς ἐπειδὰν μὲν ἐκράτει παθῶν, ἐκράτει καὶ τῶν ἐχθρῶν; συνεστρατήγει γὰρ αὐτῷ ὁ θεός. ὅτε δὲ τῇ ἁμαρτίᾳ ἐδεδούλωτο, τότε καὶ τοῖς ἐχθροῖς ἐξεδίδοτο· ἐγκατελελοίπει γὰρ αὐτὸν ἡ συστρατηγοῦσα θεία ἰσχύς. οὗτος εὐαρεστῶν θεῷ διὰ Μωσέως τὰς τῶν Αἰγυπτίων φοβερὰς καὶ βαρείας χεῖρας ἐξέφυγε, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ ἀγριαίνουσα

1. κατισχῦσαι] κατισχύσαι *A.* θαρρήσῃ *A*, θαρρήσειεν scripsi. αὐτῷ] αὐτῶ *A.* 8. ἔψοιτο] ἕψεται malim. 13. 14. τῶν παθῶν ὁ λογισμὸς] τῶν παθῶν ὁ παθῶν ὁ λογισμὸς *A.* 18. σκυλεύεις *A*, σκυλεύσεις scripsi. 21. λαφυραγωγήσωμεν *A*, λαφυραγωγήσομεν scripsi. 25. αὐτοὺς *A*, αὐτὸν scripsi. 27. τοῦτο μόνον] τοῦτον μόνον *A.*

θάλασσα αὐτοῖς μὲν εἰς εὐθεῖαν τρίβον ὑπὲρ λόγον κατηυτρέπιστο, τάφος δ' αἰώνιος τοῖς τῶν Αἰγυπτίων ἐπιδιώκουσιν ἀνεῴγνυτο, αὐτοῖς ἵπποις, αὐτοῖς ἅρμασιν, αὐτῷ Φαραώ, τερατουργοῦσα τὸν ὄλεθρον. ἐν οἷς ὁ ἠγαπημένος τῷ θεῷ λαὸς ηὐφράνθη τε καὶ ἠγαλλιάσατο καὶ τῷ στρατηγῷ καὶ νικοποιῷ θεῷ ᾠδὴν ἀνεκρούσατο ἐν χαρᾷ τὴν ἐξόδιον. ἀλλ' οὗτοι πάλιν ἐπειδὰν ὑπεσύρησαν ἀλῶναι γογγυσμῷ καὶ δίχα προστάγματος θεοῦ ἐπὶ πολέμου παρασκευὴν ἐξηρτύσαντο καὶ τὴν ἐν χειρῶν νόμῳ πεποίθησιν τοῦ θείου προτεθεικέναι συνθήματος ἐξηνέχθησαν, κραταιῶς καταπολεμηθέντες ἡττήθησαν, τῷ οἰκείῳ παραπτώματι τῶν ἀντιπάλων τὸ κράτος ὀγκώσαντες καὶ τὸ κλέος ἀνυψώσαντες. πάλιν δὲ νόμῳ θεοῦ στρατηγούμενοι καὶ τοῖς Μωσέως λόγοις πειθαρχούμενοι πολλὰς μὲν τῶν πολεμίων πόλεις ἐξεπόρθησαν, πολλῶν δὲ σωμάτων ἐκράτησαν, πολλὴν δὲ λείαν ἐλαφυραγώγησαν καὶ πολλῆς θυμηδίας καὶ χαρᾶς ἐνεπλήσθησαν. καὶ παρέμεινεν ἂν αὐτοῖς ἡ ἐπὶ τῇ νίκῃ θυμηδία καὶ τέρψις, εἰ μὴ ἀχαριστίᾳ τοὺς ὄφεις καθ' ἑαυτῶν ἐπεστράτευσαν, ἐπεὶ μὴ παρῆν ἔθνος δ' τὴν ἐπὶ τῇ ἀχαριστίᾳ δικαίαν ἀγανάκτησιν τοῦ θεοῦ διὰ ξίφους ἀνεπλήρου καὶ ἀνεδείκνυτο. οὕτω μαστίζεται λαὸς ἁμαρτάνων, ἢ ξίφεσι πολεμίων θεριζόμενοι ἢ θηρίων ὀδοῦσι κατεσθιόμενοι ἢ κλόνῳ γῆς καὶ βρασμῷ βιαίῳ παιδευόμενοι ἢ σκηπτοῖς οὐρανίοις ἀπανθρακούμενοι ἢ καρπῶν ἀφορίᾳ πιεζόμενοι ἢ ἀέρος φθόρῳ συμφθειρόμενοι. καὶ τρόπος κολάσεως οὐκ ἐξαπορεῖται κατάλληλος τῷ τοῦ σφάλματος ἐπιτηδεύματι, καὶ τοῦτό τις διαφυγὼν ἐκείνῳ περιεπάρη, κἀκεῖνο πάλιν ἄλλως ἴσως διαδρὰς ὑπὸ τοῦ ἑτέρου συνηνέχθη, καὶ ὁ παρανόμως βιοὺς καὶ τὰς εὐθύνας ὠφληκὼς τὴν δίκην φυγεῖν οὐ δυνήσεται. τί γάρ μοι δεῖ καταλέγειν τὰ ἐπίλοιπα τοῦ Ἰσραήλ, τὰς κατ' ἐχθρῶν νίκας, ὅτε ἐσωφρόνει, τὰς ἀπροσδοκήτους ἥττας, ὅτε πάλιν παρεφρόνει; τὴν αἰχμαλωσίαν, τὴν ἐπάνοδον, τὴν ἐπανάστασιν, πάλιν τὴν ἀπο-

---

1. εὐθεῖαν] εὐθείαν *A*. 12. πειθαρχούμενοι] πειθαρχοῦντες malim. 22. συμφθειρόμενοι] συνφθειρόμενοι *A*. 25. συνηνέχθη suspectum. 26. ὠφληκὼς] ὀφληκὼς *A*.

κατάστασιν, αὐτὴν τὴν καταστροφὴν τῆς Ἱερουσαλήμ, τὴν ἀνοικοδομὴν πάλιν; ὧν τὰ μὲν χρηστὰ χρησταῖς ἐπήνθει πράξεσι, μοχθηρῶν δὲ ἦσαν εἰσπράξεις τὰ δυσχερῆ. ἔχοντες οὖν, ἀγαπητοί, τὰ ἐφ' ἡμᾶς αὐτοὺς συνενεχθέντα εἰς ἡμῶν αὐτῶν ἐπανόρθωσιν τὰ κατὰ τὸν Ἰσραὴλ πάλαι προϋποδειχθέντα, μισήσωμεν τὴν ἁμαρτίαν καὶ ἀνθεξώμεθα τῶν ἀρετῶν. φύγωμεν τὰ ἐγκύκλια ταῦτα καὶ ψυχοβλαβῆ πλημμελήματα, μέθην, πορνείαν, φθόνον, καταλαλιάν, πλεονεξίαν, ἀδικίαν, ἀλαζονείαν, μισαδελφίαν, τὰ τούτων ἔκγονα, ὡς ἂν καὶ τῆς ἐν πολέμοις τροπαιοφορίας εὐτυχήσωμεν καὶ τῆς οὐρανίου κληροδοσίας μὴ ἀστοχήσωμεν. ἀλλ' ἐπειδὴ τῆς ἀπειλῆς ἐρρύσθημεν καὶ τὴν μάχαιραν διεφύγομεν καὶ παρῆλθεν ἡμᾶς ὁ ὀλοθρευτὴς τῆς μητρὸς τοῦ λόγου τῇ περιβολῇ σκεπασθέντας τε καὶ διασημανθέντας, κοινῇ πάντες σὺν αὐτῇ τῷ ἐξ αὐτῆς τεχθέντι Χριστῷ τῷ θεῷ ἡμῶν εὐχαριστηρίους ᾠδὰς ἀναπέμψωμεν, πᾶς οἶκος ὃς τὸ ξίφος διέφυγεν, ἡλικία πᾶσα, γυναῖκες, παῖδες, νέοι καὶ πρεσβῦται. οἷς γὰρ κοινὸς ὁ ὄλεθρος ἐπεκρέματο, οὗτοι κοινὸν τὸν ὕμνον ἐξοσιοῦν καὶ προσάγειν θεῷ καὶ τῇ τούτου μητρὶ κεχρεωστήκασι. κοινῆς ἐλευθερίας ἀπηλαύσαμεν, κοινὴν τὴν εὐχαριστίαν προσοίσωμεν. εἴπωμεν τῇ μητρὶ τοῦ λόγου καὶ γνώμης εὐθύτητι καὶ ψυχῆς καθαρότητι. «ἡμεῖς τὴν πρὸς σὲ πίστιν καὶ τὸν πόθον ἀδιστάκτως φυλάττομεν· αὐτὴ τὴν σὴν πόλιν, ὡς οἶδας, ὡς βούλει, περίσωσον. ὅπλα σε καὶ τεῖχος καὶ θυρεοὺς καὶ στρατηγὸν αὐτὸν προβαλλόμεθα· αὐτὴ τοῦ λαοῦ σου ὑπερμάχησον. ἡμεῖς σοι τὰς καρδίας καθαράς, ὅση δύναμις, ῥύπου καὶ παθῶν ἑαυτοὺς ἐξαρπάσαντες παραστῆσαι σπουδάσομεν· αὐτὴ τὰς βουλὰς τῶν καθ'

---

4. ὑμῶν *A*, ἡμῶν scripsi. 6. ἀνθεξώμεθα] num vera sit scriptura dubito: quamquam similium formarum exempla praebet Lobeckius in Phryn. p. 721. et ἵνα μισθαποδότην ἕξῃς legitur in Photii Epist. 129 p. 170. 10. ἀστοχήσωμεν] fortasse ἀτυχήσωμεν praeferendum. 14. ἀναπέμψωμεν] ἀναμέλψωμεν malim. 16. πρεσβῦται] πρεσβύται *A*. 19. προσοίσωμεν] de forma v. Lobeck. in Phryn. p. 733. 20. πόθον num sanum sit dubito. 21. φυλάττομεν] φυλάττωμεν aut φυλάξομεν scripserim.

ἡμῶν ἐξωφρυωμένων διασκέδασον. ἂν γάρ τι καὶ παρασφαλῶμεν τῶν ἐπηγγελμένων ἡμῖν, σόν ἐστι τὸ διορθώσασθαι, σόν ἐστι τὸ χεῖρα τοῖς ἐπὶ γόνυ κλιθεῖσι παρασχεῖν καὶ ἀναστῆσαι τοῦ πτώματος». εἴπωμεν ταῦτα τῇ παρθένῳ καὶ μὴ ψευσώμεθα, ἵνα μὴ τῆς καλῆς ἡμῶν ἐλπίδος διαψευσθῶμεν, ἵνα τῆς προσδοκίας μὴ παρασφαλῶμεν, ἵνα σάλου καὶ κυμάτων καὶ ζάλης τῶν ἐν τῷ βίῳ κακῶν ὑπερανασχόντες τῆς σωτηρίας ἡμῶν τῷ λιμένι ἐγκαθορμισθῶμεν καὶ τῆς ἐπουρανίου δόξης καταξιωθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, τῇ ὁμοουσίῳ καὶ ζωαρχικῇ τριάδι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. ἀμήν.

---

1. παρασφαλῶμεν] παρασφάλωμεν *A*. 5. 6. παρασφαλῶμεν] παρασφάλωμεν *A*.

IOHANNIS TZETZAE

IN ARISTOPHANEM PROLEGOMENA

e codice Ambrosiano edita ab H. Keilio

in Mus. Rh. *N. F.* VI p. 110—122.

I. Βίβλος Ἀριστοφάνους Τζέτζην φορέουσ᾽ ὑποφήτην.

1. Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεὺς μεγαλοδωρίαις βασιλικαῖς προτραπέντες Πτολεμαίῳ τῷ Φιλαδέλφῳ τὰς σκηνικὰς διωρθώσαντο βίβλους, τὰς τῆς κωμῳδίας καὶ τραγῳδίας καὶ τὰς τῶν σατύρων φημί, συμπαρόντος αὐτοῖς καὶ συνανορθοῦντος καὶ τοῦ τοιούτου βιβλιοφύλακος τῆς τοσαύτης βιβλιοθήκης Ἐρατοσθένους· ὧν βίβλων τοὺς πίνακας Καλλίμαχος ἀπεγράψατο. Ἀλέξανδρος ὤρθου τὰ τραγικά, Λυκόφρων τὰ κωμικά· νεανίαι ἦσαν Καλλίμαχος καὶ Ἐρατοσθένης. οὗτοι μὲν τὰς σκηνικὰς διωρθώσαντο βίβλους, ὡς τὰς τῶν ποιητῶν ἐπεσκέψαντο Ἀρίσταρχοί τε καὶ Ζηνόδοτοι. ὕστερον δὲ καὶ ταύτας ἁπάσας πολλοὶ ἀνεφάνησαν ὑποφητεύοντες καὶ ἐπεξηγούμενοι, Δίδυμοι, Τρύφωνες, Ἡρωδιανοί,

---

2. 3. μεγαλοδωρίαις βασιλικαῖς] μεγαλοδωρίοις βασιλικοῖς ed.
7. Καλλίμαχος] γρ. σώστρατος manu secunda supra scriptum esse testatur Keilius, qui haec addit: «de Sostrato Nysaeo grammatico, Pompeii magni praeceptore (Strab. XIV p. 650) cogitavit. similiter autem res iudicanda est atque illa, quod Athenodori nomen iis, qui Pisistrato iubente Homeri carmina collegerunt, in Parisino codice ascriptum est.» ὕστερον Καλλίμαχος legitur in Anecd. Paris. vol. 1 p. 6, 15. ac fortasse σώστρατος debetur vocabulo ὕστερον parum perspicue scripto.

Ἀπολλώνιοι, Πτολεμαῖοί τε Ἀσκαλωνῖται καὶ οἱ Κυϑήριοι. πρότερος δὲ ἦν Ζηνόδοτος Ἐφέσιος, πέμπτος δὲ ἢ τέταρτος μετ' αὐτὸν Ἀρίσταρχος, ἄλλη τ' ἄλλων γλῶσσα πολυσπερέων ἀνδρῶν· μεϑ' οὓς καὶ οἱ φιλόσοφοι Πορφύριος, Πλούταρχος, Πρόκλος, ὡς καὶ πρὸ πάντων αὐτῶν καὶ πρὸ τῶν χρόνων τῶν Πτολεμαίων φιλοσόφων ἑτέρων μερὶς οὐ μετρία καὶ ὁ ἐκ Σταγείρων αἰϑέριος νοῦς, ὁ τοῖς νέοις σοφοῖς τοῖς ἀνεγνωκέναι μαϑήματα λέγουσι [τὰς τούτου βίβλους οὕτω κατονομάζουσι] διδάξας τὰς νυκτερίδας λέγειν εἶναι τετράποδας, καὶ ὡς ὀστέον ἔχουσιν αἱ τῶν ἵππων καρδίαι καὶ βοῶν δέ τινων, καὶ ὡς ἕτερον τὸ πῖόν ἐστιν καὶ ἄλλο τὸ πιμελές, καὶ ὅτι τὰ γαμψώνυχα οὐκ ὀχευτικά, τῆς ἱέρακος τεσσαρακοντάκις μιᾷ ῥιπῇ ἐπιβαινομένης, καὶ ὅτι τῶν ὄρνεων βαρὺ καὶ πτητικὸν ἡ περιστερά, καὶ

---

1. Ἀπολλώνιοι] ὁ Ῥόδιος ποιητής supra scr. m. sec. οἱ Κυϑήριοι] Ptolemaeum Cytherium commemorat Suidas, sed ἐποποιόν dicit, qui περὶ ψαλακάνϑης scripserit. interea Suidae locum corruptela laborare probabiliter statuit Meinekius Com. 3 p. 219. Tzetzes grammaticum dicit Ptolemaeum Cytherium: quem dicat inter complures quos novimus Ptolemaeos grammaticos, alii viderint. 2. Ἐφέσιος] ὁ Ἐφέσιος coniecit Keilius. πέμπτος δὲ ἢ τέταρτος] ε̄ δὲ ἢ δ̄ ed.
3. ἄλλη τ' — ἀνδρῶν] utitur Tzetzes verbis Hom. Il. B, 804: ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνϑρώπων. 7. 8. τὰς — κατονομάζουσι] delenda esse haec verba suspicatur Keilius. 9. ὡς ὀστέον ἔχουσιν αἱ τῶν ἵππων καρδίαι καὶ βοῶν δέ τινων] cf. Aristot. de part. anim. III, 4 p. 666 b 17: ἔστι δ' ἀνόστεος (sc. καρδία) πάντων ὅσα καὶ ἡμεῖς τεϑεάμεϑα, πλὴν τῶν ἵππων καὶ γένους τινὸς βοῶν. ὀστέον] ὄστεον ed. 10. ὡς ἕτερον τὸ πῖόν ἐστιν καὶ ἄλλο τὸ πιμελές] respici videtur Aristot. de part. anim. II, 5. 10. 11. ὅτι τὰ γαμψώνυχα οὐκ ὀχευτικά] Aristot. de generat. anim. III, 1 p. 749 b 10: τὰ μὲν γαμψώνυχα οὔτ' ὀχευτικά ἐστιν οὔτε πολύγονα. γαμψώνυχα] γναμψώνυχα ed. 11. ὀχωτικά cod., ὀχευτικά Keilius. ῥιπῇ] ῥυπῇ ed., ῥοπῇ suasit nescio quis in Mus. Rhen. *N. F.* VI. p. 111.
12. ὅτι τῶν ὄρνεων βαρὺ καὶ πτητικὸν ἡ περιστερά] abutitur Tzetzes, nisi fallor, loco Aristot. de generat. anim. III, 1 p. 749 b 11: τὰ δὲ βαρέα καὶ τῶν πτητικῶν ὅσων τὰ σώματα ὀγκώδη, καϑάπερ περιστερᾶς καὶ τῶν τοιούτων.

ὅτι τῶν ἀναίμων οὐδὲν ᾠοτοκεῖ, τοῦ πολύποδος ἀναίμου τε ὄντος καὶ τόσον γόνον ᾠοτοκοῦντος, ὡς ὁ ἐχῖνός τε ᾠὰ πέντε γεννᾷ, ἓν δὲ τὸ ὄστρεον, καὶ ὡς ὀδόντας ἔχει ἡ μέλισσα καὶ ἄλλα ἄττα τοιαῦτα μυρία ἔν τε ϑεωρητικοῖς, πρακτικοῖς καὶ ὀργανικοῖς τούτου συγγράμμασιν· ἃ μόνοις τοῖς ἀνεγνωκέναι βοῶσι μαϑήματα δοκοῦσι ϑεσπέσιά τε εἶναι καὶ ἀτρεκέστατα, ἀπὸ δ' αὐτῶν τῶν ἔργων ἐληλεγμένοις ἢ μηδὲ ὅλως ταῦτα ϑεάσασϑαι ἢ καὶ ϑεασαμένοις καὶ ἀναγνοῦσιν ἀναισϑήτως ἔχειν τὰ μάλιστα· ταῦτα τοῖς τοιούτοις κομψοῖς καὶ οὐρανοβάμοσι σοφά τε καὶ ὄντως ὄντα δοκείτων καὶ ἀληϑέστατα, ἡμῖν δὲ τοῖς περιπεζίοις τε καὶ ὑλαίοις καὶ μηδαμοῦ μηδαμῶς μηδὲ ἓν βιβλιδάριον ἀναγνοῦσι πάντῃ ἔκφυλά τε δοκοῦσι καὶ ἀποδάσμια καὶ ἀληϑείας πορρωτάτω ἐκτρέχοντα καὶ κωμῳδίας ἐπάξια ὡς τρὶς ἄϑλια καὶ τρὶς ταλαίπωρα ἔκγονα φρενὸς ἐξεστηκυίας, πεπαταγμένης καὶ ἀπαγοῦς. δεινὸν γὰρ ἂν εἴη καὶ ἄτοπον, εἰ Εὐριπίδης οὐκ ὢν φιλόσοφος ἐκωμῳδήϑη, σώφρων μᾶλλον εἰπὼν

---

1. ὅτι τῶν ἀναίμων οὐδὲν ᾠοτοκεῖ] Aristot. de generat. anim. II, 1 p. 732 a 28: τῶν δὲ τοιούτων τὰ μὲν ἔναιμα ᾠοτοκεῖ, τὰ δ' ἄναιμα σκωληκοτοκεῖ. 2. ὡς ὁ ἐχῖνός τε ᾠὰ πέντε γεννᾷ] Aristot. de part. anim. IV, 5 p. 680 b 3: ἔχουσι δ' οἱ ἐχῖνοι πάντες ἴσα τε τῷ ἀριϑμῷ τὰ ᾠὰ καὶ περιττά· πέντε γὰρ ἔχουσιν. 3. ὡς ὀδόντας ἔχει ἡ μέλισσα] Aristot. de part. anim. IV, 6 p. 683 a 3: ὅσα δὲ μή ἐστιν αὐτῶν ἐμπροσϑόκεντρα, ὀδόντας ἔχει, τὰ μὲν ἐδωδῆς χάριν, τὰ δὲ τοῦ λαμβάνειν καὶ προσάγεσϑαι τὴν τροφήν, οἷον οἵ τε μύρμηκες καὶ τὸ τῶν μελιττῶν πασῶν γένος. 8. ἀναγνοιοῦσιν ed., ἀναγνοῦσιν vir doctus in Mus. Rhen. *N. F.* VI p. 111. 10. ὑλαίοις] χυδαίοις malim.

11. πάντῃ] πάντα scripsit Keilius, qui πάντῃ in codice legi testatur.

13. τρὶς ἄϑλια καὶ τρὶς ταλαίπωρα] τρισάϑλια καὶ τρισταλαίπωρα ed. cui scribendi generi iam supra p. 67 a nobis improbato et rationes obstant gravissimae et testimonium tituli Christiani C. I. 8668 vol. 4 p. 312. hunc locum apponendum duxi propter unum Bergkium, qui nuper Lyr. p. 719 ed. tert. in Archilochi fr. 129 τὴν τρισοιζύρην πόλιν scripsit. eundem errorem olim commiserat adeo Lobeckius Paral. p. 472, sed dudum ipse correxerat Pathol. elem. I p. 585.

15. σώφρων μᾶλλον εἰπὼν] verba corrupta, quorum medelam desidero.

ὁ πανδαὴς καὶ αἰθέριος καὶ πάντας ἁπλῶς σοφοὺς διασύρων, ψυχὴν ἀθανατωτέραν εἰπὼν καὶ μυρία μυριάκις ἕτερα ἄτοπα, εἰ μὴ κἂν ὡς ἀφιλόσοφος Εὐριπίδης — ἀλλά μοι παρατροχάσαντι τόσον πάλιν ἀναληπτέον τοῦ λόγου τὰ καίρια.

2. αἱ σκηνικαὶ βίβλοι, ὧν καὶ αἱ τῆς κωμῳδίας εἰσίν, ὡς καὶ προλαβὼν πρότερον εἴρηκα, καὶ ὠρθώθησαν καὶ πολλοῖς ἀνδράσιν ἐπεξηγήθησαν, καὶ ἥκιστον ἢ ἐλάχιστον τὸ ἐπιλήψιμον ἔχουσιν.

3. ἐπεὶ δὲ Σαπφὼ σὺ τὴν ἐμὴν ἐθέλεις τὸ νῦν ἐμφιλοχωρῆσαι συγγράμματι καὶ τὴν Γοργὼ δὲ Πειθώ τε καὶ τὴν μεγαλοπρεπεστάτην Πολύμνιαν καὶ Ἀφροδίτην λόγου καὶ Χάριτας περιχορεῦσαι τὸ ἐναρμόνιον,

τοὶ μὲν ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον.

ἱστορία. ἡ Σαπφὼ μελῶν λυρικῶν ὑπῆρχε ποιήτρια Μιτυληναία οὖσα τῷ γένει, Σκαμανδρωνύμου θυγάτηρ· Χάραξος δὲ ἦν αὐτῆς ἀδελφός, ὃς τὴν Ῥοδῶπιν τὴν ἑταιρίδα ἐκ Ξάνθου ὠνήσατο, Ἰάδμονος δούλην ὑπάρχουσαν, σύνδουλον δὲ τοῦ λογοποιοῦ καὶ μυθογράφου Αἰσώπου, καὶ ταύτῃ συνῆν· καὶ τούτου ἕνεκεν ἡ ἀδελφὴ τούτου Σαπφὼ μέλει ἐνὶ τῶν αὐτῆς καθάπτεται οὐ μετρίως ......

ἱστορία. Γοργὼ δὲ θυγάτηρ ἦν Κλεομένους τοῦ Σπαρτιατῶν βασιλέως, γυνὴ δὲ Λεωνίδου ἐκείνου τοῦ βασιλέως καὶ στρατηγοῦ, πάνυ ἐχέφρων καὶ νουνεχής. καὶ γὰρ ἐνναετὴς οὖσα ἔπεισε πατέρα τὸν ἑαυτῆς μὴ πεισθῆναι Ἀρισταγόρᾳ τῷ Ἱστιαίου γαμβρῷ καὶ ἀνεψιῷ,

---

8. τὸ νῦν] τῷ νῦν ed. ἐμφιλοχορῶσαι cod., ἐμφιλοχωρῆσαι v. d. in Mus. Rhen. *N. F.* VI p. 112. 9. Γοργὼ δὲ] Γοργὼ δὲ τὸ Κλεομένους θυγάτριον ed. verba τὸ Κλεομένους θυγάτριον delevi. 10. Πολύμνιαν] Πολυμνίαν ed. 12. τοὶ μὲν — ἄκουσον] cf. Il. A, 76: τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μοι ὄμοσσον. Z, 334 sive Od. σ, 129: τούνεκά τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον. Od. ο, 318 sive ω, 265: ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον. 14. θυγάτηρ] θυγατὴρ ed. 15. Ῥοδῶπιν] Ῥόδωπιν ed. in codice Ῥοδόπην δὲ τὸ ὄρος m. sec. supra scr. 18. post μετρίως in codice ὄχτρὸς legi tradit Keilius, qui δεύτερον scribendum esse coniecit. 19. θυγάτηρ] θυγατὴρ ed. 22. Ἀρισταγόρῳ cod., Ἀρισταγόρᾳ Keilius.

εἰποῦσα· ἀπατήσει σε ὁ ξένος, πάτερ, εἰ μὴ ἀποστῇς ἀπ᾽ αὐτοῦ. καὶ ὕστερον δὲ παρὰ Δημαράτου γράμμα σταλὲν πίνακι κεκηρωμένῳ διὰ φόβον ὁδοφυλάκων δηλοῦν τοῖς Λάκωσι πάντα τὸν Ξέρξου σκοπόν, μηδενὸς δέ τι γνῶναι ἰσχύοντος, αὕτη τοῖς Λάκωσιν εἶπε, καὶ ξέσαντες τὸν κηρὸν εὗρον γράμματα δηλοῦντα τὸν Ξέρξου σκοπόν. τοιαύτη μὲν ἦν ἡ Γοργώ· ὁ δὲ ταύτης πατὴρ Κλεομένης μανεὶς μεληδὸν ἑαυτὸν κατέτεμεν, ἀπὸ κνημῶν ἀπαρξάμενος μέχρι γαστρὸς καὶ ἐντοσθίων αὐτῶν. ἱστορία. ἡ Πειθὼ μία ἐστὶ τῶν Χαρίτων. ἡ Πολύμνια μία ἐστὶ τῶν Μουσῶν. οὕτω μὲν ταῦτα καθ᾽ ἱστορίαν καὶ πραγματικῶς ἔχουσιν· ἐγὼ δὲ χαριεντιζόμενος παρακλιτικῶς οὕτως εἶπον τὰς τέσσαρας χάριτας τοῦ λόγου καὶ ἀρετάς, τήν τε σαφὴν καὶ τὴν συντομίαν τὸ πιθανόν τε καὶ αὐτὴν τὴν μεγαλοπρέπειαν. ὁ γὰρ τῶν ὀνομάτων ἑλληνισμὸς καὶ τῶν λέξεων ἐργάτης τῆς σαφηνείας ἐστίν.

4. περὶ ποιητῶν πολλάκις ὑμῖν ἐδιδάξαμεν καὶ περὶ τῆς ἀγοραίας καὶ ἀγυιάτιδος κωμῳδίας καὶ ἀγυρτίδος, ὅτι γεωργῶν εὕρημα καὶ ὅτι τραγῳδίας μήτηρ ἐστὶ καὶ σατύρων· νῦν δὲ περὶ τῆς λογίμης ὑμῖν κωμῳδίας μοί ἐστι διδακτέον. αὕτη ἡ κωμῳδία τριττή ἐστι, πρώτη, μέση καὶ ὑστέρα· ὧν τῆς μὲν πρώτης ἦν γνώρισμα λοιδορία συμφανὴς καὶ ἀπαρακάλυπτος· τῆς μέσης δὲ καὶ δευτέρας ἦν γνώρισμα τὸ συμβολικωτέρως καὶ μὴ καταδήλως λέγειν τὰ σκώμματα, οἷον τὸν ῥίψασπιν στρατηγὸν ἀετὸν ὄφιν ἀσπίδα κρατήσαντα καὶ δηχθέντα ὑπ᾽ αὐτῆς αὐτὴν ἀπορρῖψαι· ἐχρᾶτο δὲ αὕτη ἡ μέση τοῖς συμβολικοῖς τούτοις σκώμμασιν ὁμοίως ἐπί τε ξένων καὶ πολιτῶν· καὶ ἡ τρίτη δὲ καὶ ὑστέρα συμβολικῶς ὁμοίως ἐχρᾶτο

---

4. μηδένα cod., μηδενὸς Keilius. **7.** μελοδὸν cod., μεληδὸν Keilius. ἀπαρξάμενος] ἀρξάμενος malim. **9.** Πολύμνια] Πολυμνία ed. **10. 11.** παραγκλιτικῶς cod., παρακλιτικῶς Keilius, fortasse παρεγκλιτικῶς praeferendum. **11.** τὰς τέσσαρας — ἀρετάς] cf. Tzetz. Chil. 12, 581 sqq. **16.** ἀγυιάτιδος] ἀγυιατίδος ed. **18.** ἡμῖν cod., ὑμῖν Keilius, qui dubitat an ἡμῖν retinendum et mox pro μοι, quod non satis certo se legisse significarit, καὶ scribendum sit. **23.** δειχθέντα cod., δηχθέντα Keilius. ἀπορρῖψαι] ἀπόρριψαι ed.

τοῖς σκώμμασιν, ἀλλὰ κατὰ δούλων καὶ ξένων, οὐ μέντοι γε κατὰ πολιτῶν· ἤδη γὰρ οἱ πολῖται ἀδικεῖν ἀναιδέστερον ἤρξαντο καὶ οὐκ ἤϑελον παρὰ ποιητῶν τῶν καὶ διδασκάλων καλουμένων ἐλέγχεσϑαι. τῆς οὖν κωμῳδίας τῆς καλουμένης πρώτης πρῶτος καὶ εὑρετὴς γέγονεν ὁ Μεγαρεὺς Σουσαρίων ὁ Τριποδίσκιος, υἱὸς ὢν Φιλίννου, ὃς φαύλῃ γυναικὶ συνοικῶν ἀπολιπούσῃ αὐτὸν Διονυσίων ἠγμένων εἰσελϑὼν εἰς τὸ ϑέατρον τέσσαρα ἰαμβεῖα ταυτὶ ἀνεφϑέγξατο, ἃ μόνα τῶν ἐκείνου συγγραμμάτων φέρονται, τῶν ἄλλων ἁπάντων ἠφανισμένων·

ἀκούετε, λεῴ, Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίννου Μεγαρόϑεν Τριποδίσκιος·
κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ.

οὕτως ἡ πρώτη κωμῳδία τὸ σκῶμμα εἶχεν ἀπαρακάλυπτον· ἐξήρκεσε δὲ τὸ ἀπαρακαλύπτως οὑτωσὶ κωμῳδεῖν μέχρις Εὐπόλιδος. ἐπεὶ δ' οὗτος εἰς Ἀλκιβιάδην τὸν στρατηγὸν ἀπέρριψε σκῶμμα καὶ φανερῶς τὴν τραυλότητα τούτου διελοιδόρησεν, ἔτυχον δὲ τότε καὶ ταῖς τριήρεσιν ὄντες ὡς ναυμαχίας προσδοκωμένης, κελεύει τοῖς στρατιώταις συλλαβεῖν αὐτόν, καὶ ἢ ἅπαξ ἐκβράττουσιν αὐτὸν εἰς τὴν ϑάλατταν καὶ ἀπώλετο, ἢ σχοίνῳ δεδεμένον ἀνάγοντες καὶ κατάγοντες ἦκαν εἰς ϑάλασσαν καὶ τέλος περιέσωσαν τοῦτον τοῦ

---

1. σκώμμασιν] σκώμμασι ed. 5. Φιλίννου] Φιλίνου alibi legitur. 6. ἠγμένων] ἀγομένων malim. 8. φέρονται] ἐφεύρονται cod., in quo ἐφεύρεται correctum est. φέρονται scripsi ex Schol. Dionys. Thr. p. 748, 21 et Anecd. Paris. vol. 1 p. 3, 24. 10 — 13. ἀκούετε — ἄνευ κακοῦ] cf. Meinekius Com. 2 p. 3. 10. λεῴ] λεὼς Keilius, qui λέω in codice legi dicit. 13. εὑρεῖν] sic Diomedes III p. 489, 2 ed. K. Suidas v. οὔτε σὺν πανωλέϑροισιν atque ipse Tzetzes Anecd. Oxon. vol. 3 p. 336. rectius οἰκεῖν Schol. Ar. Lys. 1038. Schol. Dionys. Thr. p. 748, 25. Anecd. Oxon. vol. 4 p. 316, 3. Anecd. Paris. vol. 1 p. 3, 28. Suid. v. τοὖπος. 17. καὶ] ἐπὶ malim. 19. συλλαβεῖν αὐτὸν] haec verba in cod. omissa accesserunt ex Anecd. Paris. vol. 1 p. 7, 11. 21. ἦκαν] ἦσαν ed.

Ἀλκιβιάδου εἰπόντος αὐτῷ «βάπτε με σὺ θυμέλαις, ἐγὼ δέ σε κατακλύσω ὕδασιν ἁλμυρωτάτοις», καὶ ἢ οὑτωσὶ παντελῶς διεφθαρμένος τοῖς κύμασι τῆς τε φανερᾶς καὶ τῆς συμβολικῆς κωμῳδίας ἐπαύθη, ἢ τοῦ τοιούτου θανάτου περισωθεὶς οὐκέτι κωμῳδίαν μετῆλθεν ἀπαρακάλυπτον, ἀλλὰ ψήφισμα θέντος Ἀλκιβιάδου κωμῳδεῖν ἐσχηματισμένως καὶ μὴ προδήλως αὐτός τε ὁ Εὔπολις Κρατῖνός τε καὶ Φερεκράτης καὶ Πλάτων, οὐχ ὁ φιλόσοφος, Ἀριστοφάνης τε σὺν ἑτέροις τὰ συμβολικὰ μετεχειρίσαντο σκώμματα, καὶ ἡ δευτέρα κωμῳδία τῇ Ἀττικῇ ἀνεσκίρτησεν. ὡς δ' ἐπὶ πλέον ἐπεχείρουν οἱ Ἀττικοὶ ἀδικεῖν καὶ οὐδὲ συμβόλοις ἐλέγχεσθαι ἤθελον, ἐψηφίσαντο συμβολικῶς μὲν γίνεσθαι κωμῳδίας, πλὴν κατὰ μόνων δούλων καὶ ξένων, κἀντεῦθεν καὶ ἡ τρίτη κωμῳδία ἐφάνη, ἧς ἦν Φιλήμων καὶ Μένανδρος. ἀλλ' ἐπεὶ τὰς διαφορὰς τῆς λογίμης κωμῳδίας εἰρήκαμεν, λεκτέον ἤδη καὶ πόσα μέρη αὐτῆς.

5. μέρη τῆς κωμῳδίας εἰσὶ τέσσαρα· πρόλογος, μέλος χοροῦ, τρίτον ἐπεισόδιον καὶ τέταρτον ἔξοδος. καὶ πρόλογος μέν ἐστι τὸ μέχρι τοῦ χοροῦ τῆς εἰσόδου· ἡ δὲ ἅμα τῇ εἰσόδῳ τοῦ χοροῦ λεγομένη ῥῆσις μέλος καλεῖται χοροῦ· ἐπεισόδιον δέ ἐστιν μέλος μεταξὺ μελῶν καὶ ῥήσεων δύο χορῶν· ἔξοδος δέ ἐστιν ἡ πρὸς τῷ τέλει τοῦ χοροῦ ῥῆσις. καὶ ταῦτα μέν εἰσι τὰ μέρη τῆς κωμῳδίας· μέρη δὲ παραβάσεως ἑπτά. πρῶτα δὲ τὰ Διονυσίου καὶ Κράτητος καὶ Εὐκλεί-

---

1. 2. βάπτε — ἁλμυρωτάτοις] similiter Anecd. Paris. vol. 1 p. 7, 15: βάπτε με σὺ θυμέλαις, ἐγὼ δέ σε ἁλμυροῖς ὕδασι κατακλύσω. respicitur epigramma in Schol. Aristid. p. 444 traditum, de quo v. Bergkii Lyr. p. 473 ed. alt. 2. ἢ οὕτως ἢ ed., ἢ οὑτωσὶ scripsi. 5. ψήφισμα θέντος] ψηφισμαθέντος ed. 9. ἀνεσκίρτησεν] ἐπεσκίρτησεν coniecit Keilius. ἐπὶ πλέον] ἐπίπλεον ed. 18. μέλος μεταξὺ] μέρος μεταξὺ C. Wachsmuth de Cratete Mall. p. 59. fortasse λόγος μεταξὺ praeferendum coll. Tzetz. in Anecd. Oxon. vol. 3 p. 340, 22. 343, 28. sed μέλος μεταξὺ praebent etiam Anecd. Paris. vol. 1 p. 8, 13.
19. ῥήσεων] ὀρχήσεων coniecit C. Wachsmuth. 21. Διονυσίου] Dionysii μουσικὴν ἱστορίαν respici suspicatur Meinekius Com. 2 p. 1240, Dionysium Zopyrum malit intellegi Keilius Mus. Rhen. *N. F.* VI p. 130. ab utroque dissentit Bergkius in Sophoclis ed. Tauchnitz.

δου ῥητέον μοι, ἔπειτα δὲ τὰ ἡμέτερα ταῦτα σαφῶς ἐκδιδάξοντι. οὐδὲ γὰρ οὐδ' ἁβρὰ τράπεζα μὴ μετὰ τροφῆς ἔνδειαν οὐδὲ γαλήνη μὴ μετὰ τρικυμίας καὶ κλύδωνα οὐδ' ἡ ὡραιότης καὶ ἀρετὴ καὶ χάρις τοῦ λόγου σαφὴν τοσοῦτον οἶδεν εὐφραίνειν, εἰ μὴ μετὰ τὴν κατ' Ἐμπεδοκλέα μελάγκουρον, κατὰ δὲ Τζέτζην τοῦλαν καὶ κερκεσύραν περιεπιστάτην ἀσαφείας· καὶ μᾶλλον εἰ σοφοῖς λόγοις αὐτὴ ἑαυτῇ ἀντιβαίνουσα γίνοιτο ὁτὲ μὲν ἀρνίον, ὁτὲ δὲ τραγίον, ὁτὲ δὲ κόνδουρον ἀειδάριον, καὶ δὴ κριτικωτάταις ἠκροᾶσθε ταῖς ἀκοαῖς. ὁ χορός, φασίν, ὁ κωμικὸς εἰσήγετο τῇ ὀρχήστρᾳ, ἣν καὶ λογεῖον καλοῦμεν, καὶ διαλεγόμενος μὲν τοῖς ὑποκριταῖς μέτροις ἑτέροις πρὸς τὴν σκηνὴν ἑώρα τῆς κωμῳδίας, ἀπελθόντων δὲ τῶν ὑποκριτῶν πρὸς τὸν δῆμον ὁρῶν ἐκ τετραμέτρων ἑκκαίδεκα στίχους ἀναπαίστους ἐφθέγγετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους ἑκκαίδεκα τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο τοῦτο ἀντίστροφος· ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίῤῥημα ἔλεγον. ἡ ὅλη δὲ πάροδος τοῦ χοροῦ καλεῖται παράβασις. ἂν οὖν ὡς ἐκ πόλεως ἐβάδιζε πρὸς τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἀψῖδος ἔβαινεν· εἰ δ' ὡς ἀπ' ἀγροῦ, διὰ τῆς δεξιᾶς ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπῳ, πρὸς μόνους ὁρῶν τοὺς ὑποκριτάς· ὧν ἐξελθόντων ὁ χορὸς ἑπτάκις στρεφόμενος πρὸς ἀμφότερα τὰ μέρη τοῦ δήμου ἑώρα· τὸ δ' ἑπτάστροφον ὄρχημα τοῦτο

---

p. XXXIV. Κράτητος καὶ Εὐκλείδου] cf. Meinek. Com. 2 p. 1240 et H. Iacobi Com. 5 p. CLXI.

1. ἔπειτα δὲ] ἔπειτα καὶ scripsit Keilius. fortasse ἐκδιδάξοντι vitiosum est, cuius loco nescio an ἐκδιδάξονται scribendum sit. 2. εὔδειαν cod., εὐδίαν Keilius, ego ἔνδειαν reposui. 4. σαφὴν] an καὶ σαφῆ leg.? 5. κατ' Ἐμπεδοκλέα μελάγκουρον] spectant haec verba ad Emped. 396: Νημερτής τ' ἐρόεσσα μελάγκουρός τ' Ἀσάφεια. cf. Tzetz. Chil. 12, 574. 5. 6. τοῦλαν καὶ κερκεσύραν περιεπιστάτην] verba obscurissima quo modo interpreter aut emendem non habeo.

6. ἀσαφείας] ἀσάφειαν exspectes. 8. ἀειδούριον ed., ἀειδάριον scripsi. ἠκροᾶσθε] ἀκροᾶσθε malim. 12. ἑκκαίδεκα] ις̄ ed. 17. ἀψῖδος] ἁψῖδος ed. 20. ὄχημα ed., ὄρχημα correxi e Tzetz. Anecd. Oxon. vol. 3 p. 341, 18. olim σχῆμα proposui, quod ipsum praebent Anecd. Paris. vol. 1 p. 8, 18.

παράβασις ἐκαλεῖτο τῷ γένει, καὶ ἡ πρώτη δὲ ὄρχησις ὁμωνύμως τῷ γένει παράβασις, τὸ τρίτον μακρὸν καὶ πνῖγος, τὸ τέταρτον ᾠδὴ καὶ στροφή, τὸ πέμπτον ἐπίρρημα, τὸ ἕκτον ἅμα ἀντῳδὴ καὶ ἀντίστροφος, τὸ δὲ ἕβδομον ἀντεπίρρημα. ταυτὶ μὲν τῶν ἀνδρῶν εἰσὶν ὥνπερ ἔφημεν, κἄνπερ ἡμεῖς συντόμως καὶ ταῦτα καὶ σαφεστέρως εἰρήκειμεν· τὸ ἀρνίον δὲ καὶ τραγίον σκοπεῖτε. τούτοις ἡ στροφὴ καὶ ἀντίστροφος ἀνωτέρω μὲν ἐπίρρημα ἐκαλεῖτο, νῦν δὲ ἡ ᾠδὴ καλεῖται καὶ στροφή, τὸ δὲ μετ᾽ αὐτὴν πέμπτον μέρος ἐπίρρημα, ἡ ἀντῳδὴ δὲ καὶ ἀντίστροφος, ἀντεπίρρημα δὲ τὸ ἕβδομον μέρος· ὥστε συμβαίνειν τὸ ἐπίρρημα πεντώνυμον γίνεσθαι, ἔχειν μὲν τὴν ἑαυτοῦ κλῆσιν, καλεῖσθαι δὲ καὶ στροφὴν καὶ ἀντίστροφον. ἡ δὲ ᾠδὴ κατ᾽ αὐτοὺς καλεῖται καὶ στροφή, ὡς ἡ ἀντῳδὴ καὶ ἀντίστροφος. ἀλλὰ ταῦτα μὲν οἱ κομψοπρεπεῖς ἐξηγηταὶ καὶ διδάσκαλοι· οἷς εἴ που κἂν μιᾶς λέξεως ἀβασανίστως ἐπείσθην, εὐθὺς κατ᾽ αὐτοὺς ἀνηρτημένος μετέωρος ἰκρίων τοῦ ψεύδους ἀρίδηλος γέγονα

τόργοισιν αἰώρημα φοινίοις δέμας·

ὡς ἄρτι ποτὲ τὴν ἐφήβων ἡλικίαν πατῶν καὶ τὸν αἰθέριον ἐξηγούμενος Ὅμηρον, πεισθεὶς Ἡλιοδώρῳ τῷ βδελυρῷ εἶπον συνθεῖναι τὸν Ὅμηρον ἐπὶ Πεισιστράτου ἑβδομήκοντα δύο σοφούς, ὧν ἑβδομήκοντα δύο εἶναι καὶ τὸν Ζηνόδοτον καὶ Ἀρίσταρχον· καίτοι τεσσάρων ἀνδρῶν ἐπὶ Πεισιστράτου συνθέντων τὸν Ὅμηρον, οἵτινές εἰσιν οὗτοι,

---

1. 2. καὶ ἡ πρώτη δὲ ὄρχησις ὁμωνύμως τῷ γένει παράβασις] ὄρχησις ἡ πρώτη τε τὴν κλῆσιν γένους Anecd. Oxon. vol. 3 p. 341, 20. contra Anecd. Paris. vol. 1 p. 8, 16: ἡ μὲν οὖν πρώτη ὄρχησις κομμάτιον ἐλέγετο, ἡ δὲ δευτέρα παράβασις ὁμωνύμως τῷ γένει ἐκαλεῖτο. **6.** δὲ] τε coniecit Keilius. **9.** ἕβδομον] ζ̄ ed. **10.** πεντώνυμον] cf. Anecd. Paris. vol. 1, p. 8, 32. **13.** εἴ που] εἶπου ed. **14.** μιᾶς] μέχρι μιᾶς malim. **16.** τόργοισιν — δέμας] Lycophr. 1080, quod vidit Keilius.

17. τὴν ἔφηβον ἡλικὸν πασῶν edidit Keilius, qui pro ἡλικὸν in codice ἡλιξ̓ esse testatur; τὴν ἐφήβων ἡλικίαν πατῶν scripsi. imitatur Tzetzes Pind. Ol. 1, 115. **17. 18.** ἐξηγούμενος Ὅμηρον] v. Tzetz. Exeg. Il. p. 45 sq. et p. 125. **18.** Ἡλιοδώρῳ] cf. Ritschl *Die Alexandr. Bibl.* p. 146 sq. et H. Keil Mus. Rhen. *N. F.* VI p. 132 sq.

Ἐπικόγκυλος, Ὀνομάκριτος Ἀϑηναῖος, Ζώπυρος Ἡρακλεώτης καὶ Ὀρφεὺς Κροτωνιάτης· Ζηνοδότου δὲ χρόνοις ὑστέροις ἐπὶ τοῦ Φιλαδέλφου αὐτὸν ἀνορϑώσαντος, ἔπειτα δὲ πάλιν τοῦ Ἀριστάρχου. ταῦτα μέν μοι Ἡλιοδώρῳ συμπέπτωκεν· τοῖς δὲ τραγικὰς βίβλους ἐξηγησαμένοις πεισϑείς, οἷς καὶ οὗτοί φασι τὰ αὐτά, εἶπον Ὀρέστην καὶ Ἄλκηστιν Εὐριπίδου καὶ τὴν Σοφοκλέους Ἠλέκτραν εἶναι σατυρικὰ δράματα ὡς ἀπὸ πένϑους εἰς χαρὰν καταλήγοντα, καὶ οὕτω μέτροις καὶ λοιποῖς μου συγγράμμασιν γράφων ἐδίδασκον, ἕως ἀναγνοὺς Εὐριπίδου πολλὰ δράματα εὗρον καὶ ἔγνων τὰ σατυρικὰ δράματα τέρψεις ϑυμελικὰς ἀμιγεῖς καὶ γέλωτα φέροντα. ἐῶ τοὺς πολλοὺς καὶ τοὺς λεξιγράφους ὁμ⌣ ἃ ἠγνόησαν εἴς τε λέξεις τινὰς καὶ ἱστορίας καὶ ἕτερα καὶ τοῦ ποιητοῦ κατεψεύσαντο ὥσπερ καὶ οἱ προκείμενοι ἄνδρες τοῖς περὶ τῶν σκηνικῶν τῶνδε δραμάτων διδάγμασιν, ὡς ἀπ' αὐτῶν τῶν βίβλων ἐλέγχονται. ἀλλὰ παρέντες τὰ περιττά, σαφῶς, συντόμως καὶ ἀληϑῶς καὶ ὡς ὁ νοῦς ἔχει τῆς βίβλου ταῦτα ἐκϑείημεν· πᾶς δὲ ἀληϑείας ἐρῶν κριτικωτάτως βασανιζέτω τὸ σύγγραμμα.

II. Ἑτέρα ἀρχή.

1. Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεὺς ἀλλὰ καὶ Ζηνόδοτος ὁ Ἐφέσιος τῷ Φιλαδέλφῳ Πτολεμαίῳ συνωνηϑέντες βασιλικῶς, ὁ μὲν τὰς τῆς τραγῳδίας, Λυκόφρων δὲ τὰς τῆς κωμῳδίας βίβλους διώρϑωσαν, Ζηνόδοτος δὲ τὰς Ὁμηρείους καὶ τῶν λοιπῶν ποιητῶν. ὁ γὰρ ῥηϑεὶς βασιλεὺς Πτολεμαῖος, ἡ φιλοσοφωτάτη τῷ ὄντι καὶ ϑεία ψυχή, καλοῦ παντὸς καὶ ϑεάματος καὶ ἔργου καὶ λόγου τελῶν ἐπιϑυμητής, ἐπεὶ διὰ Δημητρίου τοῦ Φαληρέως καὶ

---

1. Ἐπικόγκυλος] nomen inauditum et incredibile, de quo multas prolatas vidimus suspiciones, ad ἐπικὸν κύκλον revocandum esse statuit Cramer Anecd. Paris. vol. 1 p. 16. cf. Rothius in Mus. Rhen. *N. F.* VII p. 137. **5.** καὶ οὗτοι] Dionysius, Crates, Euclides dici videntur. **10.** ἐῶ] καὶ ἐῶ coniecit Keilius. **11.** ὁμ⌣ ἃ] Ὁμηρικοὺς ἃ Keilius. vitiosae scripturae emendatio incerta. **18.** ἑτέρα ἀρχή] βίβλος Ἀριστοφάνους Τζέτζην φορέουσ' ὑποφήτην adscr. m. sec.

γερουσίων ἑτέρων ἀνδρῶν δαπάναις βασιλικαῖς ἁπανταχόθεν τὰς βίβλους εἰς Ἀλεξάνδρειαν ἤθροισεν, δυσὶ βιβλιοθήκαις ταύτας ἀπέθετο, ὧν τῆς ἐκτὸς μὲν ἦν ἀριθμὸς τετράκις μύριαι δὶς χίλιαι ὀκτακόσιαι, τῆς δ' ἔσω τῶν ἀνακτόρων καὶ βασιλείου βίβλων μὲν συμμιγῶν ἀριθμὸς τεσσαράκοντα μυριάδες, ἁπλῶν δὲ καὶ ἀμιγῶν βίβλων μυριάδες ἐννέα, ὡς ὁ Καλλίμαχος νεανίσκος ὢν τῆς αὐλῆς ὑστέρως μετὰ τὴν ἀνόρθωσιν τοὺς πίνακας αὐτῶν ἀπεγράψατο. Ἐρατοσθένης δὲ ὁ ἡλικιώτης αὐτοῦ παρὰ τοῦ βασιλέως τὸ τοσοῦτον ἐνεπιστεύθη βιβλοφυλάκιον. ἀλλὰ τὰ Καλλιμάχου καὶ τοῦ Ἐρατοσθένους μετὰ βραχύν τινα χρόνον ἐγένετο τῆς συναγωγῆς τῶν βίβλων, ὡς ἔφην, καὶ διορθώσεως, κἂν ἐπ' αὐτοῦ τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου. τότε δὲ συνηθροισμένων ἁπασῶν τῶν βίβλων τῶν Ἑλληνίδων καὶ ἔθνους παντὸς καὶ σὺν αὐταῖς τῶν Ἑβραίων ἐκεῖνος ὁ ἀφειδὴς βασιλεύς, ὢν ποταμὸς χρυσορόας, ἀλλ' ἑπταστόμως ἐκρέων, τὰς ἐθνικὰς μὲν ὁμογλώσσοις ἐκείνων ἀνδράσι σοφοῖς καὶ ἀκριβῶς ἑλληνίζουσιν εἴς τε γραφὴν ὁμοῦ καὶ γλῶσσαν Ἑλλάδα μετήμειψεν, ὡς καὶ τὰς Ἑβραΐδας δι' ἑβδομήκοντα δύο ἑρμηνευτῶν Ἑβραίων σοφῶν πεφυκότων καθ' ἑκατέραν διάλεκτον. τὰς ἐθνικὰς μὲν οὕτω μετεποίησε βίβλους· τῶν Ἑλληνίδων δὲ βίβλων, ὡς καὶ προλαβὼν ἔφην, τὰς τραγικὰς μὲν διώρθωσε δι' Ἀλεξάνδρου τοῦ Αἰτωλοῦ, τὰς τῆς κωμῳδίας δὲ διὰ Λυκόφρονος, διὰ δὲ Ζηνοδότου τοῦ Ἐφεσίου τὰς τῶν λοιπῶν ποιητῶν. τὰς Ὁμηρείους δὲ κατ' ἐξαίρετον πρὸ διακοσίων καὶ πλειόνων ἐνιαυτῶν Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ τῆς διορθώσεως Ζηνοδότου συντέθεικεν σπουδῇ Πεισίστρατος παρὰ τῶν τεσσάρων τούτων σοφῶν, Ἐπικογκύλου Ὀνομακρίτου τε Ἀθηναίου

3. τετράκις μύριαι δὶς χίλιαι] τετρακισμύριαι δισχίλιαι ed. 3. 4. ὀκτακόσιοι cod., ὀκτακόσιαι Keilius. 4. 5. συμμιγῶν] συμμικῶν cod., συμμίκτων ed. Keilius, qui συμμιγῶν fortasse probabilius esse addidit.
5. ἀμιγῶν] ἀμισγῶν ed. 6. τῆς αὐλῆς ὑστέρως] verba corrupta et fortasse lacunosa. 8. δὲ addidit Keilius. 11. μετ' cod., ἐπ' Keil.
12. ἁπάντων cod., ἁπασῶν Keil. 22. κατ' ἐξαίρετον] κατεξαίρετον ed. 24. Πεισίστρατος] sic ed., πεισιστρα cod. παρὰ delendum esse coniecit Lehrsius. 25. Ἐπικογκύλου] ἐπὶ Κογκύλου ed.

Ζωπύρου τε Ἡρακλεώτου καὶ Κροτωνιάτου Ὀρφέως. οὕτω μὲν ἐν χρόνοις τοῦ Πεισιστράτου τοῖς τέσσαρσι τούτοις σοφοῖς αἱ Ὁμηρικαὶ συγγραφαὶ τεμαχίοις περιφερόμεναι συνετέθησαν καὶ βίβλοι ἐγένοντο. χρόνοις δ', ὡς ἔφην, τοῦ Φιλαδέλφου παρὰ τοῦ Ζηνοδότου ὠρθώθησαν· μετὰ δὲ Ζηνόδοτον Ἀριστάρχῳ πάλιν ὠρθώθησαν τετάρτῳ ἢ πέμπτῳ ἀπὸ Ζηνοδότου τελοῦντι· κἂν ὁ πεφυρμένος καὶ βδελυρὸς Ἡλιόδωρος οὐκ εἰδὼς ὅτι ληρεῖ φύρῃ καὶ πάντα σύμμικτον κυκεῶνα, μᾶλλον δὲ κοπρεῶνα ποιῇ, ἐπὶ Πεισιστράτου τὸν Ὅμηρον συντεθῆναι καὶ ὀρθωθῆναι ληρῶν παρὰ τῶν ἑβδήμοντα δύο, ἐπεκκριθῆναι δὲ πάντων τὴν Ζηνοδότου καὶ Ἀριστάρχου σύνθεσίν τε καὶ διόρθωσιν, καὶ ἡμᾶς ἔτι νεάζοντας καὶ πρώτους ὑπηνήτας τελοῦντας ἔπεισεν οὑτωσί που ἐξηγουμένους τὸν Ὅμηρον, ὡς καὶ ἕτεροί τινες κομψοὶ καὶ αἰθεροβάμονες, οἷς ἂν καὶ μέχρι μιᾶς λέξεως ἀβασανίστως ἐπείσθην, καὶ μὴ ἐκ τοῦ κειμένου τῆς παλαιᾶς βιβλίου τὸ ἀληθὲς ἀπηκρίβωσα, κατ' ἐκείνους παραληρῶν ἐφαινόμην, ἀλλ' ἅπαξ καὶ δὶς τοῦτο παθὼν τῷ νεάζοντι, τῷ πάθει μάθος ἐθέμην· καὶ τούτους μὲν ἥγημαι κομψοὺς αἰθερίους, αὐτὸς δὲ ἐκ τῶν κειμένων ἀνθέων τῶν βίβλων ὥσπερ τις μέλισσα φιλεργὸς ὁποῖα δυναίμην σιμβλοποιῶ, οἶμαι δὲ καὶ τῷ μέλιτι πολλοὺς διεκτρέφω. κἂν μυῖαί τινες δυσμενεῖς, ὡς οὐδὲ τῷ Ἀττικῷ οὐδὲ τούτῳ ἵζησαι δυνάμεναι, ὅμως λάθρᾳ σὺν ὁμοτρόποις περιπτάμεναι περιβομβοῦ-

---

6. πέμπτῳ] ε̄ ed. καὶ ὁ πεφυρμένος ed., κἂν ὁ πεφυρμένος correxi. **9.** ἑβδομήκοντα δύο] οβ̄ ed. **10.** ἐπεκκριθῆναι] ἐπεκριθῆναι. ed. an ἐγκριθῆναι legendum? **12.** οὕτως ἔτι που ed., οὕτως ἐτπ̆ cod., οὑτωσί που scripsi. **14.** ἀβανίστως cod., ἀβασανίστως Keilius. cf. p. 241, 14. τῆς παλαιᾶς] haec verba vitio laborare videntur. Keilius quod sequitur βιβλίου in βίβλου mutavit. **16.** τοῦτο] ταὐτὸ Keilius. **16. 17.** τῷ πάθει μάθος ἐθέμην] flosculus delibatus ex Aesch. Agam. 177: τῷ (τὸν Porsonus) πάθει μάθος θέντα κυρίως ἔχειν. cf. Tzetz. Epist. 41 p. 36: τῷ πάθει μάθος τιθεὶς ἐφρένωσα ἐμαυτόν. Schol. Tzetz. in Anecd. Oxon. vol. 3 p. 381, 17: Ἕκτωρ δὲ τῷ πάθει θέμενος μάθος.

18. φιλεργὸς] φίλεργος ed. **20.** δυσμενεῖς] δυσγενεῖς in codice correctum, quam scripturam fortasse recte praetulit Keilius.

σιν ἀνήκουστά τε καὶ παράληρα — ἀλλά μοι τόσον τροχάσαντι ἀναληπτέον πάλιν τοῦ λόγου τὰ καίρια.

2. περὶ ποιητῶν πολλάκις ὑμῖν ἐδιδάξαμεν καὶ διαρκῶς ἕκαστα ἐξεπίστασθε εἴδη τε τούτων καὶ τὰ γνωρίσματα τῶν σκηνικῶν τε τοὺς χοροὺς ἐκ πόσων ἀνδρῶν καὶ τί ἑκάστῳ τὸ δῶρον, καὶ πῶς ἐφευρέθησαν, καὶ διὰ τί λέγονται δράματα καὶ οὐ γράμματα. ἀλλὰ καὶ νῦν ἐπιδρομάδην τῶν σκηνικῶν ποιημάτων τὰ καίρια διδακτέον μοι, ἵνα καὶ ψώραν ἐξηγητῶν ταῖς διαφοραῖς ἐκκαθάρωμεν καὶ τὸ Διονυσίου τε καὶ Εὐκλείδου καὶ Κράτητος σκολίως καὶ πεφυρμένως καὶ ἀπαρατηρήτως γραφὲν εἰς τὸ περὶ μερῶν κωμῳδίας καὶ παραβάσεως εὐθυτάτως τε καὶ ἀφύρτως μετ' ἐπιστάσεως σαφῶς παραστήσαιμεν κατά τε τὴν πρᾶξιν αὐτὴν καὶ τὸν νοῦν τῶν βιβλίων καὶ τὴν ἀλήθειαν. καὶ δὴ πρῶτον ἀρκτέον μοι λέγειν τὰς διαφοράς.

3. ἡ κωμῳδία μεμιγμένον τοῖς σκώμμασιν εἶχε τὸν γέλωτα· ἡ τραγῳδία πένθη καὶ συμφοράς· ἡ σατυρικὴ δὲ ποίησις οὐκ ἀπὸ πένθους εἰς χαρὰν καταντᾷ, ὡς Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις καὶ ἡ τοῦ Σοφοκλέους Ἠλέκτρα, ὡς κἀμὲ οἱ ἀσκέπτως ληροῦντες ἐξηγηταὶ καὶ γράψαι καὶ διδάξαι ἠπάτησαν, ἀλλ' ἀμιγῆ καὶ χαρίεντα καὶ θυμελικὸν ἔχει γέλωτα, οἷον Ἡρακλῆς πραθεὶς τῷ Συλεῖ γεωργὸς δοῦλος ἐστάλη εἰς τὸν ἀγρὸν τὸν ἀμπελῶνα ἐργάσασθαι· ἀνεσπακὼς δὲ δικέλλῃ προρρίζους τὰς ἀμπέλους ἁπάσας νωτοφορήσας τε αὐτὰς εἰς τὸ οἴκημα τοῦ ἀγροῦ ψωμοὺς μεγάλους ἐποίησε τὸν κρείττω τε τῶν βοῶν θύσας κατεθοινᾶτο καὶ τὸν πιθεῶνα δὲ διαρρήξας καὶ τὸν κάλλιστον πίθον ἀποπωμάσας τὰς θύρας τε ὡς

---

1. τροχάσαντι] παρατροχάσαντι Keilius. 6. καὶ διὰ τί] καὶ ὅτι ed. Keilius, qui addit litteras non satis potuisse se dignoscere, fortasse καὶ διὰ τί in codice legi. 11. 12. παραστήσαιμεν] παραστήσωμεν Keilius.

14. σκώμμασιν] σκώμμασι ed. 20. γεωργὸς] ὡς γεωργὸς Anecd. Paris. vol. 1 p. 7, 29. ἐστάλη] ἔσταλται Anecd. Par. 21. ἁπάσας om. Anecd. Par. 22. οἴκημα] οἴκημα γεωργοῦ Anecd.Par. ψωμοὺς] ἄρτους τε Anecd. Par. 23. τῶν κρείττω τε cod., τὸν κρείττω τε Keilius, καὶ τὸν κρείττω Anecd. Par. κατεθοινᾶτο et δὲ om. Anecd. Par. 24. ἀποπωμώσας ed., ἀποπωμάσας Anecd. Par.

τράπεζαν ϑεὶς ἤσϑιε καὶ ἔπινεν ᾄδων, καὶ τῷ προεστῶτι δὲ τοῦ ἀγροῦ δριμὺ ἐνορῶν φέρειν ἐκέλευεν ὡραῖά τε καὶ πλακοῦντας, καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέψας τὰ πάντα κατέκλυσεν ὁ δοῦλος καὶ ὀρ...... ὁ τεχνικώτατος γεωργός. τοιαῦτα τὰ σατυρικὰ δράματα, οὐχ οἷα γράφουσιν οἱ ἀσκέπτως ληροῦντες καὶ ἐμὲ αὐτὸν ἀπατήσαντες. ἀλλὰ ῥητέον καὶ τί τῷ βίῳ ταῦτα λυσιτελεῖ. ἡ τραγῳδία λύει τὸν βίον, ἡ κωμῳδία δὲ συνιστᾷ, ϑυμελικοῖς δὲ τοιούτοις οἱ σάτυροι καϑηδύνουσι. λυρικοὶ δὲ οἱ καὶ κυκλικοὶ καὶ διϑύραμβοι ἢ ᾖνουν κυδαίνοντες ἀϑλητὰς ἀγῶσι νικῶντας ἢ ὕμνουν Διόνυσον ἢ καὶ ἑτέρους ϑεούς. ἐπεὶ τοσαῦτα σαφῶς ἡμῖν καὶ συντόμως ἐρρήϑη, φέρε καὶ ὅπως ταῦτα τὰ δράματα ἐδιδάσκετο διδακτέον μοι.

4. πρῶτον μὲν ἐν ἐαρινῷ καιρῷ πολυαναλώτοις δαπάναις κατεσκευάζετο ἡ σκηνὴ τριωρόφοις οἰκοδομήμασι, πεποικιλμένη παραπετάσμασι καὶ ὀϑόναις λευκαῖς καὶ μελαίναις βύρσαις τε παταγούσαις καὶ χειροτινάκτῳ πυρὶ ὀρύγμασί τε καταγείοις καὶ ὑπογείοις καὶ ὑδάτων δεξαμεναῖς εἰς τύπον ϑαλάσσης ταρτάρου ᾅδου κεραυνῶν καὶ βροντῶν, γῆς καὶ νυκτός, οὐρανοῦ ἡμέρας καὶ ἀνακτόρων καὶ πάντων ἁπλῶς· αὐλάς τε οὐ μικρὰς εἶχεν ἐξειργασμένας καὶ ἁψῖδας εἰς τύπον ὁδῶν. διὰ μὲν οὖν ἀριστερᾶς ἁψῖδος ἐχώρουν, ἂν ὡς ἐκ πόλεως ἦσαν ὁδεύοντες ὡς πρὸς ἀγροὺς καὶ ϑέατρα· ἂν δὲ πρὸς πόλιν ὡς ἐκ ϑεάτρων ἢ ἀπ' ἀγροῦ, διὰ δεξιᾶς. τοιαύτη μὲν ἡ τῆς σκηνῆς ἐργασία.

---

1. ἤσϑιε καὶ] ἦσϑε καὶ ed., ἤσϑιέ τε καὶ Anecd. Par. ἀδὼν ed., ᾄδων Anecd. Par. 4. ὀρ......] ὀργιάζει coniecit Keilius. 7. τὲ cod., δὲ Keilius. 8. τοιούτοις] χαριεντισμοῖς excidisse suspicor, cf. Anecd. Paris. vol. 1 p. 8, 5. οἱ καὶ] sic recte cod., οἳ καὶ Keilius. 9. ᾖνουν] ἐπῄνουν malim cum Anecd. Par. vol. 1 p. 8, 7. 16. καταγαίοις ed., καταγείοις Anecd. Par. vol. 1 p. 9, 6. ὑπογείοις] ὑπογαίοις ed. 18. ἀνακτόροις cod., ἀνακτόρων Keilius cum Anecd. Par. 20. ἀψῖδας ed., ἁψῖδας Anecd. Par. ἀψῖδος ed., ἁψῖδος Anecd. Par. ἂν] εἰ Anecd. Par. 21. καὶ ϑέατρα] ἢ ϑέατρα Anecd. Par. 22. ϑεάτρων] ϑεάτρου Anecd. Par. τοιαῦτα ed., τοιαύτη Anecd. Par.

5. τὰ σκηνικὰ δ' ἀπ' αὐτῆς καλούμενα δράματα καὶ πρακτικῶς ἐτελεῖτο καὶ λογικῶς. σύστασις δὲ τούτων ὑπῆρχε τὰ τῶν ὑποκριτῶν πρόσωπα· πρόσωπα δὲ τοῖς μὲν τραγικοῖς καὶ σατυρικοῖς ἀνὰ δέκα ἓξ ἦσαν, ὁ κωμικὸς δὲ εἶχεν εἴκοσι τέσσαρα· ἃ πρόσωπα ὑποκριτικὰ τῶν τριῶν σκηνικῶν ποιημάτων τὰ οἰκεῖα τῷ καθ' ἐνὶ αὐτῶν καὶ οἰκείῳ ἠθροισμένως τι δρῶντα χορὸς ἐκαλεῖτο. διαιρεθεὶς δὲ ὁ χορὸς εἰς μὲν τμήματα δύο ἡμιχόρια ὠνομάζετο, παραχρηστικῶς δὲ καὶ χορός· εἰ δὲ εἰς ἕνα ἕνα ἐτμήθη καὶ μερικόν, ὑποκριταὶ ἁπλῶς ἐκαλοῦντο κοινῷ τῷ ὀνόματι διὰ τὸ μὴ δύνασθαι μιᾷ κλήσει περιληφθῆναι ὡς ὁ χορὸς καὶ τὰ ἡμιχόρια. διαιροῦνται γὰρ τὰ μερικὰ ταῦτα εἰς πολλά· εἰς προλογίζοντας, εἰς ἄγγελον, εἰς ἐξάγγελον, εἰς κατασκόπους, εἰς φύλακας, εἰς ἥρωας, εἰς θεούς, εἰς ἄλλα μυρία. τούτων οὖν τῶν προσώπων τὸ ὅλον ἄθροισμα, ὃ καὶ χορὸς ἐκαλεῖτο, εἰσελθὸν εἰς τὴν ὀρχήστραν, ἣν ἔφασαν καὶ λογεῖον — τὴν δὲ εἰσέλευσιν ταύτην οὐ μέλον ἐστί μοι ὅπως ἂν καὶ καλέσειας, εἴτε εἴσοδον ἢ εἰσέλευσιν ἢ ἐπήλυσιν ἢ ἐπίβασιν ἢ πάροδον ἢ παράβασιν ἢ ἄλλως πως σημαίνων ταὐτό — εἰσελθὸν οὖν καὶ παραβὰν εἰς τὴν ὀρχήστραν τοῦτο τὸ σύστημα πᾶν, ὃ καὶ χορὸς ἐκαλεῖτο, πρὸς τοὺς ὑποκριτὰς λόγους ποιούμενον τὸ πρόσωπον βλέπον εἶχε πρὸς τὴν σκηνήν· ἐξελθόντων δὲ τῶν ὑποκριτῶν πρὸς τὸ τοῦ δήμου μέρος ἐστρέφετο ἢ τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν καὶ πάλιν ἀντεστρέφετο πρὸς τὸ ἕτερον καὶ ἔλεγέ τι ἑκατέροις τοῖς μέρεσιν, εἶτα ἐξήρχετο, καὶ τέλος τὸ δρᾶμα ἐλάμβανε. ταῦτα μὲν ἦσαν πρακτικὰ τέσσαρα μέρη τοῦ

---

4. δέκα ἕξ] δεκαὲξ ed. εἴκοσι τέσσαρα] $\overline{\kappa\delta}$ ed. ἃ] ἃ δὴ Anecd. Par. vol. 1 p. 9, 16. **5. 6.** τὰ οἰκεῖα — οἰκείῳ] pro καθ' ἐνὶ saltem καθενὶ exspectes; verum cetera quoque laborant. **6.** ἠθροισμένως τι δρῶντα] ἠθροισμένα δρῶντα ἤ Anecd. Paris. **7.** μὲν om. Anecd. Par. **8.** εἰς ἕνα ἕνα ἐτμήθη καὶ μερικόν] καθ' ἕνα ἐτέμνετο Anecd. Par. **10.** περιληφθῆναι] περιειλῆφθαι Anecd. Par. **11.** εἰς πόσα ed., εἰς πολλά Anecd. Par. **11. 12.** εἰς ἄγγελον, εἰς ἐξάγγελον] εἰς ἀγγέλους, εἰς ἐξαγγέλους Anecd. Par. **12.** εἰς ἄλλα] καὶ εἰς ἄλλα Anecd. Par. **19.** λόγους] τὸν λόγον Anecd. Par. vol. 1 p. 9, 29. **20.** ἐστέφετο ed., ἐστρέφετο Anecd. Par. **23.** τέσσαρα] $\overline{\delta}$ ed.

δράματος, ἡ παράβασις, ἡ στροφή, ἡ ἀντίστροφος καὶ ἡ ἔξοδος· καὶ λογικὰ μέρη αὐτῆς τέσσαρα, ἀντὶ παραβάσεως ἤγουν πρώτης βάσεως πρόλογος, καὶ ἀντὶ τῆς στροφῆς καὶ τῆς ἀντιστρόφου λόγια καὶ ᾠδὰς καὶ ἀντῳδὰς ἢ ἐπιρρήματα καὶ ἀντεπιρρήματα εἴποις, οὐ διαμάχομαι· καὶ ἡ ἔξοδος ἡ ᾠδὴ καὶ τὸ ῥῆμα τοῦ δράματος τὸ ἐπιτελεύτιον, ἃ οἱ αἰθέριοι καὶ οὐρανοβάμονες λαλοῦσιν ὥσπερ λαλοῦσιν· ἔχετε δὲ ταῦτα τῷ ἐαθέντι μοι προοιμίῳ, ἀλλὰ μακρὰν αὐτῶν ἀποτρέχοιτε, μὴ καὶ ἀκοὰς ὑμῶν καὶ ψυχὰς λυμανθείητε. ταῦτα μὲν τὰ τέσσαρα μέρη πρακτικῶς τε καὶ λογικῶς τῶν δραματικῶν ποιημάτων ὑπῆρχεν. τῶν δὲ λυρικῶν συγγραμμάτων τρία ἦσαν τὰ μέρη, στροφικὸν καὶ ἀντιστροφικὸν λόγια, ἑκάτερον ἑκατέρῳ ἰσαρίθμους ἔχον τοὺς στίχους καὶ μέτρων τῶν αὐτῶν· πρὸς τοῖς στροφικοῖς δὲ καὶ ἀντιστροφικοῖς τρίτον ἦν μέρος τὸ ἐπῳδικὸν λόγιον, ὁμωνύμως καὶ ταῦτα λεγόμενα τοῖς ἑαυτῶν πρακτικοῖς, τῇ τε στροφῇ καὶ ἀντιστρόφῳ καὶ ἐπῳδῷ ἤτοι ἐξόδῳ καὶ ἐξελεύσει καὶ ἐπιλόγῳ. καὶ γὰρ καὶ οἱ λυρικοὶ πρὸς ἑκάτερον μέρος τοῦ δήμου ὁρῶντες ἐφθέγγοντο τὰ ποιήματα καὶ τέλει τοῦ δράματος μέλλοντος παύεσθαι τὸν ἐπῳδὸν ἐφθέγγοντο, ἤτοι τὴν ὑστέραν ᾠδήν τε καὶ τὸν ἐπίλογον, εἰς εὐχὰς τὸ πλεῖστον αὐτὸ περικλείοντες. προοίμιον δὲ τούτοις οὐκ ἦν ὡς ἐκείνοις, ὅτι ἅμα τῷ εἰσελθεῖν εἰς τὸ θέατρον πρὸς τὸν δῆμον στραφέντες ἅμα τὸ αὐτὸ ἔλεγον καὶ στροφὴν καὶ

---

2. τέσσαρα] δ̄ ed. 2. 3. ἀντιπαράβασις ἤγουν πρώτως, δευτέρως πρόλογος ed., ἀντὶ παραβάσεως ἤγουν πρώτης βάσεως πρόλογος Anecd. Par. 3. 4. καὶ ἀντὶ — ἀντεπιρρήματα] ἀντὶ δὲ στροφῆς καὶ ἀντιστρόφου ᾠδὴ καὶ ἀντῳδή, ἐπίρρημα καὶ ἀντεπίρρημα Anecd. Par. vol. 1 p. 10, 1. 4. καὶ ἀντεπιρρήματα] «ante καὶ vocabulum, a quo nova pagina initium capit, alterum καὶ in extrema altera pagina add. cod.» Keil. 5. 6. καὶ ἡ ἔξοδος — τὸ ἐπιτελεύτιον] ἀντὶ δὲ ἐξόδου ᾠδὴ καὶ ῥῆμα ἐξιτήριον Anecd. Par. 7. ἐαθέντι] ἐκτεθέντι temptabam, at ne sic quidem locus sanatus est. 9. τέσσαρα] δ̄ ed. πρακτικῶς τε καὶ λογικῶς] πρακτικὰ καὶ λογικὰ Anecd. Par. 14. ὡμονύμως cod., ὁμωνύμως Keilius. 16. οὐδαμοῦ cod., τοῦ δήμου Keilius cum Anecd. Par. 19. αὐτὸν cod., αὐτῶν Anecd. Par., αὐτὸ scripsi.

προοίμιον. ἕνεκα μὲν τῶν εὐχαρίστων ταῦτα ἐγράφη μοι· ἀποδρεπέσθεσαν δὲ καὶ ὑμεῖς τούτων, γεννήματα ἐχιδνῶν καὶ ἀχάριστοι. φάμενοι δὲ καὶ τὸ γένος τοῦ ποιητοῦ καὶ τὸν σκοπὸν τοῦ δράματος, χωρίσωμεν ἐπὶ τὴν τοῦ κειμένου σαφὴν καὶ σχολίων τινῶν ἀναπλήρωσιν.

Subiungimus hoc loco quae ex Iohannis Tzetzae commentariis Aristophanicis, qui eidem codici Ambrosiano insunt, publici iuris fecit H. Keilius in Mus. Rhen. *F. N.* VI p. 616—618.

Tzetz. in Ar. Nub. 1178: ἕνην, ὡς πάλιν πρώτην μονάδα, νέαν ὡς ἀρχηγὸν ἑτέρου κύκλου οὖσαν,

οὕνεκεν ὀλλυμένη περ ἀέλπτως γίνεται αὖτις,

ὡς Ὀρφεὺς ἐν ἐφημερίσι φησίν.

Tzetz. in Ar. Ran. 35: κατάβα πανοῦργος. κατάβηθι λέγεται· τὸ χ̄ δὲ γράφεται, ὅτι οὗτος ξενοτέρως ἀντὶ τοῦ κατάβηθι κατάβα εἶπεν. ὁ δὲ Τζέτζης Δωρικῶς φησι κατάβαθι· οἱ γὰρ Δωριεῖς κατάβαθι λέγουσι καὶ ἀποκοπῇ κατάβα, ὥσπερ ὁ Βελλεροφῶν Πελοποννασιστὶ λαλεῦμες.

---

1. 2. ἀποδρεπέσθεσαν] sic cod., ἀποδρέπεσθε substituit Keilius, qui dubitat an ἀποδρεπέσθωσαν Tzetzes scripserit. mihi et ipsi ἀποδρεπέσθωσαν probabilius videtur, quod ferri poterit, si ὑμεῖς τούτων in οἱ μὴ τοιοῦτοι mutaris. 9. ἕνη cod., ἕνην Keilius. 11. οὕνεκεν — αὖτις] versus Orphicus hoc uno loco tradi videtur. αὖτις] αὖθις ed. 12. Ὀρφεὺς ἐν ἐφημερίσι] cf. Lobeck. Aglaoph. p. 415. 428.

14. ξενοτέρως] mutare hanc formam non ausim, quamquam alia exempla desidero: sed nota sunt quae de comparativis κενότερος et στενότερος tradunt veteres grammatici, quorum testimonia calidius sprevit Meinekius Vind. Strab. p. 200. 16. 17. ὥσπερ — λαλεῦμες] Theocr. 15, 92. ὥσπερ] ὡς καὶ Theocr. Βελλεροφῶν] Βελλερόφων ed. Πελοποννασιστὶ] πελοποννασπὶ ed.

Tzetz. in Ar. Ran. 904: ἀλινδήθρας ἐπῶν] — — ταῦτα κατὰ ῥητόν εἰσι τῶν παλαιῶν· διὰ τοῦτο καὶ ἐκτὸς τὰς κορωνίδας παρεγγράφω, καὶ τὰ λοιπὰ ἐκ τῶν παλαιῶν νόει. μάταιος γὰρ ἂν εἴην καὶ ἀνάλγητος ἄνθρωπος, εἴπερ αὐτὸς μὲν ἱδρῶσι καὶ πόνοις γράφω πολλὰ συντελῆ καὶ λυσιτελέστατα, ὡς κἂν βραχείας ἐπιτυχὴς γινοίμην εὐχαριστίας, σὺ δὲ πολύ μοι ἐναντίας δίδως τὰς ἀμοιβάς.

Tzetz. in Ar. Ran. 931: ἐν νυξὶ καὶ οὐκ ἐν ἡμέραις σκοπεῖ, ὅτι διὰ τὴν τῶν θορύβων ἐν νυξὶν ἠρεμίαν αἱ ψυχικαὶ δυνάμεις ὀξύτεραι πρὸς νοητῶν ἀντιλήψεις, ὅθεν ἀρίστως καὶ Φωκυλίδης

νυκτὸς βουλεύειν, νυκτὸς δέ τοι ὀξυτέρη φρήν.

Tzetz. in Ar. Ran. 1225: Σιδώνιόν ποτ' ἄστυ. δευτέρου Φρίξου τοῦτό τινες ἀρχὴν εἶναι λέγουσι, ψεύδονται δέ· τοῦ γὰρ πρώτου Φρίξου τοῦτό ἐστιν ἀρχή, δευτέρου δὲ Φρίξου ἀρχή·

εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ
καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν.

κἂν οὐδὲν τούτων τῶν ψυχρῶν ἐνθαδὶ τεθειμένων ἐγίνωσκον, τίς ἡ λύμη; κἂν εἰ μὴ τυχαίως προεσχεδίασα ταῦτα, οὐδὲν ἂν ἐγίνωσκον τούτων, καίτοι σχεδὸν τὰ λοιπὰ τῶν λόγου ἀξίων εἰδὼς ἀπὸ στόματος. τέως τοῦτο ἀρχὴ τοῦ πρώτου Φρίξου ἐστί·

Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών,
Ἀγήνορος παῖς, ἦλθε Θηβαίαν χθόνα
Φοῖνιξ πεφυκώς, ἐκ δ' ἀμείβεται γένος
Ἑλληνικόν, Διρκαῖον οἰκήσας πέδον.
ἣ δ' ἦλθ' ἀνάγκῃ πεδία Φοινίκης λιπών,
λέγοιμ' ἄν. ἦσαν τρεῖς Ἀγήνορος κόροι.

---

9. Φωκυλίδης] v. Bergk. Lyr. p. 359 ed. alt. 14. 15. εἰ μὲν — ἐναυστόλουν] Eur. fr. 818. 14. ἦμαρ] ἧμαρ ed. 16. ψυχρῶν] ψυχρῶς coniecit Keilius. τηθειμένων cod., τεθειμένων Keilius. 18. ἐπὶ ed., ἀπὸ scripsi. 20 — 25. Σιδώνιόν ποτ' — Ἀγήνορος κόροι] Eur. fr. 816. 22. Φοῖνιξ] Φοίνιξ ed. 23. οἰκήσας] οἰκίσας malim. 24. ἦλθεν cod., ἦλθ' Keilius.

πρώτου μὲν Φρίξου τοῦτο ἀρχή. τοῦ δὲ δευτέρου Φρίξου ἀρχὴ αὕτη·

εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ
καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν.

καὶ τί δεῖ μακρηγορεῖν; πολλάκις τῇδε ὁ κωμικὸς φλυαρεῖ μέχρι τέλους.

Tzetz. in Ar. Ran. 1320: οἰνάνθας γάνος. οἱ παλαιοὶ παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου οἰνάνθας τε τρέφει τὸν ἱερὸν βότρυν· δοκῶ δὲ προσφυέστερον καὶ πλησιαίτερον εἶναι τὸ ἐν Φοινίσσαις· οἶνα θ' ἃ καθαμέριον στάζεις τὸν πολύκαρπον οἰνάνθας.

Tzetz. in Ar. Ran. 1328: ἐμοὶ δὲ νῦν θαυμάζειν ἔπεισι πάνυ πῶς οἱ σχολιοφράφοι οὗτοι οἱ παλαιοὶ ὄπισθεν ἐν λόγοις σπουδαίοις καὶ ἀξιηγήτοις τῷ ὄντι βραχύ τι φθεγξάμενοι ἢ καὶ οὐδέν, νῦν ὅτε τράγον οὗτος ἀμέλγει, ὑποτιθέασιν οὗτοι κόσκινα, τὸ ἐκ τοῦ τράγου ἀμελχθησόμενον γάλα συνέξοντες, καὶ βοῶσι καὶ παταγοῦσι διδάσκοντες πῶς δεῖ τοῦτο ταλάροις τισὶ καὶ θρέψαι καὶ ἐκτυρῶσαι. ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι, ἀλιτηρίῳ ἀνθρώπῳ εἰκαῖα ληροῦντι πείθεσθε καὶ συμπεριφέρεσθε. νὴ τὴν ἀλήθειαν, εἰ μέλη παρεθέμην θρηνώδη τινὰ Εὐριπίδου, ἐς δάκρυα ἂν ὑμᾶς παρεκίνησα· καὶ τῆς σαφηνείας ὁ ἄνθρωπος καὶ τῆς δεξιωτάτης ἑνὸς ἑκάστου δράματος ἀφηγήσεως καὶ προοιμίων καὶ τῶν λοιπῶν μερῶν οὐ μόνον ἐστὶν οὐ κατάμομφος, ἀλλὰ καὶ ἀξιεπαίνετος. ὁ Αἰσχύλος

---

4. μακρηγορεῖν; πολλάκις τῇδε] μακρηγορεῖν πολλάκις; τῇδε ed.
7. οἰνάνθας — βότρυν] Eur. fr. 765. οἰνάνθας] οἰνάντας ed.
8. πλησιαίτερον] πλησίαστερον ed. fortasse πλησιέστερον scribendum, qua de forma dixi in Observ. crit. de trag. Graec. fragm. p. 6. ubi addas Topogr. Christ. I p. 119 C. τὸ] τὰ ed. ἐν Φοινίσσαις] Eur. Phoen. 229: οἶνα θ', ἃ καθαμέριον στάζεις τὸν πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν. ubi στάζεις genuinum esse non crediderim; fortasse καθαμέριον περκάζεις πολύκαρπον Euripides scripsit. 15. θρέξαι ed., θρέψαι scripsi. 15. 16. ὦ πλεῖστα — τητώμενοι] versus Soph. El. 1326. 16. ἀλιτηρίῳ] ἀλητηρίῳ ed. 21. κατάμορφος cod., κατάμομφος I. Bernays. ἀξιαθαίνετος cod., ἀξιεπαίνετος Keilius.

δὲ ὑπέρευγε πλὴν μέντοι τοῦ κρημνολεκτεῖν καὶ χαίρειν ἄγαν τῇ ἀσαφείᾳ. ὁ δ' Εὐριπίδης τὸ ἀνοικειοπρόσωπον ἔχει ἐπίληπτον καὶ τὸ ἐναντιοῦν αὐτὸς ἑαυτῷ ἐν πολλοῖς καὶ ἄλλα ἄττα βραχέα· ἅπερ εἰ θέλοι τις ἀκριβῶς γνῶναι, ἀναλεξάσθω βίβλον ἐμὴν ἐν ᾗ παντοίων σοφῶν πραγματείας ὑπέβαλον λογισμοῖς, Εὐριπίδου μὲν πεντήκοντα δύο καὶ ἑτέρων παντοίας τέχνης σοφῶν βίβλους ἑκατὸν ἐννεακαίδεκα, ὧν πασῶν λογισμοὺς βίβλος μία ἐμοῦ περιέχει στίχοις ἰάμβοις τοῖς πλείοσιν, οὐκ ὀλίγοις δὲ καὶ μέτρων ἑτέρων. καὶ ἕτεραι δὲ βίβλοι ἐμοὶ ἔχουσιν ἑτέρων σοφῶν λογισμούς, οὐ μάτην καὶ ἐναντίως οὐδὲ κατ' ἔχθραν, οὐ πημαίνοντός μού τινα, ἀλλὰ τινάς μὲν ἐλέγχοντος τοῦ περὶ τὴν τέχνην ἕνεκα πλημμελοῦς καὶ τοῦ διαμαρτάνειν πραγμάτων ἢ χρόνων ἢ αὐτοὺς λέγειν ἑαυτοῖς ἐναντίον, οὐκ ὀλίγους δὲ ὥσπερ τὸν Σταγειρόθεν καὶ Γαληνὸν καὶ τὸν Πλούταρχον καὶ οὐ βραχεῖς ἑτέρους τοιούτους.

Tzetz. in Ar. Ran. 1376: ἀλλ' ᾠόμην ἄν. λείπει ἡ εἰς, ἤτοι εἰς ἑαυτὸν ἢ ἀλλ' ᾠόμην ἂν ἑαυτὸν καὶ αὐτὸν τὸν λέγοντα, καὶ Ἡρωδιανός φησιν ἑαυτὸν πρῶτον πρόσωπον οὐ δεῖ λέγειν· τὸ γὰρ ἕ τρίτου προσώπου ἐστίν.

---

1. ὑπέρευγε] sic cod., ὑπερεύγει Keilius, ego τί ὑπερέχει scripserim. 10. μού τινα, ἀλλὰ τινάς μὲν] μου τινῶν, ἀλλά τινας μὲν ed. 14. post τοιούτους quaedam desiderantur. 15. ᾤομ' cod., ᾠόμην Keilius. 16. καὶ] εἰ καὶ malim.

GRAMMATICVS AMBROSIANVS.

(V. Henrici Keilii Analecta grammatica Halis a. MDCCCXLVIII edita.)

Περὶ τῆς τῶν ποδῶν ὀνομασίας.

Αἱ ὀνομασίαι τοίνυν τῶν ποδῶν ἐξευρέϑησαν ἢ ἀπὸ ῥυϑμῶν ἢ ἐϑνῶν ἢ συνϑέσεως ἢ ἀριϑμῶν. πυρρίχιος μέν, ὅτι βραχύτατός ἐστι καὶ γοργὸς καὶ ὀξεῖαν ποιεῖται καὶ σύντομον τὴν κίνησιν τῶν χρόνων, ὥσπερ καὶ ἡ καλουμένη πυρρίχη, ἀφ' ἧς καὶ τὴν προσηγορίαν ἐδέξατο· πυρρίχη δέ ἐστιν ἔνοπλος ὄρχησις μετὰ πολλῆς ἐπιτελουμένη συντομίας τε καὶ ὀξύτητος. μιμησάμενος οὖν αὐτῆς τὴν σύντομον κίνησιν κοινωνὸς καὶ παρὰ τὴν ὀνομασίαν ἐγένετο. ἄλλοι δέ φασιν ὀνομασϑῆναι πυρρίχιον ἀπὸ τοῦ τοὺς προσιόντας τοῖς βωμοῖς μετὰ πυρὸς κεχρῆσϑαι αὐτῷ· ἡνίκα γὰρ ἧπτον βωμόν, περιέτρεχον αὐτὸν ἐν κύκλῳ, λέγοντες ταχέως μέλη τινὰ ἐκ πυρριχίων συγκείμενα πρὶν ἢ σβεσϑῆναι τὸ πῦρ. καλεῖται δὲ καὶ παρίαμβος, ἐπειδὴ παρὰ τὰ τέλη τῶν ἰαμβικῶν εὑρίσκεται μέτρων· ἄλλως τε καὶ παρά τι ὅμοιοί εἰσιν ἴαμβος καὶ πυρρίχιος· περὶ τὴν ἐσχάτην γὰρ μόνον διαλλάσσουσι συλλαβήν, ἥτις ἐστὶν ἐπὶ παντὸς μέτρου

---

3. ἐϑνῶν] ἐϑῶν Schol. Hephaest. p. 167, 17 ed. alt. Gaisf., ubi ἐϑνῶν coniecerat Pauwius. συνϑέσεως] συνϑέσεων Schol. Heph. **5.** πυρρίχη] πυρράχη cod. **6.** ὄρχησις] ὄρχιας cod. **7.** μιμησάμενος] μιμησάμενοι ed. **9.** φασιν] φασι ed. προσιόντας] προσίοντας ed. **13.** παρὰ τὰ τέλη] κατὰ τὰ τέλη malim. μέτρων] μετρῶν ed. **15.** διαλλάσσουσι] διαλάσσουσι ed.

ἀδιάφορος. τινὲς δὲ αὐτὸν ἡγεμόνα φασίν, ἐπειδήπερ ἐξ αὐτοῦ οἱ ἄλλοι πόδες προΐασιν. οὗτος δὲ ὁ πυρρίχιος κατὰ πόδα μὲν οὐ βαίνεται διὰ τὸ κατάπυκνον γενέσθαι τὴν βάσιν καὶ συγχεῖσθαι τὴν αἴσθησιν, κατὰ διποδίαν δὲ συντιθέμενος ἐπὶ τὰ καλούμενα πυρριχιακὰ πρόεισι τετράμετρα, ὧν ἀπόδειγμα τόδε·

ἴθι μόλε ταχύποδος ἐπὶ δέμας ἐλάφου
πτεροφόρον χελιδόνα καθημένην.

περὶ τροχαίου. τροχαῖος δ' ἐκλήθη, ὅτι τροχαλὸν ἔχει τὸν ῥυθμόν· καὶ γὰρ ὁ Ἀρχίλοχος ἐπὶ τῶν θερμῶν ὑποθηκῶν αὐτῷ κέχρηται, ὡς ἐν τῷ

Ἐρξίη, πῆ δηὖτ' ἄνολβος ἀθροΐζεται στρατός;

καὶ Εὐριπίδης

θᾶσσον ἤ μ' ἐχρῆν προβαίνειν ἱκόμην δι' ἄστεος·

ἢ διὰ τὸ ἐπιτροχάδην λέγεσθαι τὸ μέτρον τοῦτο ἀπὸ μεταφορᾶς τῶν δρόμων, οἵτινες τρόχοι παροξυτόνως καλοῦνται, ὡς Εὐριπίδης

ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι.

ἢ ὅτι τὸν τροχὸν μιμεῖται τοῦ ἅρματος, ὃς κυλιόμενος γίνεται ποτὲ

---

1. φασίν] φασὶ ed. 5. ἀπόδειγμα] παράδειγμα aut ὑπόδειγμα legendum suspicor. 6. ταχύποδε ed., ταχύποδος Schol. Hephaest. p. 168, 14. ἐπὶ δέμας] ἐπίδεσμα Schol. Heph., ubi ἐπὶ δεσμὰ codex S. 7. χελιδόνα καθημένην] χερσὸν καθημένα Schol. Heph., ubi χερσὸν καθομ' codex S. quid lateat nescio. 9. ὁ Ἀρχίλοχος] v. Bergkii Lyr. p. 549 ed. alt. sive p. 699 ed. tert. ὑποθρέων ed., ὑποθέσεων Schol. Heph. p. 170, ὑποθηκῶν Bergkius. 11. ἐξίη ed., Ἐρξίη Hephaest. p. 37. Schol. Hephaest. p. 187. Etym. Voss. p. 1082 H, ἔρξη Schol. Heph. p. 170. πῆ δηὖτ'] πῆ δὲ ἠύτε ed., πῆ δηῦτ' Hephaest. p. 37. Schol. Heph. p. 187, πῆ δῆτ' Schol. Heph. p. 170, πῆ δ' αὖτ' Etym. Voss., κῆ δηὖτ' Schneidewinus Philol. vol. 3 p. 527. 12. Εὐριπίδης] Eur. Or. 729. 13. ἤ μ' ἐχρῆν] ἦλι' ἐχρῆν cod. 14. τούτων ἀπὸ μεταφορῶν ed., τοῦτο ἀπὸ μεταφορᾶς scripsi. 15. Εὐριπίδης] Eur. Med. 46. 16. ἀλλ' οἵδε] ἄλλοι δὲ ed. 17. γίνεται ποτὲ] γίνεταί ποτε ed.

μὲν ὑψηλός, ὅπερ σημαίνει ἡ μακρά, ποτὲ δὲ ταπεινός, ὅπερ δηλοῖ ἡ βραχεῖα· δίκην οὖν τοῦ τροχοῦ τροχαῖον αὐτὸν προσηγόρευσαν.

περὶ ἰάμβου. ἴαμβος δ' ἐκλήθη ἀπὸ Ἰάμβης τῆς Κελεοῦ καὶ Μετανείρας. ὅτε γὰρ ὁ Ἀιδωνεὺς τὴν Περσεφόνην, ὡς μυθεύουσιν, ἥρπασε, περινοστοῦσα αὐτῆς κατὰ ζήτησιν Δήμητρα παραγίνεται πρὸς Κελεὸν καὶ Μετάνειραν· οἱ δὲ αὐτὴν φιλοφρόνως δεξάμενοι πείθουσι τροφῆς τε μεταλαβεῖν καὶ ποτοῦ. τότε οὖν πολλὰ σκωπτικὰ πρὸς τὴν Δήμητραν εἶπεν ἡ τῶν ὑποδεξαμένων θεράπαινα, ὡς ἄμετρον αὐτῆς τὴν λύπην διαβάλλουσα καὶ βουλομένη πρὸς εὐθυμίαν μεταβαλεῖν· τέλος δὲ καὶ τὸ ἱμάτιον ἀνασύρασα τὸ γεννητικὸν αὐτῇ δείκνυσι μόριον· ἡ δὲ ὑπό τε τοῦ οἴνου καὶ τῶν εἰρημένων νικᾶται καὶ εἰς γέλωτα τρέπεται. καὶ ἐξ ἐκείνου νόμος ἐν τοῖς Θεσμοφορίοις ἐγένετο ἐπερχομένας τὰς γυναῖκας λοιδορεῖν τε καὶ λέγειν ἀλλήλας κακῶς μετὰ γέλωτος. ἰάμβους δὲ τὰς ὕβρεις ἐκάλουν οἱ παλαιοὶ ἀπὸ τοῦ ἰάπτειν, ὅ ἐστι βλάπτειν· οἷς καὶ Ἀρχίλοχος κέχρηται ὑβριστὴς ὤν. ἄλλοι δὲ καλοῦσιν αὐτὸν ἴαμβον καὶ λέγουσι κληθῆναι ἀπὸ Ἰάμβης τινὸς οὕτω καλουμένης γραός, ἥτινί ποτε ὁ Ἱππῶναξ ὑπήντησε καὶ ἀκουσίως τῆς σκάφης ἀψάμενος, ἐφ' ἧς τὰ ἔρια ἔπλυνεν, ἤκουσε λεγούσης αὐτῆς

ἄνθρωπ', ἄπελθε· τὴν σκάφην ἀνατρέψεις·

ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα τὸν βίον ἀγχόνῃ κατέλυσεν, ὅπερ καὶ αἱ Λυκαμβίδες ἐπὶ τοῖς Ἀρχιλόχου ποιήμασιν ἔδρασαν· ἢ παρὰ τὸ ἰὸν βάζειν, ὅπερ ἐστὶν ἰοῦ καὶ πικρίας ἀνάμεστα ῥήματα λέγειν. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ ὁ ποιητὴς Καλλίμαχος· καὶ γὰρ περὶ τοῦ Ἀρχιλόχου λέγων ἐν τῷ γραφείῳ φησὶν οὕτως·

---

1. ποτὲ] ποτε sine accentu ed. 3. Κελεοῦ] Κελαιοῦ ed. 4. Μετανείρας] Μετανείρης ed. 6. Κελεὸν] Κελαιὸν ed. 13. ἀλλήλας] ἀλλήλαις ed. 16. καλοῦσιν] καλοῦσι ed. 17. Ἱππῶναξ] Ἱπώναξ ed. 20. ἀνατρέψεις] sic etiam Tricha de metris p. 9, ἀνατρέπεις Schol. Hephaest. p. 169 et Draco qui dicitur p. 128, 1. 22. βίον] βιὸν ed.

εἵλκυσε δὲ δριμύν τε χόλον κυνὸς ὀξύ τε κέντρον
σφηκός, ἀπ' ἀμφοτέρων δ' ἰὸν ἔχει στομάτων.

λοιδορητικὸν γάρ ἐστι τὸ μέτρον, καὶ ἰαμβίζειν τὸ λοιδορεῖν σημαίνει παρὰ τοῖς παλαιοῖς.

περὶ σπονδείου. σπονδεῖος δ' ἐκλήθη ἀπὸ τοῦ ῥυθμοῦ τοῦ ἐν ταῖς σπονδαῖς ἐπαυλουμένου τε καὶ ἐπᾳδομένου, οἷον

σπένδωμεν ταῖς Μνάμας παισὶν Μούσαις
καὶ τῷ μουσάρχῳ Λατοῦς υἱεῖ·

ἢ ὅτι μακρότατός ἐστι τῶν ὁμογενῶν· εἰς μακροτέρους δὲ χρόνους εὐχόμεθα σώζεσθαι τὰ σπονδεῖα ἐν ταῖς θυσίαις τε καὶ σπονδαῖς. ὥσπερ γὰρ τῷ πυρριχίῳ ὁλοβράχει ὄντι διὰ τὴν συντομίαν ἐκέχρηντο παρὰ τοῖς βωμοῖς, καὶ τῷ σπονδείῳ ὡς μακροτάτῳ τυγχάνοντι ἐπὶ τῶν ὑποθέσεων τῶν χρόνου δεομένων ἐχρῶντο, ἀγαθὸν αὐτὸν οἰωνὸν τῆς πολυχρονίου συμμαχίας ποιούμενοι.

περὶ δακτύλου. δάκτυλος δὲ ἐκλήθη ἀπὸ τῶν Δακτύλων, οὓς ἐπιλαβομένη τῆς γῆς ἀνῆκεν ἡ Ῥέα· ἡ δὲ ἱστορία τοῦτον ἔχει τὸν τρόπον. μαντευόμενος ὁ Κρόνος περὶ τῶν μελλόντων αὐτῷ συμβῆναι ἤκουσε παρὰ τοῦ μάντεως ὅτι εἷς τῶν παίδων αὐτοῦ μέλλει τῆς βασιλείας αὐτὸν ἐκβαλεῖν· εὐλαβούμενος οὖν τὰ τικτόμενα βρέφη κατέπινεν. λυπουμένη δὲ πρὸς τοῦτο ἡ τοῦ Κρόνου γυνή, ὅτε ἔλαβεν ἐν γαστρὶ τὸν Δία, ἔφυγεν εἰς τὴν Ἴδην, ὄρος δὲ τοῦτο τῆς Κρήτης, κἀκεῖσε διέτριβε τὴν ὥραν τοῦ τοκετοῦ περιμένουσα. ὡς δ' ἧκεν ἡ

---

1. 2. εἵλκυσε — στομάτων] eosdem versus minus emendate scriptos praebent codex quidam Parisinus (v. Schneidewin. Philol. vol. 3 p. 536) et Schol. Hephaest. p. 169. 1. εἵλκυσέ τε ed., εἵλκυσε δὲ Schol. Heph., εἵλκυσε codex Paris. λόχον ed., χίλον Schol. Heph., χόλον codex Paris. 6. σποδαῖς cod., σπονδαῖς Keilius. 7. 8. σπένδωμεν — υἱεῖ] Terpandri hunc esse locum coniecit Bergkius Lyr. p. 1066 ed. alt. cf. quae disputavit Leutschius in Philol. vol. 11 p. 336. 7. μνάμαις cod. et Schol. Heph. p. 170, Μνάμας Keilius. Μούσαις delendum suspicor. 8. καὶ τῷ] καὶ malim. μουσάρχῳ] μωσάρχῳ Bergkius. ὑιέϊ ed., υἱεῖ Schol. Heph. 21. Ἴδην] Ἴδαν ed. 22. κἀκεῖσε] κᾀκεῖσε ed. ὡς δ'] ὥς δ' ed.

προθεσμία καὶ αἱ τῶν ὠδίνων ἐπέκειντο βάσανοι, μὴ φέρουσα τὰς ἀλγηδόνας ἐπεστήριξε κατὰ τοῦ ὄρους τὰς χεῖρας· τὸ δὲ ὄρος εὐθὺς ἰσαρίθμους τῶν δακτύλων ἐγέννησε δαίμονας, οἵτινες περιστάντες αὐτὴν ἐμαιώσαντο· ἡ δὲ γεννήσασα λίθον μὲν ἀντὶ τοῦ παιδὸς σπαργανώσασα τῷ Κρόνῳ προσήνεγκεν· ὁ δὲ καὶ τοῦτον κατέπιεν. τῷ δὲ βρέφει δίδωσι τροφὸν αἶγα καλουμένην Ἀμάλθειαν, καὶ τοὺς εἰρημένους δὲ περιέστησε δαίμονας· οὗτοι οὖν ἔσκεπόν τε τὸ βρέφος καὶ περὶ αὐτὸ χορεύοντες ἔτυπτον τὰς ἀσπίδας εὐκόσμως, καὶ ἀπετέλουν ῥυθμὸν ἐναρμόνιον ᾄδοντες καὶ μέλη τινά, καὶ οὐ συνεχώρουν ἀκοῦσαι τὸν Κρόνον κλαίοντος τοῦ παιδός· τοῦτο δέ φησιν Καλλίμαχος,

ἵνα Κρόνος οὔασιν ἠχὼ
ἀσπίδος εἰσαΐοι καὶ μή σεο κουρίζοντος,

ὅ ἐστιν τοῦ Διός· τὸ αὐτὸ δὲ εἶπε καὶ Ἄρατος,

Δικταῖοι Κουρῆτες ὅτε Κρόνον ἐψεύδοντο.

τὰ δὲ μέλη διὰ τῶν ῥυθμῶν τῶν ἡρωικῶν ἔλεγον, τοῖς δακτύλοις καταμετροῦντες αὐτά· διὸ καὶ ὁ ποὺς ἐκ τῆς αἰτίας ταύτης δάκτυλος ὠνομάσθη. ἦσαν δὲ οἱ προειρημένοι δαίμονες δέκα τὸν ἀριθμὸν καὶ ἐκαλοῦντο Δάκτυλοι Ἰδαῖοι καὶ Κουρῆτες καὶ Κορύβαντες, Δάκτυλοι μὲν Ἰδαῖοι ἀπὸ τῆς Ἴδης τοῦ ὄρους τοῦ Κρητικοῦ καὶ τῶν τῆς Ῥέας δακτύλων, Κουρῆτες δὲ διὰ τὸ περὶ τὸν Δία κοῦρον ὄντα εἱλεῖσθαι, Κορύβαντες δὲ διὰ τὸ περιβαίνειν τῷ κούρῳ καὶ ἀπατᾶν τὸν Κρόνον τοῖς ᾄσμασιν. ἔνιοι δὲ ῥυθμικὸν τὸν λόγον εἶναι καὶ τοὔνομα λέγουσιν. ἄλλοι δέ φασι δάκτυλον ὀνομασθῆναι αὐτόν, ἐπειδὴ κρᾶσιν ἀρίστην ἔχει ὁ ποὺς οὗτος παρὰ τὴν ἐξοχήν· ἢ ὅτι οἱ μουσι-

---

3. εἰς ἀριθμοὺς ed., ἰσαρίθμους scripsi. 6. τροφὸν] τρόφον ed. Ἀμάλθειαν] Ἀμαλθίαν ed. 11. Καλλίμαχος] Callim. Hymn. Iov. 53. 54. 12. ἠχὼ] ἠχὴν recte Callimachei codices. formam ἠχή haud raro a librariis in ἠχώ mutatam esse ostendi *Eurip. Studien* II p. 32. 14. Ἄρατος] Aratus Phaen. 35. 16. ἐλέγοντο cod., ἔλεγον Keilius. 19. Κουρῆτες] Κούρητες ed. 21. Κουρῆτες] Κούρητες ed.

καὶ τὸν μὲν διπλασίονα λόγον ἰαμβικὸν καλοῦσιν, ὅταν ἡ ἄρσις τῆς θέσεως διπλασίων ᾖ, δάκτυλον δὲ τὸν ἐν ἴσῳ λόγῳ· διὸ καὶ οἱ μετρικοὶ τὸν πόδα τοῦτον οὕτως ἐκάλεσαν· ἡ γὰρ μακρὰ ταῖς δύο βραχείαις ἰσόρροπος, ὥστε καὶ τὸν ἀνάπαιστον πόδα δάκτυλόν τις εἰ βουληθείη καλεῖν, ὡς πρός γε τὸ γένος οὐκ ἂν ἁμάρτοι τοῦ δέοντος.

περὶ ἀναπαίστου. ὁ ἀνάπαιστος δὲ κέκληται παρὰ τὸ ἀντιπαίεσθαι καὶ ἀντιπαθεῖν τῷ δακτύλῳ· αὐτὸ γὰρ τὸ σχῆμα ἐναντιώτατόν ἐστιν ἰδικῶς· ὁ μὲν γὰρ δάκτυλος ἔχει τὴν μακρὰν ἐν ἀρχῇ, ὁ δὲ ἀνάπαιστος ἐπὶ τοῦ τέλους.

περὶ ἀμφιμάκρου. ἀμφίμακρος ἐκλήθη ἀπὸ τῆς συνθέσεως ὡς ἔχων ἐξ ἀμφοτέρων τῶν μερῶν τὰς μακράς. ὁ δὲ αὐτὸς καλεῖται καὶ κρητικός, ὡς τῶν Κρητῶν ἐπινοησάντων τὸ εἶδος τοῦ τοιούτου ῥυθμοῦ, οἷς καὶ τὸ ὑπόρχημα ἀναφέρεται· φιλεῖ δὲ τὰ ὑπορχήματα τούτῳ τῷ ποδὶ καταμετρεῖσθαι, οἷον

οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς.

περὶ ἀμφιβράχεος. ἀμφίβραχυς δὲ ἐκλήθη ὅν τινες καὶ ὑπερθετικὸν ὀνομάζουσι διὰ τὸ ὑπερτίθεσθαι τὴν τάξιν ἀπὸ τοῦ ἀμφιμάκρου· ἔχει γὰρ καὶ αὐτὸς ἐξ ἀμφοτέρων τῶν μερῶν τὰς βραχείας.

περὶ βακχείου. βακχεῖος δὲ εἴρηται, ἐπειδὴ βακχικὸν καὶ ὑγρότερον καὶ λελυμένον ἔχει τὸν ῥυθμὸν τῆς μελοποιίας, διὸ καὶ ὑποβάκχειος καλεῖται· δείκνυσι δὲ αὐτοῦ τὴν ὑγρότητα τὸ παράδειγμα, οἷον

ἀμείβω κέλευθον· σποπεὺς ἀπατᾷ·

---

1. τὸν μὲν διπλασίονα λόγον ἰαμβικὸν] τὸν μὲν ἐν διπλασίονι λόγον ἴαμβον Schol. Heph. p. 171. 1. 2. ὅταν ᾖ ἀρίστης θέσεως διπλασίων ᾖ δάκτυλον τὸν ed., ὅταν ἡ ἄρσις τῆς θέσεως διπλασίων ᾖ, δάκτυλον δὲ τὸν Schol. Heph. 6. δέοντος] ὄντος malim. 11. θέσεως ed., συνθέσεως scripsi. 16. οὐχ ἕδρας — ἀμβολᾶς] Bacchylidis fr. 23 in Bergkii Lyr. p. 970 ed. alt. 17. 18. ὑπερθετικὸν] ὑπερθέτικον ed. 20. βακχικὸν] βακχεικὸν ed. 24. ἀμείβω κέλευθον· σκοπεὺς ἀπατᾷ] Eur. Or. 1295: ἀμείβω κέλευθον σκοποῦσα

καὶ

ἰὼ πᾶν ἰὼ πᾶν· ὃ παῖ τοι ὃ παῖ τοι· ἀπέστα ἀπέστα.

τὰ γὰρ τῷ Διονύσῳ ᾀδόμενα μέλη βακχικὰ ᾄσματα καλοῦσί τινες, ἃ τούτῳ τῷ μέτρῳ γινόμενα μᾶλλον ϑειότερα, ὅϑεν καὶ παιᾶνας αὐτοὺς ἐκάλεσαν ἕτεροι, συμμιγνύντες τῷ βακχείῳ τὸν παιᾶνα.

περὶ παλιμβακχείου. εἴρηται δὲ οὗτος παρά τινων ἀντιβάκχειος ἢ διονύσιος διὰ τὸ καὶ αὐτὸν ἁρμόζειν τοῖς Διονυσιακοῖς μέλεσιν, ἢ προσοδιακὸς ἢ πόμπιμος.

περὶ χορείου. χορεῖος δὲ εἴρηται, ἐπειδὴ πρὸς τὰς συντόνους τε καὶ μεγάλας χορείας πεποίηται· διὸ καὶ οὕτως κέκληται ὡς ἀπὸ τῶν χορῶν χορεῖος παραγωγῶς. ὁ γοῦν Σοφοκλῆς ἐν τῷ Θαμύρᾳ φησὶ

πρόσωδα μέλεα τάδε σε κλαίομαι
τρόχιμα βάσιμα χερσὶ πόδεσσιν.

ὑπόδειγμα δὲ αὐτοῦ καὶ τόδε·

πάντᾳ (σκοποῦσ' ἅπαντα al.), ubi legendum arbitror σκοπεύουσ' ἁπαντᾷ. vide quae dixi *Eurip. Studien* I p. 61.

2. ἰὼ πᾶν ἰὼ πᾶν] haud dissimilia sunt verba Eur. Phoen. 1290: ἰὼ Ζεῦ, ἰὼ γᾶ. sed fortasse ἰὼ Πάν, ἰὼ Πάν scribendum est. quae sequuntur ὃ παῖ τοι ὃ παῖ τοι non improbabile duco ex ὀτοττοῖ ὀτοττοῖ aut ὀτοττοῖ ποποῖ δᾶ (Aesch. Agam. 1072. 1076) esse depravata, cf. *Eurip. Studien* I p. 62. denique verborum ἀπέστα ἀπέστα medelam satis facilem desidero; aptum fuerit Ἀπόλλων Ἀπόλλων (Aesch. Agam. 1073. 1077. 1080. 1085). 3. βακχικὰ] βακχειχὰ ed. 4. διότερα cod., ϑειότερα Keilius. 5. συμμιγνύντες] «in codice num esset συμμιγνύντες an συμμιγόντες non satis perspexi: fortasse συμμίσγοντες». Keilius. 6. παλιμβακχείου] παλινβακχείου ed. 7. νύσιος cod., Διονύσιος Keilius ex Schol. Heph. p. 172, 5. 8. πόμπιμος] πομπευτικός Schol. Heph. p. 172, 7. fortasse utroque loco πομπικός legendum est. 11. παραγώνως cod., παραγωγῶς Keilius. 11. 12. ἐν τῷ Θαμύρᾳ φησὶ] τὰ Θάμυρά φησι ed., ἐν τῷ Θαμύριδι φησὶ Schol. Heph. p. 170. 13. πρόσωδα] πρόποδα Schol. Heph., unde πρόσοδα conieci Trag. Graec. fragm. p. 145. τάδε σε κλαίομαι] τὰ δ' ὅσα κλύομεν Schol. Heph. 14. χερσὶ πόδεσσιν] χέρεσι πόδεσι Schol. Heph., χερί τε ποδί τε malim.

Βρόμιε, δορατοφόρ', ἐνυάλιε, πολεμόκλονε, πάτερ Ἄρη.

περὶ μολοσσοῦ. μολοσσὸς δὲ κέκληται ἀπὸ Μολοσσῶν, ὡς ὁ κρητικὸς ἀπὸ τῶν Κρητῶν, ἢ ὅτι τὰ μεγάλα μολοσσικὰ ἐκάλουν. Σοφοκλῆς

Μολοσσικαῖσι χερσὶν ἐκτείνων χεῖρας.

τινὲς δὲ αὐτὸν καὶ ἵππειον ὀνομάζουσιν. ἄλλοι δὲ ἀπὸ Μολοσσοῦ τοῦ Νεοπτολέμου καὶ Ἀνδρομάχης παιδὸς μολοσσὸν αὐτὸν ἐκάλεσαν, ὥς τινες καὶ τὸν πυρρίχιον ἀπὸ Πύρρου κεκλήκασιν· οἷς οὐ δεῖ προσέχειν· βέλτιον γὰρ αὐτὸν εἰρῆσθαι ἀπὸ τοῦ ἔθνους τῶν Μολοσσῶν.

οἱ μὲν οὖν ἁπλοῖ πόδες οὗτοι τυγχάνουσι. τούτων δὲ οἱ μ'ν ἐν ἴσῳ θεωροῦνται λόγῳ, οἱ δὲ ἐν διπλασίονι, οἱ δὲ ἐν ἡμιολίῳ. τοῦ μὲν οὖν ἴσου λόγου εἰσὶ τέσσαρες, πυρρίχιος, σπονδεῖος, δάκτυλος, ἀνάπαιστος· τούτων γὰρ ἴσαι αἱ θέσεις καὶ ἴσαι αἱ ἄρσεις. τοῦ δὲ διπλασίονος ὁμοίως τέσσαρες, ἴαμβος, τροχαῖος, τρίβραχυς, μολοσσός· τούτων γὰρ ἤτοι ἡ ἄρσις διπλασίων ἐστὶ τῶν θέσεων ἢ τὸ ἀνάπαλιν. τοῦ δὲ ἡμιολίου τρεῖς, βακχεῖος, παλιμβακχεῖος, κρητικός. ἐν μὲν οὖν τῷ κρητικῷ κατὰ σχέσιν τῶν μέτρων ὁτὲ μὲν ἡ ἄρσις τὴν μακρὰν καὶ τὴν βραχεῖαν, ἡ δὲ θέσις τὴν μακράν, ὁτὲ δὲ ἔμπαλιν ἡ μὲν ἄρσις τὴν μακράν, ἡ δὲ θέσις τὴν βραχεῖαν καὶ τὴν

---

1. Βρόμιε — Ἄρη] cf. Dionys. Hal. de comp. verb. c. 17 vol. 5 p. 107 ed. Reisk. et Bergkii Lyr. p. 1067 ed. alt. δορατοφόρ'] δορατοφόρε ed. πολεμόκλονε] πολεμοκέλαδε Dionys. Hal., qui verba πάτερ Ἄρη ignorat. 3. Κρητικῶν ed., Κρητῶν scripsi. 4. Σοφοκλῆς] Soph. fr. 722. 5. Μολοσσικαῖσι] μολοσσῆσι Schol. Heph. p. 170. ἐκτείνων χεῖρας] ἐκτείνων πέλας Schol. Heph., ἐντείνων πέδας expectabam. ceterum Μολοσσικαὶ χεῖρες Sophocli fuisse videntur non *magnae*, sed *Molossorum hominum manus*. compares κερκίδ' Ἠδωνῆς χερός Eur. Hec. 1153, βάρβαρον γλῶσσαν Soph. Ai. 1263 al. qua de re dixi *Eurip. Studien* II p. 64. 6. ἵππειον] ἵππιον malim. quamquam ἵππειον etiam Terent. Maur. 1397. 17. παλιμβακχεῖος] παλινβακχεῖος ed. 19. verba καὶ τὴν βραχεῖαν, ἡ δὲ θέσις τὴν μακρὰν addidit Keilius.

μακράν. ἐπὶ δὲ τῶν βακχείων διωρίσθαι πᾶσα ἀνάγκη ἐν μὲν τῷ βακχείῳ τὴν μὲν ἄρσιν μίαν ἔχειν μακράν, τὴν δὲ θέσιν μακρὰν καὶ βραχεῖαν, ἐν δὲ τῷ παλιμβακχείῳ τὴν μὲν ἄρσιν ἐκ βραχείας καὶ μακρᾶς, τὴν δὲ θέσιν ἐκ μακρᾶς· εἰ δὲ μή γε, εἰς τριπλασίονα ἐκπίπτει λόγον. ἡμιόλιος δέ ἐστι λόγος ὁ περιέχων ἐν ἑαυτῷ τὸν ἀριθμὸν τὸν ὅλον καὶ προσέτι τὸ ἥμισυ αὐτοῦ. ὁ γοῦν τρία περιείληφε τόν τε δύο ἀριθμὸν καὶ τὸ ἥμισυ τούτου τὸν ἕνα· τὸ δὲ αὐτὸ κατὰ ἀναλογίαν καὶ ἐπὶ πάντων τῶν τοιούτων θεωρείσθω. ὁ δὲ ἀμφίβραχυς τριπλασίονος ὢν λόγου ἄθετός ἐστιν εἰς μετροποιίαν· εἰ δὲ λέγοις ὅτι καὶ μὴν τετράχρονός ἐστιν ὁ σπονδεῖος, ἀλλ' ἐκεῖνος μὲν ἔχει τὰς συλλαβὰς καὶ τοῦ χρόνου αὐτοῦ τὴν ἴσην διαίρεσιν ἐχούσας, ὁ δὲ ἀμφίβραχυς οὐκ ἔχει.

περὶ προκελευσματικοῦ. ὁ προκελευσματικὸς ὠνόμασται οἱονεὶ παρακελευσματικὸς ὤν· συντρέχουσι γὰρ αἱ βραχεῖαι τῇ κελεύσει· καίτοι γε ἥσσονας χρόνους ἔχων τοῦ μολοσσοῦ σύνθετός ἐστι διὰ τὸ πλῆθος τῶν συλλαβῶν. τινὲς δὲ ᾠήθησαν αὐτὸν ποιεῖν τὰ προκελευσματικὰ μέτρα, οἱ δὲ πλείους ταῦτα ἀναπαιστικὰ λελυμένα φασίν, ὡς εἶναι ὅτε εἰς τὰ ἰωνικὰ συντελοίη ὁ μολοσσός· τινὲς δὲ αὐτὸν καὶ εἰς ἀριθμὸν καλοῦσι.

περὶ παίωνος. ὁ δὲ παίων ῥυθμικόν ἐστιν ὄνομα· τὸν γὰρ ἐν ἡμιολίῳ λόγον παίωνά φασιν· ἡμιόλιον δέ ἐστι τὸ ἔχον αὐτὸν καὶ αὐτοῦ τὸ ἥμισυ. πάντες οὖν οἱ πεντάσημοι παίωνες καλοῦνται, ἐπειδὴ ἔχουσι δύο μακρὰς καὶ τούτων τὸ ἥμισυ· διὸ τούς τε βακχείους καὶ τὸν κρητικὸν παίωνάς φασιν, ὅτι ἐπικοινωνοῦσιν ἀλλήλοις ἐν τοῖς παιωνικοῖς μέτροις, διὸ καὶ παίων ὠνόμασται. τούτῳ τῷ παίωνι ἐκέχρηντο οἱ τοὺς ὕμνους εἰς τὸν Ἀπόλλωνα γράφοντες. καλεῖται δὲ ὁ μὲν πρῶτος παίων καὶ παιωνικός, ὁ δὲ δεύτερος παίων καὶ συμβλητὸς καὶ κουρητικός, ὁ δὲ τρίτος παίων διδυμαῖος, κου-

---

1. βραχειῶν cod., βακχείων Keilius. 3. παλιμβακχείῳ] παλινβακχείῳ ed. 18. φασίν] φασὶ ed. ὅτι ed., ὅτε scripsi. 19. εἰς ἀριθμὸν] fortasse εἰσόδιον leg. cum Mario Vict. II, 11, 6 p. 135 ed. Gaisf. 20. παίωνος] rectius παιῶνος scripseris et similiter postea. 28. καὶ κουρητικός] καὶ κρητικός Schol. Heph. p. 173, 24.

ρητικός, δελφικός, δρόμιος ἀριθμός, ὁ δὲ τέταρτος παίων ὑπορχηματικὸς καὶ κρητικός.

περὶ ἰωνικῶν. οἱ δὲ ἰωνικοὶ ἐκλήθησαν ἀπὸ τῶν Ἰώνων τῶν τρυφηλῶν, ἐπειδὴ κατὰ μίμησιν ἐκείνων μαλθακόν τε καὶ ἀναβεβλημένον καὶ χαῦνον ποιοῦσι τὸν ῥυθμόν· ἑλκεχίτωνες γοῦν οἱ Ἴωνες. τὰ γοῦν ἐρώματα τούτῳ τῷ μέτρῳ γέγραπται, οἷον

τὴν μῆνιν ἄειδε, μοῦσ', Ἀχιλλέως ἐμοί.

καλεῖται δὲ ὁ μὲν πρῶτος περσικός, ὁ δὲ δεύτερος ὑποκύκλιος.

περὶ χοριάμβου. ὁ δὲ χορίαμβος κέκληται, ἐπειδὴ τροχαιίαμβός ἐστιν· ἔχει γὰρ ἐν ἀρχῇ τὸν τροχαῖον καὶ ἐπὶ τούτῳ τὸν ἴαμβον· τινὲς δὲ αὐτὸν κύκλιον, οἱ δὲ ὑποβακχεῖον, οἱ δὲ βακχεῖον κατὰ τροχαῖον καλοῦσι.

περὶ ἀντισπάστου. ἀντίσπαστος δὲ ὁ τὴν ἐναντίαν τούτῳ σπῶν, ὥσπερ καὶ ὁ ἀνάπαιστος ἀντιπαίων καὶ ἀντιπαθῶν τῷ δακτύλῳ· ἐκεῖνος μὲν γὰρ ἐκ μακρᾶς ἐστι καὶ δύο βραχειῶν καὶ μακρᾶς, οὗτος δὲ ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας. ὡμολόγηται δὲ εἶναι τοὔνομα ῥυθμικόν· ἀντισπᾶν γὰρ ἕως νῦν οἱ ῥυθμικοὶ τὸ τὰς χορδὰς κρούειν φασί· τινὲς δὲ αὐτὸν ποδιακόν, οἱ δὲ βακχεῖον κατὰ ἴαμβον ὀνομάζουσι.

περὶ διιάμβου. ὁ διίαμβος κέκληται ὡς ἐκ δύο ἰάμβων

---

1. ἀριθμός suspectum, cf. Gaisford. in Schol. Heph. p. 173, 26.
6. ἐρώματα] Σωτάδα coniecit Keilius testes excitans Eust. Il. p. 12. Hermog. in Rhet. Gr. vol. 3 p. 230. Schol. Hermog. in Rhet. Gr. vol. 7 p. 983 sq. Dionys. Hal. de comp. verb. p. 52 ed. Schaef. (vol. 5 p. 23 sq. ed. Reisk.), quibus addas Hephaest. p. 20. Demetr. de eloc. c. 189. Max. Planud. in Rhet. Gr. vol. 5 p. 491. Ioh. Sicel. ibid. vol. 6 p. 242. Schol. Il. X, 133. 7. τὴν μῆνιν — ἐμοί] exemplum neque alibi quod sciam traditum neque huic loco aptum. 9. χοριάμβου] χορειάμβου ed. χορίαμβος] χορείαμβος ed. 9. 10. τροχαιίαμβός ἐστιν] τροχείαμβός ἐστιν ed. 10. 11. ἴαμβον· τινὲς] ἰαμβόν· τινες ed. 11. ὑποβακχεῖον] cf. Schol. Heph. p. 173, 15. ubi ὑποβάκχειος scribitur.
18. ποδιακόν] fortasse σπονδειακόν scribendum cum Schol. Hephaest. p. 173, 12. 20. περὶ διιάμβου. ὁ διίαμβος] περὶ διάμβου. ὁ δίαμβος ed.

συγκείμενος· καλεῖται δὲ καὶ παράλληλος ἴαμβος ἤτοι ἰαμβικὴ διποδία.

περὶ διτροχαίου. ὁ διτρόχαιος καὶ αὐτὸς ἐκ δύο τροχαίων συγκείμενος κέκληται· τινὲς δὲ αὐτὸν καὶ παράλληλον λέγουσιν ἤγουν κρητικὸν κατὰ Ἀριστόξενον, ἢ διχόρειον ἢ τροχαϊκὴν ταυτοποδίαν.

περὶ ἐπιτρίτου. ὁ δὲ ἐπίτριτος ῥυθμικῶς ὠνομάσθη· οὕτως γὰρ καλοῦσιν ἐν τῷ μερισμῷ τοῦ ῥυθμοῦ αὕτως καὶ ἤ τούτου τὸ τρίτον. τὸ δὲ ὄνομα ἔχει λόγον· ἔστι γὰρ τριὰς καὶ τῆς τριάδος τὸ τρίτον. ἐπειδὴ τοίνυν ἑπτάσημοί εἰσιν ἔχοντες τριάδα καὶ ἑτέραν τριάδα καὶ μονάδα, ἥτις ἐστὶ τριάδος τὸ τρίτον, δικαίως ἐπίτριτοι καλοῦνται. καὶ ὁ μὲν πρῶτος καλεῖται ἵππιος πρῶτος ἢ καρικὸς ἢ δόχμιος, ὁ δὲ δεύτερος ἵππιος δεύτερος ἢ ῥοδιακὸς δόχμιος ἢ κάριος ἢ τροχαϊκὸς ἑπτάσημος, ὅπερ ἐν τοῖς τροχαϊκοῖς συμβαίνει, τὸν γὰρ σπονδεῖον ἐν τοῖς ἀρτίοις δέχεται, ὁ δὲ τρίτος ἵππιος τρίτος ἢ παροδικὸς ἢ ἴαμβος ἑπτάσημος, ἐν γὰρ τοῖς ἰαμβικοῖς εὑρίσκεται τὸ σχῆμα, οἷον

ἥκω Διὸς παῖς τήνδε Θηβαίων χθόνα·

ὁ δὲ τέταρτος ἵππιος τέταρτος ἢ μονογενὴς ἢ καὶ ἀντίσπαστος ἑπτάσημος, ἐν γὰρ ταῖς ἀρχαῖς τῶν ἀντισπαστικῶν εὑρίσκεται τὸ σχῆμα· ἄρχεται ἀπὸ σπονδείου, ὡς ἐπὶ τούτου

γουνοῦμαί σ', ἐλαφηβόλε,
ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρίων.

---

4. κέκληται· τινὲς δὲ] κέκληταί· τινες δὲ ed. παράλληλον] παράλληλον τροχαῖον suasit Keilius. in Schol. Hephaest. p. 173, 2 haec praebet codex Saib.: διτρόχαιος ἢ ἀντιπαράλληλος ὁ καὶ κρητικὸς κατ' Ἀριστόξενον ἢ διχόρειος. 5. διχόρειον] διχορεῖον ed. 8. 9. αὕτως καὶ ἤ τούτου τὸ τρίτον] verba depravata non intellego. 9. ἔστι] ἐστὶ ed. 12. ἵππιος] ἵππειος Schol. Hephaest. p. 174, 7. 15. 16. παροδικὸς] περιοδικὸς Gaisfordus in Schol. Hephaest. p. 174, 9. 18. ἥκω — χθόνα] Eur. Bacch. 1. τήνδε] τόνδε ed. 21. ἄρχεται ἀπὸ σπονδείου] haec verba delenda esse suspicor. 22 — 24. γου-

περὶ δισπονδείου. δισπόνδειος ἀπὸ τῆς συνθέσεως εἴρηται ὡς ἐκ δύο σπονδείων συγκείμενος· καλεῖται δὲ καὶ βατήριος ἢ σπονδειακὴ ταυτοποδία. καὶ τοσαῦτα μὲν ἡμῖν περὶ τῆς τῶν ποδῶν ὀνομασίας εἰρήσθω.

περὶ εὑρέσεως μέτρων.

πᾶσα μὲν σοφία λογική τε καὶ βάναυσος παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ παντοκράτορος δεδώρηται τοῖς παλαιοτέροις ἀνδράσι πρὸς τὴν τοῦ βίου τοῦ παλαιοῦ ὠφέλειαν, καὶ τοῦτο δὲ τὸ μέτρον λέγεται πρῶτον παρ' Ἑβραίοις εὑρῆσθαι καὶ πολλὰ δι' αὐτοῦ γεγράφθαι συγγράμματα, ὧν ἐστι τοὺς ψαλμοὺς περιέχουσα βίβλος καὶ ἕτεραι δὲ πρὸς ταύτῃ, αἵτινες ῥήμασι μὲν καὶ γράμμασιν Ἑβραϊκοῖς ἐγεγράφατο· ἐμετροῦντο δὲ τῷ διὰ τῶν ποδῶν μέτρῳ κατὰ τὴν οἰκείαν ἀκρίβειαν, ὥσπερ καὶ τὰ τῶν Ῥωμαίων ποιήματα· μεταφρασθέντα δὲ εἰς τὴν Ἑλλάδα φωνὴν κατὰ κέλευσιν βασιλέως Πτολεμαίου τὴν μὲν τοῦ μέτρου τάξιν ἀπώλεσαν, ἔμειναν δὲ μέχρι τοῦ δεῦρο γραφόμενα στιχηδὸν καὶ καλούμενα στιχηρά. τοῦτο οὖν τὸ μέτρον μετὰ καὶ ἑτέρων πολλῶν μεμαθηκότες παρὰ τῶν Ἑβραίων οἱ Ἕλληνες τὸν θεόν τε ἅμα τὸν δωρησάμενον καὶ τὸν διδάξαντα ἀρνησάμενοι ἑαυτοῖς ἐπιγράφουσι τὸ εὕρεμα, μυθολογοῦντες ἐν τῇ Πυθίᾳ πρῶτον ἀναπεφωνῆσθαι αὐτό, καὶ ποτὲ μὲν ὡς ἀρχαῖον ἀποσεμνύνουσι καὶ τιμῆς ἄξιον εἶναι νομίζουσιν, ἐπιλέγοντες τὸ ἀθάνατον, τιμῶντες παλαιοτέρους ἀνθρώπους, ποτὲ δὲ ὡς νέον ἐξετάζουσιν ἐπιφέροντες

νοῦμαί — θηρίων] Anacr. fr. 1 in Bergkii Lyr. ed. alt. p. 774. 22. γουνοῦμαί σ'] «in codice, in quo versus vehementer attriti sunt, legere mihi videbar γοῦν ἄνασσ'.» Keilius. 24. δέσποιν'] δέσποινα ed. θηρίων] recte alibi θηρῶν scribitur.

2. βατήριος] ἐμβατήριος praetulerim. ἢ] καὶ malim. 2. 3. σπονδειακὴ] σπονδιακὴ ed. 12. Ἑβραϊκοῖς] ἑβραικῶς ed. 16. τῆς δεῦρο ed., τοῦ δεῦρο scripsi. 19. ἐν abesse malim. 20. καὶ ποτὲ μὲν] καί ποτε μὲν ed. 20. 21. ἀποσεμνύνουσι] ἀποσεμνύουσι ed.

22. παλαιοτέρους] πολαιοτέρους ed. operarum, ut videtur, errore.

22. 23. ἐκετάζουσιν cod., ἐξετάζουσιν Keilius.

τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.

ὠνομάσθη δὲ ἀπὸ τοῦ μείρω, ὅ ἐστι μερίζω. ὥσπερ γὰρ ἀπὸ τοῦ σείω γίνεται σεῖστρον καὶ ἀπὸ τοῦ δέρω δέρτρον, οὕτω καὶ ἀπὸ τοῦ μείρω μέτρον· μάρτυς δὲ τοῦ λόγου καὶ Ὅμηρος, λέγων δέρτρον ἔσω δύνοντες, ὅ ἐστιν ἔσω εἰς τὸ ἧπαρ· δέρτρον δὲ τὸ ἧπαρ ἐκάλεσεν ἀπὸ τοῦ δέρεσθαι τῷ αἵματι.

τί ἐστι μέτρον;

μέτρον ἐστὶ ποδῶν ἢ βάσεων σύνταξις τῇ αἰσθήσει τῇ διὰ τῆς ἀκοῆς παραλαμβανομένη.

ποσαχῶς λέγεται τὸ μέτρον;

λέγεται δὲ μέτρον καὶ ὁ τῆς συλλαβῆς χρόνος, καὶ μάρτυς ἡ Πυθία ἤτοι ὁ Ὀρφεὺς λέγων περὶ τοῦ ἔπους

ὄρθιον ἑξαμερές, τετόρων καὶ εἴκοσι μέτρων.

καὶ ὁ πούς δὲ μέτρον καλεῖται, ὡς ὅταν τὸ ἡρωικὸν ἑξάμετρον λέγωμεν· ἥ τε συζυγία, ὡς ὅταν τὰ ἰαμβικὰ τρίμετρα ἢ τετράμετρα λέγηται ἀπὸ ἓξ ἢ ὀκτὼ ποδῶν συγκείμενα· καὶ ὁ στίχος μέτρον λέγεται, ὥς φησιν Ὀδυσσεὺς ὁ μετρικὸς ὅτι ἡ πρώτη ῥαψῳδία Ὁμήρου μέτρα ἔχει δέκα καὶ ἑξακόσια· καὶ αὐτὸ δὲ τὸ ποίημα μέτρον φαμέν, ὡς ὅταν εἴπωμεν ὅτι τὰ μὲν Πλάτωνος πεζά ἐστι, τὰ δὲ Ὁμήρου μέτρα. ὥσπερ γὰρ ἐπὶ τῶν αἰσθητῶν τὸ μετροῦν καὶ τὸ μετρούμενον μέτρον ὀνομάζεται, τόν τε γὰρ χοίνικα, τὸ σκεῦος λέγω, μέτρον καλοῦμεν,

---

1. 2. τὴν γὰρ — ἀμφιπέληται] Hom. Od. α, 351 sq. 1. ἐπικλείουσ'] ἐπικλύουσιν ed. 5. Ὅμηρος] Hom. Od. λ, 579. 14. τετόρων] τετάρων ed., τεττάρων cod. Saib. in Gaisf. Hephaest. p. 145, τετόρων Longinus Prol. in Heph. p. 147. inter τετ(τ)άρων et τετ(τ)όρων fluctuant libri Alcidamantis p. 186 ed. Steph. 18. Ὀδυσεὺς ed., Ὀδυσσεὺς Longinus Prol. in Hephaest. p. 146, ubi de ignoto homine permiras suspiciones protulerunt interpretes. ἡ πρώτη ῥαψῳδία Ὁμήρου] non de Odysseae, sed de Iliadis prima rhapsodia haec verba intellegenda sunt. 19. δέκα] an ἕνδεκα legendum?

ὁμοίως δὲ καὶ τοὺς δι' αὐτοῦ μετρουμένους πυρούς, οὕτως καὶ ἐπὶ τούτων τά τε ποιοῦντα καὶ τὸ γινόμενον μέτρον λέγεται. μέτρον δέ ἐστι καὶ ἡ συμμετρία, ὡς τὸ πᾶν μέτρον ἄριστον. τοῦ δὲ μέτρου ὕλη μέν ἐστι συλλαβή, κριτήριον δὲ αὐτοῦ ἀκοή, κόσμος δὲ αὐτοῦ ἡ φωνή· τὸν γὰρ ἦχον τῆς εὐρυθμίας ἐκτείνουσα καὶ συστέλλουσα ἡ φωνὴ σχηματίζει τὰς συλλαβάς, ἃς ἐκδεξαμένη κρίνει ἡ ἀκοή.

τί διαφέρει μέτρον ῥυθμοῦ;

διαφέρει ὅτι τοῖς μὲν μέτροις ὕλη ἐστὶ συλλαβὴ καὶ ταύτης δίχα μέτρον οὐ συνίσταται, ὁ δὲ ῥυθμὸς γίνεται μὲν καὶ ἐν συλλαβαῖς, γίνεται δὲ καὶ ἄνευ συλλαβῶν, ὡς ἐν κρότῳ χειρῶν καὶ πορείᾳ ποδῶν καὶ ἵππων δρόμῳ· ἄλλως τε τὰ μὲν μέτρα πεπηγότας ἔχει τοὺς χρόνους, μακρόν τε καὶ βραχὺν καὶ τὸν τούτων κοινόν, ὁ δὲ ῥυθμὸς ὡς βούλεται παρέλκει τοὺς χρόνους, τούς τε μακροὺς συστέλλων καὶ τοὐναντίον.

τί ἐστι πούς;

πούς ἐστι ποιῶν καὶ ποσῶν σύνθεσις εἰς εὐπρεπὲς σχῆμα συλλαβῶν· ποιῶν μέν, ὅτι δεῖ τὰς μὲν εἶναι μακράς, τὰς δὲ βραχείας· ποσῶν δέ, ὅτι δεῖ δύο εἶναι ἢ πλείους· εἰς εὐπρεπὲς δὲ σχῆμα, ὡς ὅταν εἴπωμεν τὰς συλλαβὰς ἢ ὁμοίως ἐπισυντίθεσθαι ἀλλήλαις ἢ τῆς μακρᾶς λυομένης εἰς δύο βραχείας. ἄλλως· πούς ἐστι σύνταξις συλλαβῶν ἄρσιν καὶ θέσιν περιέχουσα. οἱ δὲ οὕτως· πούς ἐστι μετρικὴ συλλαβῶν σχέσις ἀπὸ δύο ἕως ἕξ, ἐν ᾗ γνωρίζομεν τὸ τοῦ μέτρου εἶδος καὶ μέγεθος· ὕλη δὲ ποδῶν συλλαβὴ ἐν ποιότητι καὶ ποσότητι εὐπρεπεῖ κειμένη.

περὶ ποδῶν πεντασυλλάβων.

πεντασύλλαβοι δὲ πόδες εἰσὶ τριάκοντα δύο, οὓς καὶ Γαληνὸς ἐν τῷ περὶ συνθέσεως τεχνῶν ἐκτίθεται. εἰσὶ δὲ οἵδε· ὄρθιος ἢ

---

3. πᾶν μέτρον ἄριστον] Cleobuli Lindii hoc esse apophthegma traditur, v. Stob. Flor. ed. Meinek. vol. 4 p. 297, 11. 6. ὡς εἰσδεξαμένη ed., ἃς ἐκδεξαμένη scripsi. 22. ἢ θέσιν ed., καὶ θέσιν scripsi. 28. ἐκτίθεται. εἰσὶ δὲ] ἐκτίθεταί· εἰσι δὲ ed.

ἀρίϑμιος ἐκ πέντε βραχειῶν ⏑⏑⏑⏑⏑ πεντάχρονος, οἷον Θεοφάνιος — — — *Fin.* (περὶ ἑξασυλλάβων) παλιμβακχεῖος σὺν ἀμφιβράχει ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν.

Ceterum ad eundem auctorem fortasse pertinent quae in eodem codice post Aeschyli fabulam Septem ad Thebas scripta sunt f. 18 τὰ πάϑη τῶν στίχων. — ἀρχὴ τοῦ ἐλεγείου στίχου. — περὶ Ἀνακρεοντείων στίχων. οἱ Ἀνακρεόντειοι στίχοι συνίστανται ἐξ ἀναπαίστου καὶ διιάμβου καὶ περιττευούσης συλλαβῆς· ἕκαστός ἐστιν ὀκτασύλλαβος· λέγονται δὲ διὰ μέλους ἀνὰ τέσσαρας, οἷον «φίλε, μὴ λάϑοις ἐμεῖο, ἀρετῆς τρόποισι λάμπων, ἀγάπης ὅρους φυλάττων, μοναχῶν ἄριστε Μάρκε» *etc.* — περὶ κοινῆς συλλαβῆς — περὶ συνιζήσεως.

---

2. παλιμβακχεῖος] παλινβακχεῖος ed. 3. βακχείων cod., βραχειῶν Keilius. 6. ἀρχὴ] περὶ exspectes, cf. Elias de metris p. 79. 9. ὀκτασύλλαβος] ὀκτοσύλλαβος ed. ἀνὰ τέσσαρας] ἀνὰ δ δ ed., ἀνατέσσαροι τέσσαρες Eliae de metris p. 80 codex Laur., ἀνὰ δ' eiusdem codex Venetus. 10. ἐμοῖο ed., ἐμεῖο Eliae codex Ven. ἀρετοῖς ed., ἀρετῆς Elias. 10. 11. ἀγάπης ὅρους φυλάττων] hunc versum in ed. pr. omissum addidi ex Elia de metris p. 80. 11. μονολων (?) ἄριστε μαρκε (?) ed., μοναχῶν ἄριστε Μάρκε Elias.

GRAMMATICVS CODICIS HAMBVRGENSIS

a F. G. Schneidewino editus

in Philol. vol. X p. 350 sq.

Περὶ χασμοῦ ἰάμβου. Χασμᾶσθαι λέγομεν ἴαμβον, ὅταν λήξῃ φωνῆεν εἰς μέρος λόγου καὶ ἡ ἑξῆς πάλιν ἄρχηται ἀπὸ φωνήεντος, οἷον

ἀλλ' ὦ σοφὴ ἄνασσα ἀνδρῶν φερτέρα.

ἰδοὺ τὸ σοφὴ εἰς φωνῆεν λήγει καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ τοῦ α, ὅ ἐστιν ὁμοίως φωνῆεν· καὶ τὸ ἄνασσα ἀνδρῶν· τὸ γὰρ ἄνασσα εἰς α λῆγον καὶ τὸ ἀνδρῶν ἀπὸ τοῦ α ἀρχόμενον. ἤδη τοῦτο τὸ ἁμάρτημα χάσμα καλοῦμεν, καὶ παρὰ τοῦτο ἔλεκται ὁ στίχος. καὶ αὖθις

καὶ πυρπολεῖ ἅπασαν εἰκονουργίαν.

ἰδοὺ εἰς τὸ λει χαίνει ὁ ἴαμβος· εἰ γὰρ καὶ ἡ πρώτη λέξις ἀπαρτίσοι εἰς φωνῆεν, ἡ δὲ ἑξῆς ἀπὸ συμφώνου ἄρξοιτο, ἔρρωται ὁ στίχος καὶ οὐδεὶς ἐν αὐτῷ ψόγος. τοῦτο δὴ ἐπὶ ἰάμβων· ἐπὶ δὲ ἡρωικοῦ μέτρου τὸν χασμὸν παραφυλάττειν οὐκ ἀναγκαῖον τῷ μετρικῷ.

---

1. ὅταν] ὅ τὰν ed. 2. ἄρχηται] ἄρχεται ed. 4. ἄνασσα addidit Schneidewinus. cf. Elias de metris p. 75, 4. ubi verba ἀλλ' ὦ σοφὴ ἄνασσα afferuntur. auctorem rudis et barbari versus ignoro.
5. ἰδού] ἰδοῦ ed. 6. ὁμοίως] ὅμοιος ed. 8. ἔλεκται] ἐλέγχεται scribendum videtur. 12. ἔρρωται] ἔρρωσται ed. 13. τοῦτο δὴ] τοῦτο δὲ ed.

τὰ παρὰ τῇ γραφῇ διφορούμενα· εἰσὶ ταῦτα· ἀργειφόντης καὶ «τυρὸν ἐτύρησας μέγαν ἀργύφαν ἀργιφόντα». «εἴκελος ἀστεροπῇ» καὶ «τῷ ἴκελος». ἀπώλεια καὶ «ἐμαυτὸν εἰς ἀπωλίαν οἰχήσομαι» Πλάτων. ϑάλεια καὶ «ἐν ϑαλίῃ γεγάνυνται». ἀλαζονεία καὶ «τίς ἀλαζονίαν πλείσταν παρέχει τῶν ἀνϑρώπων» Ἀριστέξενος. βακχεία καὶ «ἔξωϑεν ἕκαστος ἔπινεν, ἐν δὲ βακχίῃ» Ἀρχίλοχος. ὀρϑογραφία ταῦτα.

---

1. παρὰ τῇ γραφῇ] κατὰ τὴν γραφὴν scripserim. διαφορούμενα cod., διφορούμενα Schneidewinus. 2. τυρὸν — ἀργιφόντα] Alcmanis fr. 26, 6 in Bergkii Lyr. p. 640 ed. alt. τύρος ἐν τηρήσας cod., τυρὸν ἐτύρησας ex Athenaeo restituit Welcker. ἀργύφαν] ἄτρυφον Athenaeus. fortasse ἄτροφον praeferendum est coll. Hesych. v. ἄτροφος. ἀργιφόντα] ἀργειοφεονται Athenaei cod., unde Ἀργειφόντᾳ nondum cognito hoc grammatico coniecerat Bergkius. quam coniecturam admodum probabilem iudico; sed fortasse Ἀργιοφόντᾳ praeferendum. nam Ἀργιφόντης forma, quam Didymus p. 337 probasse dicitur, neque Alcmanis versu commendatur neque aliunde satis stabilita est.

2. 3. εἴκελος ἀστεροπῇ] Hesiod. Scut. 322. 3. τὸ ἴκελος ed., τῷ ἴκελος H. Iacobi in Meinekii Com. 5 p. C. verba τῷ ἴκελος Homerica sunt, vide Il. Ω, 758. Od. δ, 249. ε, 54. ἀπώλεια] ἀπόλεια primum cod., ubi ἀπώλεια correctum est. ἐμαυτὸν] ἐμ' αὐτὸν cod. 3. 4. ἀπωλίαν] ἀπώλειαν cod. 4. Πλάτων] Platonis comici versus, de quo dixit H. Iacobi in Meinekii Com. 5 p. C, uno hoc loco traditus est. ἀπωλία pro ἀπώλεια etiam a Gregorio Naz. usurpatum est, qua de re v. *Eurip. Studien* II p. 137. ἐν ϑαλίῃ γεγάνυνται] ignoti poetae verba. 5. καὶ τίς ἀλαζονίαν] καὶ τῖς ἀλαζονίας ed. πλείσταν] πλεῖστα ed. τῶν ἀνϑρώπων] τῶν ἀνῶν ed. 6. Ἀριστόξενος] poeta intellegendus est Selinuntius, cuius verba servavit Hephaest. p. 49. βακχεία] βακχεῖα ed. ἔξωϑεν ἕκαστος — βακχίῃ] Archilochi verba, quae aliunde non innotuerunt, in trimetrum cogebat Schneidewinus, ἔσω δὲ βὰς ἔπινεν, ἐν δὲ βακχίῃ ... proponens. veri similior est Bergkii suspicio (v. Lyr. p. 706 ed. tert.), ἕωϑεν ἕκαστος ἔπινεν· ἐν δὲ βακχίῃσιν, qua coniectura admissa metrum idem est quod in verbis notissimis Ἐρασμονίδη Χαρίλαε, χρῆμά τοι γελοῖον. 7. ὀρϑογραφία] ὀρϑογραφικὰ Welcker.

ὅτε παραλήγεται τῇ δοτικῇ τῶν πληθυντικῶν ἓν φωνῆεν, πλεονάζουσι τὰ σύμφωνα τὰ δύο κατ' ἐπένθεσιν, ἵνα μεγεθυνθῇ τὸ παραλῆγον φωνῆεν· φωνήεσσι, τέκεσσι. τὸ ἔοικε σημαίνει τὴν ὁμοιότητα, ὡς ὁ ποιητής· βασιλῆι γὰρ ἀνδρὶ ἔοικε. σημαίνει καὶ τὸ πρέπον, ὡς τὸ «οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος». σημαίνει δὲ καὶ τὸ ἴσως καὶ τὸ φαίνεται, ὡς ὅταν θεασάμενός τι ἐκ διαστήματος εἴπω «ὡς ἔοικε, τόδε ἐστίν» ἀντὶ τοῦ «ὡς φαίνεταί μοι, τόδε ἐστί». τρία ἐστὶ τὰ ῥαθυμότερον πρὸς τὸ ἐντυγχάνειν ἐργαζόμενα, ἅπερ καὶ τὴν ἀσάφειαν ποιοῦσιν, μῆκος φράσεως, ἀσάφεια λέξεως καὶ βάθος θεωρημάτων.

---

2. τὰ δύο] ταδύο ed. 4. ὁμοιότητα] ὁμοιώτητα ed. ὡσεὶ ποιητής ed., ὡς ὁ ποιητής scripsi. βασιλῆι — ἔοικε] Hom. Il. Γ, 170. 5. οὐκ ἔστ' — ἔπος] Hom. Il. Ξ, 212. οὐκ ἔστ'] οὐκ ἔστιν ed. 6. ὅταν] ὃ τὰν ed. 7. τόδε] τὸ δὲ ed. 8. τόδε ἐστί] τόδέ ἔστι ed. τρία ἐστὶ] τρία ἐστι ed. 9. φράσεως] φράσεος ed.

GRAMMATICVS ROMANVS

DE NOTIS VETERVM CRITICIS

a Fr. Osanno Gissae a. MDCCCLI editus.

Τὰ παρατιθέμενα τοῖς Ὁμηρικοῖς στίχοις Ἀριστάρχεια σημεῖα ἀναγκαῖον γνῶναι τοὺς ἐντυγχάνοντας.

I.	διπλῆ ἀπερίστικτος	>—
	διπλῆ περιεστιγμένη	>÷
	ὀβελός	—
	ἀστερίσκος καθ' ἑαυτὸν	※
	ἀστερίσκος μετὰ ὀβελοῦ	※—
	ἀντίσιγμα	Ͻ
	ἀντίσιγμα περιεστιγμένον	Ͽ·
	κεραύνιον	T

>— ἡ μὲν οὖν διπλῆ ἀπερίστικτος παρατίθεται πρὸς τοὺς γλωσσογράφους ἢ ἑτεροδόξως ἐκδεξαμένους τὰ τοῦ ποιητοῦ καὶ μὴ καλῶς· ἢ πρὸς τὰς ἅπαξ εἰρημένας λέξεις, ἢ πρὸς τὰ ἐναντία καὶ μαχόμενα, καὶ ἕτερα σχήματα πάμπολλα καὶ ζητήματα.

>÷ ἡ δὲ περιεστιγμένη διπλῆ πρὸς τὰς γραφὰς τὰς Ζηνοδο-

---

12. ἑτεροδόξους ed., ἑτεροδόξως scripsi. **13.** ἡ πρὸς utroque loco cod., ἢ πρὸς Osannus. **15.** >÷ ἡ δὲ] ※ ἡ δὲ ed. praefixam notam falsam esse adnotavit Reifferscheidius in C. Suet. Tranq. reliq. p. 144.

τείους καὶ Κράτητος καὶ αὐτοῦ Ἀριστάρχου καὶ τὰς διορθώσεις αὐτοῦ.

— ὁ δὲ ὀβελὸς πρὸς τὰ ἀθετούμενα ἐπὶ τοῦ ποιητοῦ, ἤγουν νενοθευμένα ἢ ὑποβεβλημένα.

※ ὁ δὲ ἀστερίσκος καθ' ἑαυτὸν ὡς καλῶς εἰρημένων τῶν ἐπῶν ἐν αὐτῷ τῷ τόπῳ ἔνθα ἐστὶν ἀστερίσκος μόνος.

※— ὁ δὲ ἀστερίσκος μετὰ ὀβελοῦ ὡς ὄντα μὲν τὰ ἔπη τοῦ ποιητοῦ, μὴ καλῶς δὲ κείμενα ἐν αὐτῷ τῷ τόπῳ, ἀλλ' ἐν ἄλλῳ.

Ͻ τὸ δὲ ἀντίσιγμα καθ' ἑαυτὸ πρὸς τοὺς ἐνηλλαγμένους τόπους καὶ ἀπᾴδοντας.

Ͽ· τὸ δὲ ἀντίσιγμα περιεστιγμένον παρατίθεται, ὅταν ταυτολογῇ καὶ τὴν αὐτὴν διάνοιαν δεύτερον λέγῃ.

Τ τὸ δὲ κεραύνιόν ἐστι μὲν τῶν σπανίως παρατιθεμένων, δηλοῖ δὲ καὶ αὐτὸ πολλὰς ζητήσεις πρὸς ταῖς προειρημέναις.

τούτων δ' ἁπάντων τῶν σημείων ἀκριβεστέρα γνῶσις ἐν τοῖς βιβλίοις τῶν συγγραψαμένων περὶ τούτων· καὶ εἴ σοι φίλον, ἐπιζήτει παρὰ τῶν τεχνικῶν.

Π. >— τῇ διπλῇ χρῆται Ἀρίσταρχος πρὸς ἱστορίαν, σχηματισμοὺς καὶ ἑτέρας ποικίλας χρείας·

>÷ τῇ δὲ περιεστιγμένῃ πρὸς Ζηνόδοτον τὸν διορθωτήν·

— τῷ δὲ ὀβελῷ πρὸς ἀθέτησιν·

※— ἀστερίσκῳ δὲ σὺν ὀβελῷ πρὸς τὸ εἶναι μὲν τοὺς στίχους Ὁμήρου, κεῖσθαι δὲ ἐν ἄλλῳ τόπῳ καλῶς· οἷς καὶ ἀστερίσκος μόνος παράκειται·

---

1. 2. verba καὶ Κράτητος — διορθώσεις αὐτοῦ in suspicionem vocat C. Wachsmuth de Cratete Mall. p. 20. **5.** κακῶς cod., καλῶς Osannus. **11. 12.** ταυτολογεῖ cod., ταυτολογῇ Osannus. **13.** κεραύνιόν ἐστι μὲν] κεραύνιον· ἐστὶ μὲν ed. **15.** ἀκριβεστ.... cod., ἀκριβέστερα Osannus, ἀκριβεστέρα scripsi. τοῖς] «schedae meae exhibent ταῖς, ut fortasse βίβλοις scriptum fuerit.» Osannus. **16.** εἴσοιφιλαν cod., εἴ σοι φίλον scripsi, εἰς ὠφέλειαν Osannus. **17.** τῶν τεχνιτῶν ed., τῶν τεχνικῶν scripsi. sed fortasse τῷ τεχνικῷ praestat.

18. 19. σχιματισμοὺς cod., σχηματισμοὺς Osannus. **20.** τῇ δὲ] τῇ δὲ διπλῇ malim. **23.** κῖσθαι cod., κεῖσθαι Osannus.

Ͽ τῷ δὲ ἀντίσιγμα καὶ τῇ στιγμῇ, ὅταν δύο ὦσι διάνοιαι τὸ αὐτὸ σημαίνουσαι, τοῦ ποιητοῦ γεγραφότος ἀμφοτέρας, ὅπως τὴν ἑτέραν ἕληται· τῷ δὲ χρόνῳ καὶ αἱ δύο εὑρέθησαν οὐκ ὀρθῶς ἔχουσαι.

⁜ τῷ δὲ ἀστερίσκῳ μόνῳ χρῆται πρὸς τοὺς αὐτοὺς στίχους, οἳ κεῖνται ἐν ἄλλοις μέρεσιν τῆς ποιήσεως καὶ ὀρθῶς ἔχοντες φέρονται; σημαίνων ὅτι οὗτοι καὶ ἀλλαχοῦ εἴρηνται.

III. ἡ δὲ δοκοῦσα ἀρχαία Ἰλιάς, λεγομένη δὲ Ἀπελλικῶνος, προοίμιον ἔχει τοῦτο·

Μούσας ἀείδω καὶ Ἀπόλλωνα κλυτότοξον,

ὡς καὶ Νικάνωρ μέμνηται καὶ Κράτης ἐν τοῖς διορθωτικοῖς. Ἀριστόξενος δ' ἐν α' Πραξιδαμαντείων φησὶν κατά τινας ἔχειν·

Ἔσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ὅππως δὴ μῆνίς τε χόλος θ' ἕλε Πηλεΐωνα,
Λητοῦς ἀγλαὸν υἱόν· ὁ γὰρ βασιλῆι χολωθείς.

τὴν δὲ ποίησιν ἀναγινώσκεσθαι ἀξιοῖ Ζώπυρος ὁ Μάγνης Αἰολίδι διαλέκτῳ· τὸ δ' αὐτὸ καὶ Δικαίαρχος· αἱ μέντοι ῥαψῳδίαι κατὰ συνάφειαν ἤβωντο, κορωνίδι μόνῃ διαστελλόμεναι, ἄλλῳ δ' οὐδενί.

---

2. σημαίνουσαι] σημαινούσαι ed. 8. ἀρχαία] ἀρχαῖα ed. ἀπ' ἑλικῶνος e codice se enotasse testatur Osannus Anecd. Rom. p. 257, qui primum ἀπ' Ἑλικῶνος scripsit, postea aut ἀπ' Ἐλικῶνος servandum aut ἀφ' Ἑλικῶνος corrigendum dixit. ego Ἀπελλικῶνος restitui, quam genetivi formam tuetur Plutarchus Sull. c. 26. hinc quae de Heliconia Iliade commentus est Osannus omnia dilabuntur.

12. ἐνάπραξει δαμαντίων cod., ἐν ά Πραξιδαμαντίων Osannus, ἐν α' Πραξιδαμαντείων ego scripsi. cf. quae disputavit Dindorfius in Harpocr. I p. 207, 11. ceterum haec Aristoxeni mentio una cum aliis quibusdam addenda est Muelleri Fragm. Hist. Gr. vol. II. 14. τε ἕλε cod., θ' ἕλε Osannus. 15. Λητοῦς] Λητοῦς τ' coniecit Osannus. 17. ῥαψωδείαι cod., ῥαψῳδίαι Osannus. 18. ἤβωντο] ἤνωντο Osannus. ηὐδῶντο infra legitur p. 276, 8.

GRAMMATICVS VENETVS ET BODLEIANVS

a Siebenkeesio Villoisono Gaisfordo editus.

Ταῦτα εὕρηται ἔν τινι παλαιῷ βιβλίῳ.

Τοῖς παρ' Ὁμήρῳ στίχοις σημεῖα παράκειται τάδε·

διπλῆ καθαρά ≻—
διπλῆ περιεστιγμένη ≻÷
ὀβελός —
ὀβελὸς σὺν ἀστερίσκῳ —※
ἀντίσιγμα Ͻ
κεραία α̿ τοῦ ᾱ ·/
ω̑ πλάγιον ϶.

ἡ μὲν οὖν διπλῆ καθαρὰ παράκειται πρὸς τὴν ἅπαξ εἰρημένην λέξιν, πρὸς τὴν τοῦ ποιητοῦ συνήθειαν, πρὸς τοὺς λέγοντας μὴ εἶναι τοῦ αὐτοῦ ποιητοῦ Ἰλιάδα καὶ Ὀδύσσειαν, πρὸς τὰς τῶν παλαιῶν ἱστορίας, πρὸς τὰς τῶν νέων ἐκδοχάς, πρὸς τὴν Ἀττικὴν

---

2. παράκειται] παρακεῖται ed. Gaisf. in Hephaest. p. 136. **3. 4.** non ≻— et ≻÷ sed > et ⋗ ed. Gaisf. **5. 6.** ὀβελός] ὄβελος ed. Gaisf. **8.** κερεα ed. Siebenk., κερέα Villoisonus, κέρεα Gaisfordus. κεραία correxit Tychsenius. quae statim sequuntur α̿ τοῦ ᾱ ·/ (Vill. α τοῦ α / edidit), non expedio. **9.** ω̑ πλάγιον quid sit, ignoramus. quod post πλάγιον accedit signum criticum, in Gaisfordi editione omittitur. **10.** οὖν om. Siebenk. **12.** Ὀδύσσειαν] Ὀδυσσείαν ed. Vill.

σύνταξιν, πρὸς τὴν πολύσημον λέξιν. πρὸς μὲν οὖν τὴν ἅπαξ εἰρημένην λέξιν·

μάντι κακῶν, οὐ πώποτέ μοι τὸ κρήγυον εἶπες·

ἅπαξ γὰρ εἴρηται. καὶ ἐπὶ τῶν λοιπῶν σημείων ὡσαύτως ἃ δεῖ τιθέναι.

Ἐν ἄλλῳ οὕτως.

Τὰ παρατιθέμενα τοῖς Ὁμηρικοῖς στίχοις σημεῖα ἀναγκαῖον γνῶναι τοὺς ἐντυγχάνοντας· εἰσὶ δὲ ταῦτα·

διπλῆ ἀπερίστικτος >—
διπλῆ περιεστιγμένη >÷
ὀβελός —
ὀβελὸς μετὰ ἀστερίσκου —※
ἀστερίσκος καθ' ἑαυτόν ※
ἀντίσιγμα ἄστικτον Ͻ
ἀντίσιγμα περιεστιγμένον Ͽ.

ἡ μὲν οὖν ἀπερίστικτος διπλῆ τίθεται πρὸς ἱστορίας καὶ σχηματισμοὺς καὶ ἑτέρας ποικίλας χρείας, καὶ πρὸς τὰς ἅπαξ εἰρημένας λέξεις, καὶ πρὸς τὰ ἐναντία καὶ μαχόμενα τῶν νοημάτων·

ἡ δὲ περιεστιγμένη διπλῆ πρὸς τὰς Ζηνοδότου καὶ Κράτητος γραφὰς καὶ αὐτοῦ Ἀριστάρχου·

ὁ δὲ ὀβελὸς πρὸς τὰ νόθα καὶ ἀθετούμενα·

ὁ δὲ μετὰ ὀβελοῦ ἀστερίσκος, ἔνθα εἰσὶ μὲν τὰ ἔπη τοῦ ποιητοῦ, οὐ καλῶς δὲ κεῖνται, ἀλλ' ἐν ἄλλῳ·

---

3. μάντι — εἶπες] Il. A, 106. οὐ πώποτέ μοι] οὔπω ποτὲ 'μοι ed. Gaisf. εἶπες] ἔειπες ed. Gaisf. 4. ὡσαύτως] ita ed. Vill. et Gaisf., ὡς αὐτοῦ ed. Sieb., sed adnotata correctione ὡσαύτως. 7. σημεῖα] σημεῖον codex Bodl. 9. 10. non >— et >÷ sed > et >· ed. Gaisf. 11. 12. ὀβελός] ὄβελος ed. Gaisf. 12. μετὰ] μετ' ed. Gaisf. 16. 17. σχηματισμοὺς] σχηματίσμους ed. Osann. 18. ἐναντία] ἐνάντια ed. Vill. νοημάτων] ὀνομάτων ed. Gaisf. 21. ὀβελὸς] ὄβελος ed. Gaisf. 22. ὀβελοῦ] ὀβέλου ed. Gaisf. 23. οὐ καλῶς] οὐκ ἄλλως codex Bodl. ἀλλ' ἐν] καὶ ἐν ed. Gaisf.

ὁ δὲ καθ' ἑαυτὸν ἀστερίσκος, ἔνθα καλῶς εἴρηνται τὰ ἔπη ἐν αὐτῷ τῷ τόπῳ ἔνθα κεῖνται·

τὸ δὲ καθ' ἑαυτὸ ἀντίσιγμα πρὸς τοὺς ἐνηλλαγμένους τόπους καὶ μὴ συνᾴδοντας·

τὸ δὲ περιεστιγμένον ἀντίσιγμα, ὅταν ταυτολογῇ καὶ τὴν αὐτὴν διάνοιαν δεύτερον λέγῃ.

Ἰστέον ὅτι αἱ ῥαψῳδίαι Ὁμήρου παρὰ τῶν παλαιῶν κατὰ συνάφειαν ηὐδῶντο, κορωνίδι μόνῃ διαστελλόμεναι, ἄλλῳ δὲ οὐδενί· τῆς δὲ κορωνίδος τοῦτό ἐστι τὸ σημεῖον 3· λέγεται δὲ ἀπὸ μεταφορᾶς τῆς ἐν τοῖς πλοίοις ἀνακεκαμμένης κορωνίδος.

---

1. ἑαυτὸν] αὐτὸν ed. Vill. 2. τόπῳ] τρόπῳ codex Bodl. 3. ἑαυτὸ] ἑαυτὸν ed. Siebenk. 3 — 5. verba πρὸς τοὺς — περιεστιγμένον ἀντίσιγμα om. ed. Gaisf. 3. ἐνηλλαγμένους] ἐνηλλασμένους ed. Vill. 8. ηὐδῶντο] αὐδῶντο ed. Siebenk., ᾕβωντο cod. Rom. (vide p. 273, 18), ἠνῶντο, quod ᾕνωντο scribendum erat, Osannus. ἐγράφοντο Tychsenius. quod ad traditam scripturam proxime accedit ᾔδοντο, sententiae parum convenit. διαστελλόμεναι] διαστελλομένη codex Bodl. 9. ἀπὸ μεταφορᾶς] κατὰ μεταφορὰν ἀπὸ ed. Gaisf., quod praeferendum videtur.

GRAMMATICVS HARLEIANVS

ab I. A. Cramero editus

Anecd. Paris. vol. III p. 293.

Περὶ τῶν παρ' Ἀριστάρχου σημείων παρατιθεμένων τῷ Ὁμήρῳ.

∸ ὀβελός

> διπλῆ ἀπερίστικτος.

⸖ διπλῆ περιεστιγμένη.

✱ ἀστερίσκος.

✱— ἀστερίσκος μετὰ ὀβελοῦ.

Ͻ ἀντίσιγμα.

.. δύο στιγμαί.

— ὁ μὲν δὴ ὀβελὸς παρατίθεται πρὸς ἀθέτησιν· ἡ δὲ ἀπερίστικτος διπλῆ . . . . . πρὸς τὰς Ζηνοδοτείους μεταγραφάς· ὁ δὲ ἀστερίσκος πρὸς τὰ Ὁμήρου ἔπη τὰ καλῶς κείμενα· ὁ δὲ ἀστερίσκος μετὰ ὀβελοῦ, ὁπόταν τὰ ἔπη Ὁμήρου μὲν ᾖ διὰ τοῦ ἀστερίσκου δηλούμενα, ἀκαίρως δὲ κείμενα διὰ τοῦ ὀβελοῦ δηλούμενα.

τὸ δὲ ἀντίσιγμα καὶ αἱ δύο στιγμαί, ὅταν κατὰ τὸ ἑξῆς δὶς ᾖ τὸ αὐτὸ νόημα κείμενον· καὶ ἐπὶ μὲν τοῦ προτέρου τίθεται τὸ ἀντίσιγμα, ἐπὶ δὲ τοῦ δευτέρου αἱ δύο στιγμαί.

---

9. ἀθαίτησιν cod. Harl., ἀθέτησιν Cramer. 10. post διπλῆ quaedam excidisse vidit Osannus; nimirum πρὸς τὰς Ζηνοδοτείους μεταγραφὰς scimus a grammaticis περιεστιγμένην διπλῆν appositam esse, non ἀπερίστικτον. 11. κείμενα] κειμένα ed. Cramer. 12. ὁπόταν] ὅποτ' ἂν ed. Cram. 13. κείμενα] κειμένα ed. Cram. 14. αἱ στιγμαὶ ed. Cram., αἱ δύο στιγμαὶ tacite correxit Osannus.

GRAMMATICVS PARISINVS

a Th. Bergkio editus

in *Zeitschr. f. d. Alterth.-Wiss.* 1845 p. 85—88.

Notae XXI quae versibus apponi consuerunt.

— obelus. ⋇ asteriscus. ⋇— asteriscus cum obelo. ⇁ simplex ductus. > diple. >̈ diple periestigmene. Ͻ antisigma. Ͽ antisigma cum puncto. ⸓ coronis. >— diple obelismene. <— aversa obelismene. ✱ ceraunion. ÷ obelus adpunctus. —< obelus cum aversa. ⥸ diple superne obelata. ⥸ ⥺ recta et aversa superne obelatae. ☧ chi et ro. ⸎ fi et ro. ⊤ ancora superior. ⊥ ancora inferior. alogus.

his solis in adnotationibus Ennii, Lucilii et historicorum usi sunt Varro, Sinnius, Aelius aequae et postremo Probus, qui

---

6. diple superobelata *cod.*, diple superne obelata *Reifferscheidius in Suet. reliq. p. 138.* **7.** obelata *cod.*, obelatae *Reifferscheidius.* fi] ḟi *cod.* **7. 8.** ancora] anchora *utroque loco cod.* **8.** alogus] *de hoc signo, cuius neque hic nota neque infra explicatio prostat, cf. Isidor. Orig. I, 20, 27. Serv. in Verg. Aen. 10, 444. denique Schol. Il.* II, *613, ubi Lehrsius de Arist. stud. Hom. p. 362* ἄλογος *in* ὀβελὸς *mutari iubet.* **9.** hennii. lucii *cod.*, Ennii, Lucilii *Bergkius.* historicorum] scaenicorum *Lucianus Müller in N. Jahrb. f. Philol. 1863 p. 176.* **10.** varr$\overset{u}{o}$s. hennius. haelius aequae *cod.*, Vargunteius, Laelius Archelaus *Bergkius*, Varro, Ennius, Aelius, Aquila *Osannus praeeunte Bergkio, qui Varronis, Ennii (vel Herennii), Aelii nomina et ipse proposuerat*, Vargunteius, Ennius Aeliusque *Reifferscheidius*, Marcus Ennius Aeliusque *Alex. Riese in N. Jahrb. f. Philol. 1866 p. 466. ego cum Luciano Muel-*

illas in Virgilio et Horatio et Lucretio apposuit ut Homero Aristarchus.

— obelus versibus apponitur hac causa. Pisistratus quondam Atheniensium tyrannus inordinata et confusa adhuc poesi Homeri praemio sollicitare proposuit eos qui eam ordinarent iisque praemii nomine in singulos versus singulos obolos constituit. mercede multi inducti pauperes, quibus ingenium affluebat, quoniam aut invenire aut disponere ut debebat non poterant, fingendo plurimos versus operis nobilitatem corruperunt. unde evenit ut postea prudentiores viri, quorum summus in hac re fuit Aristarchus, quotiens inprobarent versus quasi aut malos aut non Homericos, obelo potissime notandos existimarent. nam et ipsius Homeri proprios sed non eo dignos eadem hac nota condemnarunt.

⋇ asteriscum Aristofanes apponebat illis locis quibus sensus deesset, Aristarchus autem ad eos qui in hoc puta loco positi erant, cum aliis scilicet non recte ponerentur. item Probus et antiqui nostri.

⋇— asteriscus cum obelo propria nota est Aristarchi. utebatur autem ea in his versibus qui non suo loco positi erant. item antiqui nostri et Probus.

---

lero codicis scripturam varr$\overset{u}{o}$s. hennius *in* Varro, Sinnius *mutandam duxi. in* aequae *quid lateat, incertum est; fortasse* aeque ac *legendum deleta quae sequitur* et *particula.*

5. quia *cod.*, qui *Osannus*, qui eam *Reifferscheidius.* ordinassent *cod.*, ordinarent *Osannus.* **6.** obelos *cod.*, obolos *Reifferscheidius.* **8.** ut *addidit Osannus.* debebat] debebant *Osannus.* **11.** inprobaret *cod.*, inprobarent *Osannus.* **12.** obelum *cod.*, obelo *scripsi.* notandum *cod.*, notandos *scripsi.* exhistimaret *cod.*, existimarent *Osannus.* **13.** et non *cod.*, sed non *Reifferscheidius.* **16.** ad eos qui] ad eos versus qui *Reifferscheidius.* positi] recte positi *Reifferscheidius.* **19. 20.** utebantur *cod.*, utebatur *Osannus.*

⇁ simplex ductus inter versus ponebatur ad separandas res a rebus quae in conexu concurrerent, quemadmodum in catalogo cum loca a locis aut regiones a regionibus et in agone, cum praemia a praemiis, certamina a diversis certaminibus separantur.

> diplen aperistikton primus Leagoras Syracusanus apposuit Homericis versibus ad separationem Olympi a coelo, proprie Olympum ab eo pro monte positum adnotans, nusquam pro coelo, quod saepe οὐρανὸν εὐρὺν dicat et μακρὸν Ὄλυμπον neque e contrario epitheta permutet. ponebat autem tam ad montis significationes quam ad caeli. utrimque manifestatur voluntas eius. usus et in multis Aristarchus, nunc ea quae praeter consuetudinem tam vitae nostrae quam ipsius poetae apud eum invenirentur adnotans, nunc proprias ipsius figuras, interdum ea in quibus copiosus est, rursus quae semel apud eum ponerentur. similiter in nostris auctoribus Probus.

>: diple periestigmene apponebatur quae Zenodotus Efesius non recte adiecerat aut detraxerat aut permutaverat. in his et nostri ea usi sunt.

Ɔ antisigma ponebatur ad eos versus quorum ordo permutandus erat. sic et in nostris auctoribus invenitur.

Ɔ̇ antisigma cum puncto ponebatur, cum eiusdem sensus

---

2. in conexu] inconnexa *Isidorus Orig. I, 20, 8.* currerent *cod.*, concurrerent *Isidoro duce Osannus.* quemammodum catalogo *cod.*, quemadmodum in catalogo *Isidorus.* 3. regiones a *om. cod.*, *ex Isidoro addidit Osannus.* cum *om. cod.*, *addidit Reifferscheidius.* 4. adversis *cod.*, a diversis *Isidorus.* 4. 5. separant *cod.*, separantur *Isidorus.* 6. Leagoras] Leogoras *Isidorus.* 8. 9. prae celo *cod.*, pro coelo *correxi in Aristoph. Byz. p. 16.* 9. εὐρὺν] ευριν *cod.* 10. permutat *cod.*, permutet *scripsi.* 11. utrumque *cod.*, utrimque *Reifferscheidius.* 12. usus et] usus est ea *Reifferscheidius.* 17. periestigmene eis apponebatur *Alex. Riese in N. Jahrb. f. Philol. 1866 p. 472.*

versus duplices essent et dubitaretur qui potius legendi. sic et apud nostros.

⸎ coronis tantum in fine libri posita invenitur.

⁜ ceraunium ponitur quotiens multi versus inprobantur, ne per singulos obelentur.

<— aversa obelismene in ora ponitur quae ad aliquid respiciunt, ut 'nosne tibi fluxas Frygiae'.

∸ obelus cum puncto ad ea de quibus dubitatur, tolli debeant necne.

>— diple obelismene ad separandas in comoediis et tragoediis periodos.

—< aversa quotiens strofae antistrofos infertur.

⩾ diple superne obelata ponitur ad condicionem locorum vel temporum vel personarum mutatam.

>̄ <̄ recta et aversa superne obelatae ponuntur cum eadem significant similemque sequentem esse.

☧ chi et ro. haec sola vix ad voluntatem uniuscuiusque ad aliquid adnotandum ponitur.

ɸ fi et ro. haec apponuntur quotiens vel emendatio vel eius versus sollicitius est inspiciendus.

---

3. autem *cod.*, tantum *Reifferscheidius.* 6. aversa obelismene] aversa cum obelo *Isidorus Orig. I, 20, 18.* in ore *cod.*, in ora *Osannus*, in eis *Alex. Riese in N. Jahrb. f. Philol. 1866 p. 472*, ad ea *Isidorus.* 7. nosne — Frygiae] *verba Verg. Aen. 10, 88.* nosne] nos te *cod.* 12. strofe *cod.*, strofae *scripsi.* strophe et *cum Isidoro Orig. I, 20, 17 Reifferscheidius.* 15. recta et aversa superne obelatae ponuntur] diple recta et aversa superne obelata ponitur *Isidorus Orig. I, 20, 20.* 15. 16. cum eadem significant similemque sequentem esse] finita loco suo monade significatque similem sequentem quoque esse *Isidorus. locum graviter corruptum non expedio.* 17. vix ad voluntatem] ex voluntate *Isidorus Orig. I, 20, 22.* 19. vel eius] vel sensus eius *Reifferscheidius.*

⥉ **ancora superior ad aliquod praecipue dictum.**

⥌ **ancora inferior ad humilius vel inconvenientius quid enuntiatum.**

NOTAE SIMPLICES.

·> bis dictum. Ɔ alienus versus. F metafrasis Latina. Φ metafrasis Graeca. M malum metrum aut aprepes. Π contra historiam. Θ supervacuus. ∸ repugnans. H ※ recte positus et pugnanti contrarius. — propositum sine consequenti. ∸ consequens sine praeposito. —> alienus et supervacuus. ΦƆΦ7 Graeca metafrasis et bis dictum et repugnans. ΦP Graeca metafrasis et repugnans. ΦF metafrasis Graeca et Latina.

---

1. 2. ancora] anchora *cod.* 6. apraepes *cod.*, aprepes *Osannus.* 8. propositum] praepositum *Osannus.* 11. Graeca] greca *utroque loco cod.* 12. *post* latina *in codice haec accedunt:* F. de notis probianis. EXPL NOTAE.

POLYBIVS

DE BARBARISMO ET SOLOECISMO.

(V. Boissonadii Anecd. Vol. III p. 229—237 et Mus. philol. Cantabr. II p. 108—111.)

Τῶν περὶ τὰς λέξεις ἁμαρτημάτων ἃ μὲν περὶ μίαν λέξιν γίνεται, ὡς ὁ βαρβαρισμός, ἃ δὲ περὶ λόγον, ὡς ὁ σολοικισμός, ἃ δὲ περὶ ἐναλλαγὴν λέξεως ἐν συντάξει, ὡς ἡ ἀκυρολογία.

βαρβαρισμός ἐστιν ἁμάρτημα ἐν μιᾷ λέξει περὶ τὴν παρ' ἑκάστοις συνήθειαν. γίνεται δὲ κατὰ τρόπους τέσσαρας· ἔνδειαν, πλεονασμόν, μετάθεσιν, ἐναλλαγήν, ἥτις καὶ ἀντίθεσις καλεῖται. κατὰ μὲν οὖν ἔνδειαν, εἴ τις λέγοι Δημοσθένε χωρὶς τοῦ α, καὶ γέγραφαν καὶ πεποίηκαν ἀντὶ τοῦ γεγράφασι καὶ πεποιήκασι· περὶ

Polybii opusculum e codice Parisino 2552 edidit Boissonadius, e codice Barocciano 216 I. A. Cramer in *The philological Museum*, vol. II. Cantabr. 1833. illum codicem litera P, hunc litera B significamus. scriptoris nomen Crameri editio ignorat. 3. λέξεως] λέξεων P. 4. περὶ τὴν] παρὰ τὴν P. 5. ἑκάστοις] ἐλθοῦσα P, Ἕλλησι Boissonadius. 6. καὶ om. B. 7. Δημοσθένου χωρὶς τοῦ σ P, Δημοσθένε χωρὶς τοῦ α B, quod utpote βαρβαρικώτατον praetuli, cum Δημοσθένου pro Δημοσθένους dictum omni offensione careat. 8. γέγραφαν καὶ πεποίηκαν] de hac perfecti forma vide quae disseruit C. Keilius *Zwei Griechische Inschriften aus Sparta und Gytheion* (Lips. 1849) p. 27. ubi addas C. I. 6184 vol. 3 p. 875: τίνος ταῦτα τὰ χωρία γέγοναν, quo loco [ἧς] τινος ταῦτα τὰ χωρία γέγον[ε]ν male scripsit Franzius. γεγράφασι καὶ πεποιήκασι] γεγράφασιν καὶ πεποιήκασιν B.

δὲ πλεονασμόν, εἴ τις λέγοι Αἰσχίνηα σὺν τῷ α, καὶ ἐλέγοσαν καὶ ἐφέροσαν ἀντὶ τοῦ ἔλεγον καὶ ἔφερον, καὶ κοιμᾶσαι καὶ στεφανοῦσαι τὸ δεύτερον παθητικὸν δέον κοιμᾷ καὶ στεφανοῖ, ἢ εἴ τις διαιροίη μὴ καλῶς, ὡς τὸ κοῖλον κόιλον· περὶ δὲ μετάθεσιν, εἴ τις φαίη κότραφον τὸν κρόταφον καὶ δρίφον τὸν δίφρον. περὶ δ' ἐναλλαγὴν γίνεται βαρβαρισμὸς περὶ τὰς προσῳδίας, καὶ ὅταν ἕτερα ἀνθ' ἑτέρων λαμβάνηται γράμματα, οἷον εἴ τις λέγοι φιέλην τὴν φιάλην καὶ ὕελον τὴν ὕαλον Αἰνεία τε καὶ Λυσία τὴν γενικὴν δέον Αἰνείου καὶ Λυσίου, καὶ πετάμενος δέον πετόμενος, καὶ εἰλάμην ἀλλὰ οὐχ εἱλόμην· περὶ δὲ τὰς προσῳδίας περὶ μὲν τοὺς τόνους, εἴ τις λέγοι

---

1. λέγοι] λέγει B. Αἰσχίνηα σὺν τῶ α] Αἰσχίνους σὺν τῷ σ P. 1. 2. ἐλέγοσαν καὶ ἐφέροσαν] exempla similium formarum attulimus in Aristoph. Byz. p. 204 et *Eurip. Studien* I p. 12. ceterum ἐλέγοαν καὶ ἐφέροαν B. 2. 3. κοιμᾶσαι καὶ στεφανοῦσαι] cf. Lobeck. in Phryn. p. 360. πλανᾶσαι Theoph. ad Autol. 1, 11. 4. τὸ om. B. κόιλον] κοῖλον P, si Boisonadio fides habenda est. de forma Aeolica κόιλος, qua Homerus constanter fere usus est, dixi in *Mélanges Gréco-Rom.* II p. 395. cf. G. Dindorfius in Thes. Gr. L. vol. 4 p. 1711 C et M. Schmidtius in Mus. Rhen. *N. F.* XX p. 304—306. 5. κότραφον] tueri videtur hanc formam Etym. Gud. p. 158, 32: ἐγκότραφος, ἐγκρόταφος, ὁ ἀντικέφαλος. sed fortasse legendum κόρταφον, cf. Lobeck. Aglaoph. p. 1313. similis metatheseos exempla praebent Meinekius Anal. Alex. p. 118 sq. et Keilius Inscr. Boeot. p. 181. δρίφον] cf. Thes. Gr. L. vol. 2 p. 1576 C. περὶ δ'] παρὰ δὲ B. 6. περὶ τὰς] καὶ περὶ τὰς Boissonadius. 7. λαμβάνηται] λαμβάνεται P, προλαμβάνηται B. λέγοι] λέγει B. 7. 8. φιέλην τὴν φιάλην καὶ ὕελον τὴν ὕαλον] de his barbarismis vide quae attulit Lobeckius in Phryn. p. 309. μιερός pro μιαρός dictum et alibi legitur et in Epigr. C. I. 3588, 5 vol 2 p. 876. ceterum φιέ φιάλην καὶ ὕελον τὴν ὕα P. 8. Αἰνεία τε] Αἰνειά τε B, ἀτε P, Κλεινία τε Boissonadius. δέον] τοῦ B. Αἰνείου] νείου P, quod in Κλεινίου mutavit Boissonadius. 9. πετάμενος] cf. Thes. Gr. L. vol. 6 p. 1015 B. πέταται Orac. Sib. 13, 41. πέτατο ibid. 1, 256. εἰλάμην] v. Lobeck. in Phryn. p. 183. ἀλλὰ] καὶ B. 10. περὶ δὲ τὰς προσῳδίας περὶ μὲν τοὺς τόνους] sic B, περὶ δὲ τοὺς τόνους τὰς προσωδίας περὶ δὲ τοὺς τόνους P. unde

ὀξυτόνως μὲν φιλός, βαρέως δὲ σόφος, καὶ περισπωμένως σανιδῶν, βαρέως δὲ Θράκων· περὶ δὲ τοὺς χρόνους, εἴ τις τὸν μὲν μὴ ἐργαζόμενον συνεσταλμένως ἀργὸν λέγοι, τὴν δὲ πόλιν ἐκτεταμένως Ἄργος. γίνεται δὲ καὶ ἐν γραφῇ μόνῃ βαρβαρισμός, ὅταν τις μὴ κατὰ τὸν τῆς ὀρθογραφίας λόγον γράφῃ, διὰ μὲν τῆς ει διφθόγγου τὴν νείκην, διὰ δὲ μόνου τοῦ ι τὸ νῖκος, ἢ τὸ ἐνκέφαλος διὰ τοῦ ν ἀλλ' οὐ διὰ τοῦ γ. βαρβαρίζουσι δὲ καὶ οἱ ὅλως ἐκφύλοις ταῖς λέξεσιν ἢ καθόλου ὑπηλλαγμέναις χρώμενοι καὶ λέγοντες στίλλον μὲν τὸ γραφεῖον καὶ κράββατον τὸν σκίμποδα.

σολοικισμός ἐστιν ἡμαρτημένη λέξεων σύνθεσις παρὰ τὴν παρ' ἑκάστοις συνήθειαν. ὥσπερεὶ δὲ ὁ βαρβαρισμὸς παρὰ τοὺς βαρβάρους εἴρηται, οὕτω καὶ ὁ σολοικισμὸς παρὰ τοὺς σολοίκους· καὶ γὰρ οὕτω τινὲς προσηγόρευσαν τοὺς βαρβάρους· ἢ κατὰ τὸ ἔτυμον, σολοικισμός ἐστι σώου λόγου αἰκισμός. γίνεται δὲ κατὰ τρόπους τέσσαρας· κατὰ ἔνδειαν, ὡς ἐν τῷ ἔρχονται πεδίοιο, ἐνδεῖ γὰρ ἡ διὰ πρόθεσις· κατὰ πλεονασμόν·

σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες·

περὶ δὲ τὰς προσῳδίας edidit et περὶ δὲ τοὺς τόνους ἢ τὰς προσῳδίας legendum coniecit Boissonadius.

1. ὀξυτόνως om. B. **2.** τὸν μὲν μὴ] sic B, τὸν μὲν P, τὸν μὴ Boissonadius. **3.** ἀργὸν] ἀργὸς P. λέγοι] λέγει B. **4.** καὶ om. B. **6.** τὴν νείκην] scriptura titulorum fide satis munita, neque ἐνκέφαλος debebat improbari. μόνου] μόνον P. νῖκος] νίκος P. ἢ τὸ] καὶ τὸ P. **7.** ἐκφύλως BP, ἐκφύλοις Boissonadius. **8.** στίλλον] τὸν στίλλον B, στίλον maluisse Cangium tradit Boissonadius. γραφεῖον] γραφοίσιον B. **9.** κράββατον] κράβατον P. τὸν σκίμποδα] ἔνι δὲ τὸ ἐστίν addit P. *quis id exspectaret?* ait Boissonadius; et ignorat ista verba B. **10.** titulum περὶ σολοικισμοῦ praefigit P. λέξεων] λέξεως B. παρὰ τὴν] περὶ τὴν P. **11.** ἑκάστοις] ἑκάστου B. ὥσπερεὶ δὲ] ὡς δὲ B. περὶ τοὺς BP, παρὰ τοὺς Boissonadius. **12.** οὕτω καὶ] οὕτως καὶ P. περὶ τοὺς BP, παρὰ τοὺς Boissonadius. **13.** οὕτω τινὲς] οὕτως τινὲς P, οὕτω τινὰς B. **15.** τέσσαρας B, δύο P, τρεῖς ci. Boissonadius. τῷ] τῷδ' B. ἔρχονται πεδίοιο] Hom. Il. B, 801. ἔρχονται] οἴχονται B. **17.** σειρὴν — κρεμάσαντες] Il. Θ, 19.

πλεονάζει γὰρ ἡ ἐξ. κατὰ δὲ ἐναλλαγὴν γίνεται σολοικισμὸς ἤτοι ὅταν μέρος λόγου ἀνϑ' ἑτέρου τεϑῇ, οἷον, εἰ οὕτω τύχαι, ὄνομα ἀντὶ ῥήματος·

ὃν τις οἰστεύσας ἔβαλεν τόξων εὖ εἰδώς,

ἀντὶ τοῦ τοξεύειν· ἢ ὄνομα ἀντὶ ἐπιρρήματος· νέον δ' ἐσαγείρατο ϑυμόν, ἀντὶ τοῦ νεωστί· ἢ μετοχὴ ἀντὶ ῥήματος· αἰνῶς ἀκτίνεσσιν ἐοικότες, ἀντὶ τοῦ ἐοίκασιν· ἢ ἄρϑρον ἀντὶ ἀντωνυμίας· τῷ γὰρ ἐπὶ φρεσὶ ϑῆκεν· ἔδει γὰρ τούτῳ· ἢ ἄρϑρον ἀντὶ ἐπιρρήματος· τῷ τοι προφρονέως ἐρέω, ἀντὶ τοῦ διό· ἢ ἐπίρρημα ἀντὶ προϑέσεως·

ἀλλὰ Σκάμανδρος
οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον,

ἀντὶ τοῦ εἰς ἱλὸς κόλπον· ἢ ὅταν τὰ συμβεβηκότα τοῖς τοῦ λόγου μέρεσιν εἰς ἄλληλα ἐναλλάσσηται, εἶδος, γένος, ἀριϑμός· ἢ ὅταν αἱ διαφοραὶ τῶν ἐπιρρημάτων ἢ αἱ προϑέσεις ἢ οἱ σύνδεσμοι ἢ αἱ τάξεις τῶν συνδέσμων ἐναλλάσσωνται. εἶδος ἐν μὲν ὀνόμασι· δῖα γυναικῶν ἀντὶ ὑπερϑετικοῦ διοτάτη, καὶ μελάντερον ἠύτε πίσσα ἀντὶ ἀπολύτου τοῦ μέλαν ὡς πίσσα· ἐν δὲ ἀντωνυμίαις εἶδος, ὡς Ζηνόδοτος γράφει μνῆσαι πατρὸς σεῖο ἀντὶ τῆς σοῖο κτητικῆς· ἐν δὲ ἄρϑροις εἶδος· καὶ ϑώρηχ', ὁ γὰρ ἦν οἱ, ἀντὶ τοῦ

---

2. τεϑῇ] τεϑῆται B. εἰ οὕτω τύχοι] ἢ οὕτω τύχοι B. 4. ὃν τις — εἰδώς] Il. Δ, 196. ἔβαλεν] ἔβαλε P. 5. 6. νέον — ϑυμόν] Il. O, 240. 6. 7. αἰνῶς — ἐοικότες] Il. K, 547. ἐοικότες] ἠελίοιο addit B fortasse recte. 8. τῷ γὰρ — ϑῆκεν] Il. A, 55. ubi ϑῆκε legitur. 8. 9. ἐπιρρήματος] συνδέσμου cod. Matr. 9. τῷ — ἐρέω] Il. E, 816. διό] δίο B, si Cramero fides habenda. 11. 12. ἀλλὰ — κόλπον] Il. Φ, 124 sq. 13. εἰς ἁλὸς] εἰς εὐρέα B. λόγου] λόλου P. 14. ἀριϑμός] ἄριϑμος Cramer codice B, ut opinor, invito. 15. σύνδεσμοι] συνδεσμοί B, si Cramero fides. 16. ὀνόματι B. 16. 17. δῖα γυναικῶν] Il. B, 714 et al. 17. διοτάτη] διωτάτη P, om. B. 17. 18. μελάντερον ἠύτε πίσσα] Il. Δ, 277. 18. ἀντὶ ἀπολύτου τοῦ μέλαν] ἀντὶ τοῦ ἀπολυτικοῦ τοῦ μέλαν B, ἀντὶ ἀπολύτου μέλαν P. 19. μνῆσαι πατρὸς σεῖο] Il. Ω, 486. ubi nunc σοῖο scribitur. 19. 20. σοῖο κτητικῆς] σεῖο κλητικῆς P. 20. καὶ — ἦν οἱ] Il. Σ, 460. ὁ γὰρ] rectius ὃ γὰρ alii.

ὃς γὰρ ἦν οἱ· καὶ

μῦθος δ' ὃς μὲν νῦν ὑγιὴς εἰρημένος ἔστω

ἀντὶ τοῦ ὁ μὲν νῦν. γένος δὲ ἐν μὲν ὀνόμασιν· Αἴθη θῆλυς ἐοῦσα ἀντὶ τοῦ θήλεια, καὶ ἡδὺς ἀυτμὴ ἀντὶ τοῦ ἡδεῖα· ἐν δὲ μετοχαῖς γένος·

οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ

ἀντὶ τοῦ πληγεῖσαι δυϊκῶς. ἀριθμὸς δὲ ἐν μὲν ὀνόμασι· Θέσπειαν Γραῖάν τε ἀντὶ τοῦ Θεσπείας· καὶ μειδιόων βλοσυροῖσι προσώπασιν ἀντὶ τοῦ προσώπῳ· καὶ

ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ·

τὸ γὰρ ἀμφότερον ἐπὶ δύο καὶ οὐκ ἐπὶ πλειόνων τάσσεται. ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις τοῦ λόγου μέρεσιν εἰ ἐναλλάσσοιντο οἱ ἀριθμοί. περὶ δὲ σχῆμα, ὡς ἐν ἀντωνυμίαις· ζωγρεῖτ', αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι, ἀντὶ τοῦ ἐμαυτὸν συνθέτου. πτῶσις δὲ ἐν μὲν ὀνόμασιν· Νεστορίδα δ' ὁ μὲν οὔτασεν ἀντὶ τοῦ Νεστοριδῶν· καὶ Τρωσὶν μὲν προμάχιζεν ἀντὶ τοῦ Τρώων, καὶ μητίετα Ζεὺς ἀντὶ

---

2. μῦθος — ἔστω] Il. Θ, 524. 3. γένος δὲ ἐν] δὲ om. B. Αἴθη — ἐοῦσα] Il. Ψ, 409. 4. ἡδὺς ἀυτμὴ] Od. μ, 369. ἀυτμὴ om. B. 6. οὐκ ἂν — κεραυνῷ] Il. Θ, 455. κεραυνῷ, quod BP omittunt, e codice Matritensi addidit Boissonadius. 7. πληγεῖσαι] πληγεῖσα Matritensis cod., unde πληγεῖσα ci. Boissonadius. ceterum de πληγέντε feminino dixi in Soph. Oed. C. 1676. ὀνόμασι] ὀνόμασιν B. 7. 8. Θέσπειαν Γραῖάν τε] Il. B, 498. Θεσπεῖαν Γραῖάν τε P, Θέσπιαν Γραιάντε B. 8. Θεσπείας] Θεσπειάς malim. 8. 9. μειδιόων — προσώπασιν] Il. H, 212. ubi προσώπασι legitur. 10. ἀμφότερον — ὄνειαρ] Od. ο, 78. ἀμφότερον] ἀμφότερα P. ἀγλαΐη] ἀγλαγίη P.

11. ἀμφότερον] ἀμφότεροι P. 12. εἰ ἐναλλάσσοιντο] εἰ ἐναλλάσσοντο P, quod in ἐναλλάσσονται non recte mutavit Boissonadius. 13. ὡς om. B. 13. 14. ζωγρεῖτ' — λύσομαι] Il. K, 378. 14. συνθέτου] συνθέτον B, certe sic Cramer ed. δὲ om. B. 15. Νεστορίδα — οὔτασεν] Il. Π, 317. ubi Νεστορίδαι δ' ὃ μὲν οὔτασ' Ἀτύμνιον legitur, et Νεστορίδαι praebere dicitur codex Matrit. 15. 16. Τρωσὶν — προμάχιζεν] Il. Γ, 16. Τρωσὶν] Τρωσὶ P. 16. μητίετα Ζεὺς] Il. A, 175 et al.

τοῦ μητιέτης. ἐν δὲ μετοχαῖς πτῶσις·

ἀστράπτων ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων

ἀντὶ τοῦ ἀστράπτοντα καὶ φαίνοντα. ἐν δὲ ἀντωνυμίαις πτῶσις· ἡμῖν δ' αὖτε κατεκλάσθη φίλον ἦτορ ἀντὶ τοῦ ἡμῶν. ἐν δὲ ἄρθροις πτῶσις·

δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους
ἐξ ὁμόθεν πεφυῶτας, ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης,

ἀντὶ τοῦ τὸν μὲν φυλίης, τὸν δὲ ἐλαίης. περὶ δὲ τὰς ἐγκλίσεις· ἵνα εἴδομεν ἄμφω ἀντὶ τοῦ εἰδῶμεν, καὶ μὴ ἴομεν Δανοῖσι μαχησόμενοι ἀντὶ τοῦ μὴ ἴωμεν. διαθέσεις ἐν ῥήμασιν· ὀφθαλμοῖσιν ὁρῶμαι ἀντὶ τοῦ ὁρῶ. διαθέσεις ἐν μετοχαῖς· πόλεις εὖ ναιεταώσας ἀντὶ τοῦ εὖ ναιομένας, καὶ κρέα πολλὰ δαιόμενος ἀντὶ τοῦ δαίων καὶ μερίζων. πρόσωπα ἐν ῥήμασιν·

ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
σοί τ' ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος,

ἀντὶ τοῦ ἐπιπειθόμεθα καὶ δεδμήμεθα. πρόσωπα ἐν ἀντωνυμίαις·

δεῦτε δὴ ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι,

ἀντὶ τοῦ ὑμέτερον. χρόνοι ἐν ῥήμασιν· ἐγὼ δέ κ' ἄγω Βρισηίδα

---

1. δὲ om. B. 2. ἀστράπτων — φαίνων] Il. B, 353. ἐπιδέξι'] ἐπιδεξία B, ἐπιδέξια P. verba ἐναίσιμα σήματα φαίνων om. BP, addidit Boissonadius. 4. ἡμῖν — ἦτορ] Od. ι, 256. ubi sequitur δεισάντων φθόγγον τε βαρὺν αὐτόν τε πέλωρον. δ' om. P. 6. 7. δοιοὺς — ἐλαίης] Od. ε, 476 sq. 7. ἐξ ὁμόθεν] ἐξομόθεν BP. 8. φυλίης] φυλίας P. ἐλαίης] ἐλαίας P. 9. ἵνα εἴδομεν ἄμφω] Il. A, 363. εἰδῶμεν] εἴδωμεν P. 9. 10. μὴ ἴομεν — μαχησόμενοι] Il. M, 216. μαχησόμενοι] μαχησάμενοι P. 10. 11. ὀφθαλμοῖσιν ὁρῶμαι] Il. N, 99. 11. μετοχαῖς] μετοχῇ P. 11. 12. πόλεις εὖ ναιεταώσας] Il. B, 648. 12. 13. κρέα — δαιόμενος] Od. ρ, 331 sq. δαιόμενος] δεόμενος P. 14. 15. ἄλλοι — ἕκαστος] Il. E, 877 sq. 14. θεοί] θεοὶ B. 15. δεδμήμεσθα] δεδμήμεθα P. 16. τοῦ om. P. 17. δεῦτε — ὑμνείουσαι] Hesiod. Op. 2. δεῦτε δὴ ἐννέπετε σφέτερον] sic B, σφέτερον δεῦτε Δί' ἐνέπετε P. 18. ἐγὼ — Βρισηίδα] Il. A, 184. Βρισηίδα] Βρισήιδα B, Χρυσηίδα P.

ἀντὶ τοῦ ἄξω. ἐν δὲ μετοχαῖς χρόνοι· τοῖσι δ' ἀνιστάμενος μετέφη ἀντὶ τοῦ ἀναστάς. ἐν δὲ ἐπιρρήμασι γίνεται σολοικισμὸς οὕτως· καὶ εἴσω δόρπον ἐκόσμει ἀντὶ τοῦ ἔνδον, καὶ ἐγγύθεν ἱσταμένη ἀντὶ τοῦ ἐγγύς. ἐν δὲ προθέσεσιν· εἰς Ἀγαμέμνονα δῖον ἀντὶ τοῦ πρὸς Ἀγαμέμνονα, καὶ ὑπὸ Ἴλιον ἦλθον ἀντὶ τοῦ ἐπὶ Ἴλιον. ἐν δὲ συνδέσμοις·

αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
ἀλλ' ἕταρον πέμπω,

ἀντὶ τοῦ ἑταῖρον δέ, καὶ

ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν,

ἀντὶ τοῦ κρατερὸν γάρ. περὶ δὲ τὴν ἐναλλαγὴν τῆς συντάξεως τῶν συνδέσμων γίνεται σολοικισμὸς οὕτως ὡς παρὰ Μενάνδρῳ·

θυγάτριον, ἡ νῦν ἡμέρα δίδωσί μοι
ἢ δόξαν ἤτοι διαβολήν.

ἐχρῆν γὰρ ἤτοι δόξαν ἢ διαβολήν. ταῦτα δὲ πάντα παρὰ τοῖς μὲν ποιηταῖς σχήματα, καθ' ὑπόθεσιν δὲ ἐν χώρᾳ σολοικισμῶν παρείληπται.

---

1. 2. τοῖσι — μετέφη] Il. A, 58. 3. καὶ εἴσω — ἐκόσμει] Od. η, 13. Apollonium de adverb. p. 609, 18 conferri iubet Boissonadius. 3. 4. ἐγγύθεν ἱσταμένη] Il. K, 508. ἱσταμένη] ἱσταμένος B. 4. εἰς Ἀγαμέμνονα δῖον] Il. H, 312. 5. ὑπὸ Ἴλιον ἦλθον] Il. B, 249. 7. 8. αὐτὸς — πέμπω] Il. Π, 239 sq. 7. νηῶν] νεῶν P. 10. ἀλλὰ — ἔτελλεν] Il. A, 25. 11. δὲ om. B. 12. συνδέσμων om. P. γίνεται] γίνεται γὰρ B. Μενάνδρῳ] Men. Com. 4 p. 327. ceterum de ἢ — ἤτοι, quod rarissimum sane est, vide quae disputavi Observ. crit. de trag. Graec. fragm. p. 35. 15. τοῖς μὲν] τοῖς B.

ANONYMVS

DE BARBARISMO ET SOLOECISMO.

(V. Boissonadii Anecd. Vol. III p. 238—240 et Mus. philol. Cantabr. II p. 111—114.)

Βαρβαρισμός ἐστιν ἁμάρτημα ἐν λέξει γινόμενον παρὰ τὴν τῶν ἑλληνιζόντων συνήθειαν. εἴρηται δὲ οὕτως, βαρυαυδατισμός τις ὤν. γίνεται δὲ τρόποις πέντε, προσθέσει, ἀφαιρέσει, ἐναλλαγῇ, μεταθέσει, καὶ περὶ προσῳδίαν· προσθέσει γράμματος, ὡς ἐάν τις λέγῃ Αἰσχινέου δέον Αἰσχίνου· ἀφαιρέσει, ἐάν τις λέγῃ Δημοσθένε δέον Δημοσθένεα· ἐναλλαγῇ γράμματος, οἷον ἐάν τις λέγῃ δρίφος ἀντὶ τοῦ δίφρος· μεταθέσει γράμματος, ὡς κίσηλις δέον κίσηρις. γίνονται δὲ βαρβαρισμοὶ καὶ περὶ προσῳδίαν.

σολοικισμός ἐστιν ἀκατάλληλος θέσις τῶν τοῦ λόγου μερῶν.

«Quae sequuntur a praecedentibus librarius relicto tenui intervallo distinxit. lemma (Ἀνωνύμου περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ) addidi.» Boissonadius. sicut in Parisino libro 2552, ita in Barocciano 216 haec quae sequuntur cum Polybii opusculo iuncta sunt. 1. ἐστιν] ἐστι P. γινόμενον] γενόμενον B. 3. πέντε] ε' BP. 4. περὶ] παρὰ P. Αἰσχινέου] Ἀισχινέου B, Αἰσχίνους P. 5. Δημοσθένε δέον Δημοσθένεα B, Δημοσθένου δέον Δημοσθένους P. 6. ἐάν τις λέγῃ] ita Boiss. ed., qui ἐὰν λέγει in P esse dicit, simpliciter ἐάν τις B. 6. 7. «male sedem permutarunt nomina ἐναλλαγῇ et μεταθέσει: est enim μετάθεσις in δίφρος, ἐναλλαγὴ in κίσσηλις». Boissonadius. 7. κίσηλις δέον κίσηρις] κίσσηλις δέον κίσσηρις Boissonadius. 8. βαρβαρισμοὶ καὶ] καὶ βαρβαρισμοὶ P. 9. ἐστιν] ἐστι P.

ἀκατάλληλος θέσις] sic B, ἀκατάλληλος P, unde ἀκατάλληλος πλοκὴ scripsit Boissonadius duce Gramm. Valck. p. 197.

εἴρηται δὲ σολοικισμὸς ἤτοι ἀπὸ τῶν εἰς Σόλους μετοικησάντων, οἳ πειρώμενοι τῇ Σόλωνος χρῆσθαι διαλέκτῳ ἡμάρτανον, ἢ ἀπὸ τοῦ τὸν σῶον λόγον λυμαίνεσθαι ἢ ἀπὸ τοῦ θολισμὸν εἶναι τοῦ λόγου, τοῦτ' ἔστι σκοτισμόν. γίνεται δὲ περὶ τὰ μέρη τοῦ λόγου καὶ περὶ τὰ παρεπόμενα. περὶ τὰ γένη, ὡς Εὐριπίδης·

ὦ Κύπρις, ὡς ἡδεῖα καὶ μοχθηρός.

περὶ τὰς πτώσεις, ὡς ὦ φίλος. περὶ τοὺς ἀριθμούς·

τὸ μέν τι χαίρω, τὸ δέ τι καὶ λυπούμεθα.

περὶ δὲ τὰ σχήματα σολοικίζουσιν οἱ λέγοντες ὄναγρον· τὰ γὰρ σύνθετα ἐκ διαιρέσεως προφέρονται Ἀττικοί. περὶ τὰ ειδη·

ὃς Οἰδίπουν ἀπώλεσ', Οἰδίπους δ' ἐμέ.

περὶ τοὺς χρόνους· ἐγὼ δέ κ' ἄγω Βρισηίδα καλλιπάρῃον. περὶ τὰς διαθέσεις, ὡς παρὰ Πινδάρῳ

καλεῖτ' ἐς χορὸν Ὀλύμπιοι,

ἀντὶ τοῦ καλεῖσθε. περὶ τὰς ἐγκλίσεις, ὡς παρὰ Καλλιμάχῳ· ἴσχε,

---

1. εἴρηται] εἴρεται P. μετοικησάντων] μετοικισάντων P, fortasse recte. οἳ] οἱ B. 3. λυμαίνεσθαι] λυμένεσθαι P. 5. παρεπόμενα] περιπόμενα P. ὡς Εὐριπίδης B, ὡς παρ' Εὐριπίδῃ P. ad versum Euripideum (fr. 867) supplendum εἶ probabiliter addit Schneidewin.
7. ὦ φίλος] v. exempla in Thes. Gr. L. vol. 8 p. 876 C allata.
8. τὸ μέν — λυπούμεθα] Trag. adesp. 17. 9. δὲ om. B. ὄναγρον] cf. Lobeck. in Phryn. p. 381 sq. 11. ὃς — ἐμέ] Eur. fr. 71. ὃς] ὡς P. ἀπώλεσ'] ἀπώλεσεν P. 12. περὶ B, περὶ δὲ P. ἐγὼ — καλλιπάρῃον] Il. A, 184. Βρισηίδα] Χρυσηίδα P. καλλιπάρῃον] καλλιπάρῃσον B, si Cramero fides. 13. Πινδάρῳ] Pind. fr. 53, 1 ed. Bergk.: ἴδετ' ἐν χορόν, Ὀλύμπιοι. 14. καλεῖτ'] vitiosa lectione grammaticus deceptus est. Ὀλύμπιοι] Ὀλύμπια P. 15. ἀντὶ τοῦ] ἀντὶ B. καλεῖσθε] καλεῖσθαι P. 15. p. 292, 1. ἴσχε, τέκος, μὴ πῖθι] eadem verba omisso poetae nomine extant in Epim. Hom. Anecd. Oxon. vol. 1 p. 207, 24. cf. Naek. Opusc. philol. II p. 124.

τέκος, μὴ πῖϑι, προστακτικὴ ἀντὶ τῆς ὑποτακτικῆς τῆς μὴ πέῃς. περὶ πρόσωπα, ὡς ἐν ἀντωνυμίαις· σφέτερον πατέρ' ὑμνείουσαι, ἀντὶ τοῦ ὑμέτερον. περὶ τὰς μετοχάς·

οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ,

ἀντὶ τοῦ πληγεῖσαι. περὶ τὰ ἄρϑρα·

μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο.

περὶ τὰς προϑέσεις, ὡς κάππεσον ἐν Λήμνῳ, καὶ παρὰ Θουκυδίδῃ· εἰς τὸ Ἡραῖον ἐκαϑέζοντο, καὶ παρὰ Μενάνδρῳ·

καϑιζάνει μὲν ἐνίοτ' εἰς τὰ σήσαμα,

καὶ ἐν Ψοφοδεεῖ·

ἐπίσημον αὖ τὴν ἀσπίδ' ἐς τὴν τοῦ Διὸς
στοὰν ἀνέϑηκαν.

περὶ τὰ ἐπιρρήματα, ὡς παρ' Εὐριπίδῃ·

πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος
ϑεὰ κέκλημαι Κύπρις οὐρανοῦ τ' ἔσω,

ἀντὶ τοῦ ἔνδον. περὶ τοὺς συνδέσμους, ἐάν τις τῷ μὲν τὸν δὲ μὴ ἐπενέγκῃ, οἷον

---

1. ἀντὶ τῆς ὑποτακτικῆς] ἀνϑ' ὑποτακτικῆς P. 2. πέῃς] πίϑης P. 2. 3. σφέτερον — ὑμνείουσαι] Hesiod. Op. 2. 4. οὐκ ἂν — κεραυνῷ] Il. Θ, 455. 6. μακροῖσι — ἔκειτο] Il. O, 388. «omisit, puto, librarius grammatici observationem, scilicet articulum τὰ esse ἀντὶ του ἅ.» Boissonadius. 7. ὡς om. B. κάππεσον ἐν Λήμνῳ] Il. A, 593. κάππεσον] κάππεσεν P. Θουκυδίδῃ] Thuc. I, 24, 7: ταῦτα δὲ ἱκέται καϑεζόμενοι ἐς τὸ Ἡραῖον ἐδέοντο. 8. Μενάνδρῳ] Men. Com. 4 p. 328. 9. ἐνίοτ'] ἐνίοτε P. σήσαμα] σάσημα B. 10. ἐν Ψοφοδεεῖ] Menandri Com. 4 p. 225. 11. οὖν P, αὖ B. ἐς τὴν τοῦ Διὸς P, εἰς τὴν Διὸς B, εἰς Διὸς coniecit Cramer. 13. περὶ τὰ] παρὰ P. ὡς παρ'] ὡς παρὰ P. Εὐριπίδῃ] Eur. Hipp. 1 sq. 16. ἀντὶ τοῦ ἔνδον] omittit haec verba P.

Τρωσὶν μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδής,
παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα.

---

1. 2. Τρωσὶν μὲν — τόξα] Il. Γ, 16 sq. 1. Τρωσὶν] Τρωσὶ P. 2. post καμπύλα τόξα codex B haec addit quae P ignorat. ὅς περισσὰ λέγει καὶ ὑπερήφανα ἢ ἁπλῶς ἀμέτρως λέγει, σολοικίζει τῷ πλεονασμῷ· ὥς (ὡς ed.) δὲ καὶ ὁ σιωπῶν ἃ μὴ δεῖ καὶ ὁ μικροπρεπὴς καὶ ἐπὶ τῇ ἐλλείψει, καὶ ὁ ψευδόμενος δὲ τῇ ἐναλλαγῇ. κατὰ γένος δὲ ὁ πρὸς γυναῖκας (γυναῖκα ed.) ἢ παιδία ποιούμενος φιλίας, ὀφείλων πρὸς ἄνδρας· κατὰ εἶδος ὁ ὑποκορισμῷ χρώμενος πρὸς οὓς οὐ δεῖ ἢ τῷ πατρὶ ὡς δούλῳ· κατὰ ἀριθμὸν ὁ πολλὰ μὲν ὀφείλων, διδοὺς δ' ὀλίγα· κατὰ πρόσωπον ὁ τῷ ὑστέρῳ τὴν προτέραν διδοὺς τάξιν ἢ τὸ ἀνάπαλιν· κατὰ χρόνον ὁ ἔξω καιροῦ τι (τὶ ed.) ποιῶν ἢ ζητῶν· κατὰ διάθεσιν ὡς ὁ δο...... ὀφείλων εἶναι ζητῶν ἢ φθόνον ἢ δειλίαν ἔνθα μὴ δεῖ ἢ ἀνδριζόμενον ἐφ' οἷς οὐ δεῖ, ἀλλὰ θρασυνόμενον· κατ' ἔγκλισιν ὡς ὁ προστάττων ἐφ' οἷς δεῖ παρακαλεῖν· κατὰ σχῆμα ὁ εἰρωνευόμενος ἢ ὑποκρινόμενος καὶ ὁ διαστρέφων .... ἤτοι (ἦτοι ed.) τὸν Λουκιανοῦ (Λουκιάνου ed.) ψευδοσολοικιστήν ... verba ista aliquot locis vel lacunosa vel mendosa corriget qui voluerit et potuerit: nobis vix digna visa sunt in quibus diutius haereremus. sed quae in fine extat Lucianei libri memoria docet duobus Thomae Mag. locis p. 49, 1. 364, 4 traditam scripturam non debuisse sollicitari.

HERODIANVS

DE SOLOECISMO ET BARBARISMO.

(V. Boissonadii Anecd. Vol. III p. 241—261.)

Πᾶς λόγος μὴ ἀκριβῆ τὴν ὁμιλίαν ἔχων ἀπαιδευσίας ἱκανὰ φέρει τεκμήρια· ὅθεν τοὺς πειρωμένους τὴν γραμματικὴν μεταδιώκειν ἀναγκαῖόν ἐστιν ἀσολοίκιστον καὶ ἀβαρβάριστον τὴν προφορὰν τῶν λόγων ποιεῖσθαι, εἰδότας τὴν ἐν αὐτῇ γινομένην ἁμαρτίαν. μήτηρ γὰρ φιλοσοφίας καὶ ῥητορικῆς γέγονε γραμματικὴ καὶ πάσης καλῶς λεγομένης ἐπιστήμης τε καὶ τέχνης ῥίζα καὶ γένεσις πέφυκεν αὕτη, θρέψαι δυναμένη παιδὸς ἀρετήν, ἀκριβουμένη διὰ τεχνικῆς ἐμπειρίας εἰς τὴν ἀναμάρτητον τῆς λέξεως ἐμπειρίαν, ἐξ ἧς

Personati Herodiani opusculum Boissonadius recensuit ad quattuor codices Parisinos 1270, 2551, 2720, 2929, quos literis A, B, C, D signavit. titulum praefixit Ἡρωδιανοῦ περὶ σολοικισμοῦ, sed in codice D περὶ σολοικισμῶν καὶ βαρβαρισμῶν legi adnotat. 1. οὐκ ἀκριβῆ Boiss. ed., μὴ ἀκριβῆ AC. 1. 2. ἱκανὰ φέρει] φέρει ἱκανὰ C, ἱκανὰ om. BD. 3. ἐστιν] ἐστι B. προφορὰν] προσφορὰν B. 4. τοῦ λόγου ed., τῶν λόγων AC. ἐν αὐτῇ] ἑαυτοῖς BD. γινομένην] γιγνομένην C. 5. γέγονε om. C. alterum καὶ om. D. 6. καλῶς om. BD. ἐπιστήμης τε καὶ] τ' ἐπιστήμης καὶ (deleto τ' punctis) A. ῥίζα] καλῶς ῥίζα B. 7. ἀκριβουμένη] ἀκριβωμένη D. 8. εἰς τὴν] εἰς τὸ BD. ἐμπειρίαν] ἐμπειρία καὶ ὁμολογία BD. «in D e correctione ὁμολία, in B videtur fuisse prius ὁμιλία. forsan ὁμιλίαν legendum pro ἐμπειρίαν». Boissonadius.

πᾶς ἔπαινος ὑφοῦται. ἐπὶ τὴν εὔθυναν οὖν τῶν σολοικισμῶν καὶ βαρβαρισμῶν τὸν λόγον ἡμῶν ἀναγκαῖόν ἐστιν ἐσπεῦσθαι. πειράσομαι δὴ κατὰ πάντα προνοεῖσθαι τοῦ διδασκαλικώτατα καὶ σαφέστατα λέγειν· μία γὰρ αὕτη πρὸς νέον λόγων ὁδὸς εὐκόλως καὶ λευκῶς ἐπὶ τὴν μάθησιν ἐλθεῖν. τρεῖς οὖν γίνονται κακίαι περὶ λόγον· σολοικισμός, βαρβαρισμὸς καὶ ἀκυρολογία. πρῶτον δὲ τὰ τοῦ σολοικισμοῦ καταμάθωμεν.

γίνεται οὖν σολοικισμὸς ἐν συμπλοκῇ λέξεων ἀλλήλαις ἀναρμόστων εὔκολος, ὅταν ἡ διαίρεσις πρὸς τὴν συμπλοκὴν τῶν λόγων μὴ ἄγαν ᾖ εὐάρμοστος. ὧν γὰρ καλοῦμεν ἢ προφερόμεθα πάντως ἕκαστόν ἐστιν ἢ ὄνομα ἢ προσηγορία ἢ ῥῆμα ἢ μετοχὴ ἢ ἄρθρον ἢ ἀντωνυμία ἢ πρόθεσις ἢ ἐπίρρημα ἢ σύνδεσμος· ἐννέα γὰρ ταῦτα ἔστι μέρη τοῦ λόγου, ὧν ἔξωθεν οὐδεμία ταῖς ὁμιλίαις ἐμπολιτεύεται λέξις. ἡ δὲ παραλλαγὴ τούτων εἰς τὸν τῶν ἁμαρτημάτων ὄλισθον ἁλίσκεται.

---

1. εὔθυναν] εὐθύνην ed. Boiss., qui εὐθύναν in A, εὐθεῖαν in C legi dicit. 1. 2. τῶν σολοικισμῶν καὶ βαρβαρισμῶν] τῶν βαρβαρισμῶν C, τῶν βαρβαρισμῶν καὶ σολοικισμῶν καὶ βαρβαρισμῶν B, τῶν βαρβαρισμῶν καὶ σολοικισμῶν D. 2. ἐσπεῦσθαι] ἕπεσθαι BD. 3. τοῦ] τοῦ λέγειν C. διδασκαλικώτατα] διδασκαλικοῦ ταῦτα BD. 4. λέγειν h. l. om. C. μία] ὁμοία BD. λόγων] λόγον BCD. 4. 5. εὐκόλως καὶ λευκῶς] ῥαδίως C, εὔκολος D. . λευκῶς suspectum. 6. 7. πρῶτον — καταμάθωμεν] καταμάθωμεν δὴ πρῶτον τὰ τοῦ σολοικισμοῦ C, πρῶτον μὲν οὖν περὶ τοῦ σολοικισμοῦ BD. 8. σολοικισμὸς] ὁ σολοικισμὸς BD. 8. 9. ἐν συμπλοκῇ — εὔκολος] εὔκολος ἐν συμπλοκῇ λέξεων ἀλλήλαις ἀναρμόστων C. συμπλοκῇ] συμπλοκαῖς BD. ἀναρμόστων] ἐναρμουσῶν B, ἁρμουσῶν D. εὔκολος] εὔλογος e correctione B (ubi prius εὔκολος fuit) et D. 9. ὅταν Boissonadius, ὅτε libri. πρὸς τὴν] πρὸς τὸ τὴν A. 10. ἄγαν ᾖ εὐάρμοστος] ἀγανακτεῖν A, ἀγανακτεῖ C. in B post ἄγαν est lacunula. ὧν γὰρ καλοῦμεν ἢ] ὧν καλοῦμεν καὶ BD. 11. ἕκαστόν ἐστιν] ἕκαστον ἔστιν ed. 12. ὄνομα ἢ σύνδεσμος in A legi Boissonadius parum accurate tradit. 12. 13. ταῦτα ἔστι] ἐστι ταύτα BD, ταῦτα ἐστὶ ed. 13. τοῦ om. B. οὐδεμία] οὐδεμία λέξις C. πως Boiss. ed., ταῖς AC. ὁμιλίαις] ὁμιλίᾳ D. 14.

προσηγορία μὲν οὖν ἐστι λέξις γενικήν τινα ἐμφαίνουσα διάνοιαν, οἷον ἄνθρωπος, ἵππος, βοῦς· ἔθνος γὰρ τούτων ἕκαστον καὶ γένος. ὄνομα δέ ἐστιν ὃ ἀπὸ τοῦ γένους τὸ εἶδος χαρακτηρίζει. ἄνθρωποι γὰρ πολλοί· ὅταν δὲ εἴπωμεν Δημοσθένης, Αἰσχίνης, τῷ ὀνόματι τὸ εἶδος ὑποπίπτει. ῥῆμα δέ ἐστιν ὃ τῶν πραγμάτων τὰ πάθη δηλοῖ ἢ τὰς ἐνεργείας, οἷον ὁ μὲν ἄνθρωπός ἐστι προσηγορία· εἶτα ἠρωτήσαμεν, τίς; ὑπήντησε τὸ ὄνομα, Δημοσθένης· ἀνάγκη τοῦτον τί ποιεῖ κατηγορεῖσθαι. τὸ γὰρ ῥῆμα οὐκ ἐν σώματι κεῖται, ἀλλ' ἐνεργείᾳ ἢ πάθει· δηλοῦται γὰρ ὑπὸ μὲν τῶν προσηγοριῶν τὰ γένη, ὑπὸ δὲ τῶν ῥημάτων αἱ πράξεις. ἴδωμεν οὖν πῶς πρῶτον ὁ σολοικισμὸς περὶ ταῦτα συμβαίνων τὴν ὀρθοέπειαν ἀδικεῖ· ἀρξόμεθα δὲ ἀπὸ τῶν προσηγοριῶν καὶ τῶν ὀνομάτων.

παρέπονται δὲ ταῖς προσηγορίαις καὶ τοῖς ὀνόμασιν ἀριθμοὶ μὲν τρεῖς, πτώσεις δὲ πέντε καὶ γένη πέντε· ἀρσενικόν, θηλυκόν, οὐδέτερον, κοινὸν καὶ ἐπίκοινον. ἐν τάξει δὲ ἀπὸ τῶν ἀριθμῶν εὐθύνωμεν τὸ σφάλμα τοῦ σολοικισμοῦ.

λέξις hoc loco om. C. τὸν τῶν ἁμαρτημάτων ὄλισθον] τὸν ὄλισθον τῶν ἁμαρτημάτων C. 15. ἁλίσκεται suspectum.

1. μὲν om. BD. τινα om. BD. 2. βοῦς om. AB, nisi forte BD voluit Boissonadius, qui ἄνθρωποι ἵπποι ἔθνος in D esse tradit.

2. 3. ἔθνος — γένος] τούτων γὰρ ἕκαστον ἔθνος τε καὶ γένος C.

3. τοῦ om. BD. 4. εἴπωμεν] εἴπομεν C. Δημοσθένης ἢ Αἰσχίνης Boiss. ed., Δημοσθένης Αἰσχίνης AC. 7. εἶτα ἠρωτήσαμεν] εἰ ἐρωτήσωμεν D. Δημοσθένης] δόκησις D, in B compendium nominis Δημοσθένης valde contortum et obscurum viciniusque voci δόκησις esse dicitur. 7. 8. ἀνάγκη τοῦτο κατηγορεῖσθαι A. 8. νοεῖται ed., κεῖται AC. 9. δηλοῦται] δηλοῦνται BD. προσηγοριῶν] προσηγορικῶν BD. 10. ἴδωμεν] δῶμεν B. πρῶτον] πρῶτος BD.

11. περὶ] παρὰ AC. τὴν om. BD. ἀρξόμεθα] ἠρξάμεθα ABC. 12. προσηγοριῶν] προσηγορικῶν BD. 13. καὶ τοῖς ὀνόμασιν om. BD. μὲν om. BD. 14. καὶ γένη] γένη δὲ AB. 14. 15. ἀρσενικόν, θηλυκόν, οὐδέτερον] ἀρσενικὰ, θηλυκὰ, οὐδέτερα BD.
15. 16. εὐθύνωμεν] εὐθύνομεν BCD.

ἀριθμός ἐστιν ἑνικὸς ὁ Αἴας, δυϊκὸς τὼ Αἴαντε, πληθυντικὸς οἱ Αἴαντες. δεῖ τοίνυν ἑνικὸν ἑνικῷ ἐπιφέρειν καὶ δυϊκῷ δυϊκὸν καὶ πληθυντικῷ πληθυντικόν· ἐὰν δέ τις ἑνικῷ πληθυντικὸν ἢ πληθυντικῷ ἑνικὸν ἢ πάλιν δυϊκῷ πληθυντικὸν ἐπενέγκῃ, περὶ τοὺς ἀριθμοὺς ὁ σολοικισμός, οἷον

ὅστις γὰρ ἀνδρῶν οἴεται μεῖζον φρονεῖν,
οὗτοι διαπτυχέντες ὤφθησαν κενοί·

τῷ γὰρ ἑνικῷ τὸ πληθυντικὸν ἐπενεχθὲν ἀναρμόστως τὸν λόγον ἔβλαψεν. ἐπὶ δυϊκοῦ·

Αἴαντε δ' ὁρμήσαντες ἐκ ξυνωρίδος·

ἔδει γὰρ ἐπενεχθῆναι δυϊκῷ δυϊκόν. τὸ δὲ πληθυντικὸν τῷ ἑνικῷ συναφθὲν ἀσχημονεῖ·

ἦλθεν δὲ λαοὶ μυρίοι πρὸς ἠόνα·

πληθυντικῷ γὰρ ἐπιφερομένῳ τῷ λαοὶ μυρίοι ἔδει συνῆφθαι πληθυντικὸν τὸ ἦλθον, οὐχὶ ἦλθεν.

---

1. δυϊκὸς δὲ τὼ Αἴαντε, πληθυντικὸς δὲ ed. Boiss., δὲ utrumque om. AC. **2.** ἑνικὸν ἑνικῷ Boiss., ἑνικὸν τῷ ἑνικῷ AC, ἑνικῷ ἑνικὸν BD. **3.** πληθυντικῷ πληθυντικόν] πληθυντικὸν πληθυντικῷ CD. **3. 4.** ἐὰν δέ τις — ἐπενέγκῃ] ἐὰν δέ τις ἑν. πληθ. ἐπενέγκῃ BD, ἐὰν δέ τις πληθ. ἑν. ἐπενέγκῃ C. ἐπενέγκοι A. **4.** περὶ τοὺς ἀριθμούς] περὶ ἀριθμοὺς BCD. **5.** οἷον ἐπὶ ἑνικοῦ ed. Boiss., ἐπὶ ἑνικοῦ omisi cum AC. **6. 7.** ὅστις γὰρ — κενοί] Soph. Ant. 707 et 709. **6.** ἀνδρῶν οἴεται] οἴεται ἀνδρῶν BD. Sophoclis libri praebent ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ, Priscianus Inst. gramm. XVII, 157 (vol. 2 pag. 185, 2 ed. Hertz.) ὅστις γὰρ αὐτῶν εὖ φρονεῖν μόνος δοκεῖ. potior videtur Prisciani scriptura, modo αὐτῶν in ἀστῶν mutaris. **7.** διαπτυχέντες] διαπτυχθέντες recte Sophoclis libri. **8.** ἀναρμόστως] ἁρμοδίως BD. **10.** Αἴαντε — ξυνωρίδος] Trag. adesp. 153. δ' ὁρμήσαντες] διορμήσαντες BD. ξυνωρίδος] συνωρίδος A. **11.** δυϊκῷ δυϊκόν] δυϊκὸν δυϊκῷ BD. τὸ δὲ πληθυντικὸν τῷ ἑνικῷ] τῷ δὲ πληθυντικῷ τὸ ἑνικὸν A. **13.** ἦλθεν — ἠόνα] Trag. adesp. 154. Sophoclis esse versum coniecit Schneidewinus Coni. crit. p. 92. ἦλθεν Boissonadius, ἦλθε libri. ἠόνα] εἰιόνα B, ἠιόνα D. **14.** λαοὶ] λαῷ BD. συνῆφθαι] συναφθῆναι C. **15.** οὐχὶ ἦλθεν om. BD.

οὕτω δεῖ καὶ ἐπὶ τῶν πτώσεων ὀνομαστικῇ μὲν ἐπιφέρειν ὀνομαστικήν, γενικῇ δὲ γενικὴν καὶ πάσαις τὸ ἀκόλουθον. εἰ δέ τις παραλλάξει τὰς πτώσεις, σολοικισμὸν ἀκούει· «Νέστωρ» γὰρ εἰπών, «οὐδὲν αὐτοῦ γλυκύτερον» εἰ ἐπενέγκοι, περὶ τὴν πτῶσιν ἁμαρτήσεται. ὁμοίως δὲ κἂν δοτικὴν τις ἀντὶ γενικῆς ἐπενέγκῃ, τῶν ἐπιφερομένων οἰκείων τῇ γενικῇ τυγχανόντων, ἁμαρτήσεται, οἷον Τρωσὶ μὲν ἡγεμόνευεν ἀντὶ τοῦ Τρώων· ἢ πάλιν αἰτιατικὴν ἀντὶ δοτικῆς·

χεῖρας δὲ Τρώων ὅπλ' ἔδωκαν Ἑλλάδος,

ἀντὶ τοῦ δοτικῇ χρήσασθαι «χερσὶ δὲ Τρώων ὅπλ' ἔδωκαν». καὶ πάλιν ἀντὶ αἰτιατικῆς γενικήν·

τιμᾶν Μακεδόνων εἵνεχ' εὐανδρησίας,

---

1. δεῖ] δὲ BCD. 1. 2. ὀνομαστικῇ — γενικὴν] ὀνομαστικὴν μὲν ἐπιφέρειν ὀνομαστικῇ γενικὴν δὲ γενικῇ C. ἐπιφέρειν om. BD. 3. ἀκούει] ποιήσει malim. 4. παρὰ τὴν πτῶσιν ed., περὶ τὴν πτῶσιν scripsi e Boissonadii coniectura. qui de BD haec tradit: «B, πτώσεις οὐ μὲν αὐτοῦ γλυκ. ἁμαρτ. et sic D, cum μὴν, si bene memini».

5. 6. ὁμοίως δὲ δοτικῇ (δοτικὴ B) τὶς ἀντὶ γενικῆς χρήσεται (χρήσηται B), τῶν ἐπιφερομένων BD. δοτικὴν] δοτικῇ A. verba ἐπενέγκῃ τῶν ἐπιφερομένων οἰκείων τῇ γενικῇ om. A, verba τῶν — τυγχανόντων om. C. 6. 7. Τρωσὶ μὲν ἡγεμόνευεν] Il. B, 816. «voluisse puto grammaticum versum citare Homeri Il. Γ, 16: Τρωσὶν μὲν προμάχιζεν, in quo scholiastes Venetus πτωτικὸν σχῆμα inesse ait; Τρωσὶν scilicet pro Τρώων». Boissonadius, qui Polyb. de soloec. p. 287, 15 huius edit. conferri iubet. ceterum ἡγεμόνευεν AC, ἡγεμόνευον BD.

7. αἰτιατικὴν] γενικὴν C. verba αἰτιατικὴν ἀντὶ δοτικῆς om. ABD. 8. χεῖρας — Ἑλλάδος] Trag. adesp. 155. versus obscurissimi emendationem periclitatur Herwerdenus Exerc. crit. p. 85. χεῖρας δὲ] δὲ χεῖρας BD, δὲ om. A. ὅπλ'] ὅπλα A. Ἑλλάδος] ἑκάδος BD.

9. ἀντὶ τοῦ — ἔδωκαν] ἀντὶ τῆς δοτικῆς ἐχρήσατο τῇ αἰτιατικῇ BD. χερσὶν δὲ ed. Boiss., χερσὶ δὲ AC. ὅπλ'] ὅπλα A. 10. ἀντὶ αἰτιατικῆς γενικήν] ἀντὶ γενικῆς αἰτιατικήν C, om. haec verba ABD. 11. τιμᾶν — εὐανδρησίας] Trag. adesp. 156. dixit de hoc versu Herwerdenus Exerc. crit. p. 41, qui suspicatur olim lectum fuisse: τιμᾶν, Μακεδόνων ἕνεκα τῆς εὐανδρίας. atque εὐανδρησία forma etiam Lobeckio Proleg. Pathol. p. 427 suspecta fuit; sed quod Her-

ἀντὶ τοῦ αἰτιατικῇ χρήσασθαι «Μακεδόνας τιμᾶν». καὶ πάλιν εὐθεῖαν ἀντὶ κλητικῆς, οἷον χαῖρε, φίλος ἀντὶ τοῦ κλητικῇ χρήσασθαι «χαῖρε, ὦ φίλε».

γενῶν δὲ ἀρρενικὸν μέν ἐστιν ὁ Αἴας, θηλυκὸν δὲ ἡ Ἑλένη, οὐδέτερον δὲ ἀπὸ τοῦ μηδετέρου τὴν ἔμφασιν ἔχειν, οἷον τὸ βῆμα, τὸ παιδίον· κοινὸν δὲ ὃ ἴδιόν ἐστι τῶν δύο γενῶν ἀρσενικοῦ καὶ θηλυκοῦ, οἷον ὁ ἄνθρωπος· ἐπίκοινον δὲ ὃ τῇ μὲν δυνάμει τάσσεται κατὰ τῶν δύο γενῶν, οὐκ ἐπιδέχεται δὲ τὸ ἀρρενικὸν ἄρθρον, οἷον γαλῆ, περιστερά· καὶ γὰρ ἡ θήλεια καὶ ὁ ἄρσην ἐπικοινωνεῖ ταῖς προσηγορίαις, τὸ δὲ ἄρθρον ἀναιρεῖται· οὐδεὶς γὰρ λέγει ὁ περιστερά, ὁ γαλῆ. ὥσπερ οὖν καὶ ἐπὶ τῶν προαγόντων εἴρηται, δεῖ καὶ ἐπὶ τῶν γενῶν ἀρρενικὸν μὲν ἀρρενικῷ ἀκολουθεῖν, θηλυκῷ δὲ θηλυκόν, οὐδετέρῳ δὲ οὐδέτερον. ἡ δέ γε ἀντεμβολὴ καὶ τούτων σολοικισμὸν

---

werdenus negat aut Euripidem aut alium poetam Atticum in diverbio scribere potuisse εἵνεκα, mihi videtur permirum. τιμᾶν] τιμὴν BD. εὐανδρησίας] ἀνδρησίας BD.

1—3. ἀντὶ τοῦ — ὦ φίλε] ἀντὶ τῆς κλητικῆς χρήσασθαι τῇ εὐθείᾳ, οἷον χαῖρε φίλος, ἀντὶ τοῦ χαῖρε φίλε BD, nisi quod B bis φίλος habet.

1. ἀντὶ τοῦ αἰτιατικῇ χρήσασθαι Μακεδόνας τιμᾶν] ἀντὶ τοῦ τιμᾶν Μακεδόνας C. 1. 2. εὐθεῖαν ἀντὶ κλητικῆς οἷον om. A, οἷον om. B.

2. χαῖρε φίλος] testes affert Boissonadius Od. θ, 413: καὶ σύ, φίλος, μάλα χαῖρε, et Pind. Nem. 3, 76: χαῖρε, φίλος. cf. quae supra leguntur p. 291, 7. 2. 3. κλητικῇ χρήσασθαι om. C. 3. ὦ om. A.

4. ἀρρενικὸν] ἀρσενικὸν BD, et sic infra saepius. ἡ Ἑλένη] ἡ μοῦσα BD. 5. τὸ βῆμα om. AC. 6. ἐστι τῶν δύο γενῶν ἀρσενικοῦ καὶ θηλυκοῦ] ἐστὶν ἀρσενικοῦ καὶ θηλυκοῦ ἤγουν τῶν δύο γενῶν BD. 7. ὁ ἄνθρωπος] καὶ ἡ ἄνθρωπος addiderim. κατὰ] καὶ BD.

8. γαλῆ Boissonadius, γαλὴ codices hic et infra. 9. ἐπικοινωνεῖ] ἐπικοινωνεῖται BD. 10. τὸ δὲ] τὸ γὰρ BD. 10. 11. ὁ περιστερά, ὁ γαλῆ] ὁ γαλὴ καὶ ὁ περιστερά C, οὔτε ὁ περιστερὰ οὔτε ὁ (ἡ B) γαλή BD. 11. οὖν καὶ ἐπὶ] οὖν ἐπὶ BD. προαγόντων] προσαγόντων BD. 12. ἀρρενικὸν μὲν ἀρρενικῷ ἀκολουθεῖν] ἀρρενικῷ μὲν ἀρρενικὸν ἀκολουθεῖ C. 12. 13. θηλυκῷ — οὐδέτερον] θηλυκὸν δὲ θηλυκῷ, οὐδέτερον δὲ οὐδετέρῳ C, καὶ θηλυκὸν θηλυκῷ καὶ οὐδέτερον οὐδετέρῳ BD. 13. καὶ τούτων] καὶ τὸν BD.

ἐνόσησεν; οἷον πρὸς κίονα μακρήν· ἀρρενικῷ γὰρ ὄντι τῷ κίονα ἐπήνεγκε θηλυκὸν τὸ μακρά· ἔδει δὲ ἀρρενικῷ τῷ κίονα ἀρρενικὸν ἐπενεγκεῖν τὸ μακρόν. πάλιν τὸ ἐναντίον ἐν τῷ κλυτὸς Ἱπποδάμεια· ἔδει γὰρ τῷ Ἱπποδάμεια ὄντι θηλυκῷ συμφώνως καὶ τὸ κλυτὴ συμπλέξαι. καὶ ἐπὶ τοῦ οὐδετέρου· δῶρόν τοι ἐγώ, τέκνον φίλε· οὐδετέρῳ γὰρ οὐδέτερον ἔδει συνεζεῦχθαι καὶ εἰπεῖν ὡς τέκνον, οὕτω καὶ φίλον. τὸ δὲ κοινωνεῖν τοῖς γένεσι τὸν τοῦ σολοικισμοῦ κίνδυνον ἐκφεύγει. τῷ δὲ ἐπικοίνῳ ἐστὶν ἐγχωροῦν ποτὲ εἰς ὄλισθον σολοικισμοῦ πεσεῖν, ἐὰν προτάξῃ τις τὸ μὴ ὀφειλόμενον ἄρθρον, ὁ περιστερά, ὁ γαλῆ.

συγκρίσεις δὲ ταῖς προσηγορίαις παρακολουθοῦσιν, ὅθεν καὶ περὶ σύγκρισιν γίνονται σολοικισμοί. ἀπολελυμένον μὲν γάρ ἐστι ταχύς, βραδύς, συγκριτικὸν δὲ ταχύτερος, βραδύτερος, ὑπερθετικὸν δὲ ταχύτατος, βραδύτατος. ὅταν μὲν οὖν μηδὲν μηδενὶ συγκρίνων ἐπαινῇς, λέγε ταχύς, παχύς, βραδύς, κυρτός· ὅταν δὲ πρὸς ἕνα τὴν παράθεσιν προσάγῃς, λέγε ταχύτερος ὅδε τοῦδε· ὅταν δὲ ὑπερβάλλῃς τὸν ἔπαινον, λέγε ταχύτατος. ὅταν οὖν ᾖ μηδενὶ συγκρίνων ἀντὶ

---

1. ἐνόσησεν] ἐνόησεν BD. πρὸς κίονα μακρήν] Od. α, 127. μακρὰ BD. 1. 2. ἀρρενικῷ γὰρ — μακρά om. A. τῷ κίονα] τῷ κίονι BD. θηλυκὸν μακρὰν ed. Boiss., θηλυκὸν τὸ μακρά BD. verba ἐπήνεγκε θηλυκὸν — τῷ κίονα om. C. ἀρρενικῷ ὄντι τῷ Boiss. ed., ἀρρενικῷ (vel ἀρσενικῷ) τῷ libri. κίονα] κίονι BD. 2. 3. ἀρρενικὸν ἐπενεγκεῖν] ἐπενεγκεῖν ἀρρενικὸν C, ἐπενεγκεῖν ἀρσενικὸν BD. 3. ἐν τῷ] ὡς τὸ BD. κλυτὸς Ἱπποδάμεια] Il. B, 742. 4. ὄντι om. C. θηλυκῷ] θηλυκὸν BD. 5. 6. δῶρόν — φίλε] Od. ο, 125. τοι ἐγώ] τι κἀγώ BD. τέκνον φίλε] φίλε τέκνον C. 6. 7. οὐδετέρῳ γὰρ — φίλον] ἔδει γὰρ εἰπεῖν ὡς τέκνον οὕτω καὶ φίλον praebent BD. 6. ἔδει συνεζεῦχθαι] συμπλέξαι ἔδει C. εἰπεῖν om. A. 8. δὲ om. BD. ἐστὶν] ἔστιν ed. Boiss. 9. πεσεῖν] ἐμπεσεῖν ed. Boiss. cum BD. ἐὰν] ἐὰν δὲ D. 10. ἄρθρον om. A. ὁ γαλῆ] ἡ γαλή BD. 11. συγκρίσεις — παρακολουθοῦσιν] σύγκρισις δὲ ἐν ταῖς πρ. παρακολουθεῖ BD. 12. περὶ] παρὰ AC. μὲν om. BD. 15—17. verba ἐπαινῇς — συγκρίνων om. A. 15. παχύς, βραδύς, κυρτός om. C. 16. 17. ὑπερβάλλῃς] ὑπερβάλλῃ C. 17. ᾖ μηδενὶ συγκρίνων] ἐστὶν μηδὲν συγκρίνον D.

ἀπολελυμένου τοῦ ταχὺς τῷ συγκριτικῷ προσέλϑῃς, ἢ ἑνὶ συγκρίνων ἀντὶ τοῦ ταχύτερος τὸ ὑπερϑετικὸν εἴπῃς, ὅδε τοῦδε ταχύτατος, ἁμάρτημα μετὰ σολοικισμοῦ συναντήσει. γίνεται δὲ οὕτω τὸ ἁμαρτανόμενον, οἷον «Πηλείδης ἐστὶν Ὀιλιάδου ὀξύτατος» ἀντὶ τοῦ ὀξύτερος· πρὸς ἕνα γὰρ ἡ παράϑεσις. καὶ πάλιν «ὠκύτερος πάντων» εἰπεῖν ἁμάρτημα· δεῖ γὰρ τοῦ πάντων κειμένου προτετάχϑαι τὸ ὑπερϑετικὸν ὠκύτατος.

τῷ δὲ ὀνόματι καὶ ταῖς προσηγορίαις ἐν τάξει τῶν λόγων ἐπιζεύγνυται τὸ ῥῆμα· ἐπεδείκνυμεν γὰρ ὅτι τὸ ῥῆμά ἐστιν ὃ ἐνέργειαν ἢ πάϑος δηλοῖ, ἐνέργειαν μὲν ὅταν εἴπω γράφω, πάϑος δὲ ὅταν εἴπω γράφομαι. περὶ δὴ πρῶτον αὐτὸ γίνεται σολοικισμός, ὅταν τις τῷ πάσχοντι ἐνεργητικὸν ῥῆμα περιάψῃ, οἷον

ἐγάμησεν Ἑλένη τὸν ϑεοῖς στυγούμενον·

ἔδει γὰρ τὸ παϑητικὸν τῇ γυναικὶ περιάψαι, ἐγαμήϑη Ἑλένη· νῦν δὲ ἀντεισῆλϑε τὸ ἐνεργοῦν, ἐγάμησεν Ἑλένη. πάλιν ἄν τις τάξῃ τὸ παϑητικὸν ἀντὶ ἐνεργητικοῦ, τὴν ὁμιλίαν ἀδικεῖ, οἷον ἀπόλωλα δὲ

2. ὑπερβολικὸν ed., ὑπερϑετικὸν D. 3. μετὰ] μετὰ τοῦ BD. 4. Πηλείδης — ὀξύτατος] hoc exemplum grammaticus ipse finxisse videtur; afferre poterat Od. λ, 483: σεῖο δ', Ἀχιλλεῦ, οὔτις ἀνὴρ προπάροιϑε μακάρτατος οὔτ' ἄρ' ὀπίσσω. compares πρῶτος ἐμεῖο βέβηκεν et ὅττι μευ ἦν πρώτιστος Nonn. Metaphr. Evang. Ioh. 1, 49. 50 et quae attuli in Observ. crit. de trag. Graec. fragm. p. 15. Ὀιλιάδου Boissonadius, ὁ ἰλιάδου AC, οἰλύδου B, οἰλυάδου D. 5. παράϑεσις] ὑπέρϑεσις BD. πάντων] πάντως BD. 6. προτετάχϑαι] προστετάχϑαι BD. 7. ὑπερβολικὸν ed., ὑπερϑετικὸν D. 8. 9. ἐπιζεύγνυται] ἐπιζευγνύναι AC. 9. ἐπεδείκνυμεν scripsi, ἐπιδείκνυμεν AC, ἐπιδείκνυται BD. τὸ BD habent, ex AC articulum se notasse negat Boissonadius. ῥῆμά ἐστιν] ῥῆμα ἐστὶν ed. 11. περὶ] παρὰ AC. πρῶτον] πρώτου A. αὐτὸ om. BD. 12. τῷ] ἢ τῷ AC. 13. ἐγάμησεν — στυγούμενον] Trag. adesp. 157. ἐγάμησεν] ἐγήματο C, ἔγημεν scribendum suspicor. 14. τὸ παϑητικὸν — περιάψαι] περιάψαι τὸ παϑητικὸν τῇ γυναικὶ C. ἐγαμήϑη] ἐγήματο ci. Boissonadius. 16. ἀδικεῖ] ἀδικήσει BD. 16. p. 302, 1. ἀπόλωλα δὲ παρϑενίαν] unde

παρθενίαν· τὸ γὰρ ἀπόλωλα παθητικόν ἐστιν, ἔδει δὲ τῷ ἐνεργητικῷ χρήσασθαι, ἀπολώλεκα παρθενίαν.

ὥσπερ δὲ ἐπὶ τῶν προσηγοριῶν, οὕτω πάλιν καὶ ἐπὶ τῶν ῥημάτων ἐκ τῶν παρεπομένων γίνεται σολοικισμός· παρέπεται δὲ τοῖς ῥήμασι πρόσωπα, εἴδη, χρόνοι. πρόσωπα μὲν τρία, ἐγώ, σύ, ἐκεῖνος· οἷον τρέχω ἐγώ, τρέχεις σύ, τρέχει ἐκεῖνος. γίνεται τοίνυν περὶ τὰ πρόσωπα σφάλματα, ὅταν μὴ τῷ πρώτῳ προσώπῳ τις τὸ πρῶτον ἐπενέγκῃ ἢ τῷ δευτέρῳ τὸ δεύτερον ἢ τῷ τρίτῳ τὸ τρίτον, ἀλλ' ἢ τὸ τρίτον τῷ πρώτῳ ἢ ἕν τι τῶν ἄλλων ἀνακολούθως ἑτέρῳ· οἷον «ὡς δὴ ἐγὼ γελᾷ» παρὰ τῷ λυρικῷ Σιμωνίδῃ· τὸ γὰρ ἐγὼ πρώτου ἐστὶ προσώπου, τὸ δὲ γελᾷ τρίτου· διότι τοίνυν ἐπήνεγκε τῷ πρώτῳ τὸ ἀνακόλουθον, τὴν ὀρθοέπειαν ἔβλαψεν· ἔδει γὰρ εἰπεῖν ἐγὼ γελῶ ἢ ἐκεῖνος γελᾷ. καὶ τὸ Ὁμηρικόν·

ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
σοί τ' ἐπιπείθονται καὶ δεδμήμέσθα ἕκαστοι.

---

haec verba deprompta sint nescio; simillimum est quod Dionysio Hal. Ant. Rom. IX, 40 vol. 3 p. 1852, 16 tribuitur, ὅτι μία τῶν ἱεροποιῶν παρθένων — τὴν παρθενίαν ἀπόλωλε, sed probabiliter ibi ἀπολώλεκε substituit Steph. ceterum BD haec praebent: οἷον ἀπόλωλα λῃρεῖς· παθητικὸν γάρ ἐστι· ἔδει τῷ ἐνεργητικῷ χρῆσθαι.

2. παρθενίαν] τὴν παρθενίαν C. 3. προσηγοριῶν] προσηγορικῶν BD. καὶ ἐπὶ] καὶ ἐκ BD. 5. 6. verba ἐγώ, σύ, ἐκεῖνος· οἷον omittere videntur BD. 6. οἷον — ἐκεῖνος] τρέχω, τρέχεις, τρέχει A. περὶ τὰ] παρὰ AC. 7. προσώπῳ om. AC. 8. ἐπενέγκῃ] ἐπενέγκοι A. τῷ τρίτῳ τὸ τρίτον] τὸ τρίτον τῷ τρίτῳ A. ἢ τὸ] ἤτοι AC. 9. τῶν om. BD. ἀνακολούθως Boiss., ἀκολούθως AC, om. BD. ἑτέρῳ om. BD. οἷον om. C. 10. γελᾷ] γελᾶ ed, γελῶ BD. τῷ λυρικῷ Σιμωνίδῃ] Simonid. fr. 224 in Bergkii Lyr. p. 935 ed. alt. dubitari non potest quin Simonidis verba a grammatico male intellecta sint: qua de re vide quae probabiliter disputavit Schneidewinus in Simonidis Cei reliq. p. 123. 10. 11. τὸ γὰρ — τρίτου om. BD. ἐστὶ προσώπου] προσώπου ἐστί C. 12. ἀνακόλουθον] ἀκόλουθον C. 13. τὸ Ὁμηρικόν] Hom. Il. E, 877 sq. 14. εἰσ'] εἰσίν A. 15. δεδμήμεσθα] δεδμήμεθα BCD, et sic infra. ἕκαστοι] ἕκαστος legendum.

τὸ μὲν γὰρ ἐπιπείθονται τρίτου προσώπου, τὸ δὲ δεδμήμεσθα πρώτου· ἔδει τοίνυν συνάψαι τὸ ἀκόλουθον, ἢ πειθόμεθα καὶ δεδμήμεσθα ἢ πείθονται καὶ δέδμηνται.

εἴδη δὲ τοῖς ῥήμασι ταῦτα παρέπεται, ὁριστικόν, εὐκτικόν, ἐπιζευκτικόν, ὃ καὶ ὑποτακτικὸν καλεῖται, προστακτικόν, ἐρωτηματικόν, ἀπαρέμφατον. ὁριστικὸν μὲν ὃ καὶ καταφατικὸν καλοῦσιν, οἷον γράφω, παιδεύω· ταῦτα γὰρ προτασσόμενα ποιεῖ τὴν ἐπίζευξιν· ἐρωτηματικὸν δὲ ὁριστικοῦ τῷ τόνῳ τῆς προφορᾶς παραλλάσσει· γράφω; παιδεύω; τὸ δὲ προστακτικὸν πρώτου προσώπου κατὰ τὴν πρόσταξιν ἐρημοῦται· οὐδεὶς γὰρ ἑαυτῷ προστάσσει· γίνεται γὰρ ὁριστικόν, εἴ τις ἐθελήσει λέγειν προστακτικῶς, εὖ γράφω· ἀλλὰ δευτέρῳ καὶ τρίτῳ προσώπῳ, γράφε, γραφέτω. ἐπὶ μέντοι τῶν πληθυντικῶν τοῖς τρισὶ προσώποις ὁλόκληρον τὴν πρόσταξιν ἐκσώζει, γράφωμεν, γράφετε, γραφέτωσαν. ἀπαρέμφατον δὲ λέγεται τὴν ἐτυμολογίαν ἔχον ἀπὸ τοῦ μήτε πρόσωπα μήτε ἀριθμοὺς ἐμφαίνειν· γράφειν γὰρ ἐμὲ καὶ γράφειν σὲ καὶ γράφειν ἐκεῖνον, τὸ ῥῆμα τὸ αὐτὸ ἐπὶ τῶν τριῶν προσώπων νοεῖται· γράφειν ἕνα καὶ γράφειν πολλοὺς οὐδέν τι μᾶλλον εἰς ἀλλοίωσιν ἐπὶ τοῦ πλήθους μεταβαίνει τὸ ῥῆμα. ἐν δὲ τοῖς εἴδεσι τούτοις σπανίως ὁρᾶται ὁ σολοικισμός· ἀφέστηκε γὰρ ἀλλήλων. σολοικισμὸς δὲ γίνεται ἐπ' ἐνίων ἀντὶ τοῦ προστακτικοῦ τῷ ὁριστικῷ χρωμένων κατὰ συνήθειαν· οἷον ἐντέλλο-

5. καὶ om. CD. ὑποτακτικὸν Boissonadius, ὑποζευκτικὸν A, om. BD. de codice C Boissonadius tacet. ἐρωτηματικόν] ἐρωματικόν AC. 6. καταφατικὸν] φατικὸν A, φαντικὸν BD. 7. προτασσόμενα] προστασσόμενα BD. «hic nonnulla periisse manifestum est». Boissonadius. 8. ὁριστικοῦ] ὁριστικῷ BC. 10. 11. γὰρ ὁριστικὸν] δὲ ὁριστικὸν BD. quae sequuntur in codice C desunt. 11. εἴ τις ἐθελήσει] ὅταν ἐθελήσῃ τις BD. προστακτικῶς εὖ] προστακτικῷ σοὶ BD. εὖ suspectum. 11. 12. ἀλλὰ δευτέρῳ] ἀλλ' οὐδετέρῳ BD. 12. 13. πληθυντικῶν] θηλυκῶν BD. 13. πρόσταξιν] πρᾶξιν BD. 17. νοεῖται] an κεῖται leg.? γράφειν γὰρ ἕνα Boiss. ed., qui pro γάρ, quod in A deesse dicit, δὲ malit. 18. οὐδέν τοι libri, οὐδέν τι Boissonadius. 19. ὁ om. BD. 20. γίνεται et τοῦ om. BD.

μαί σοι, εἶπον τῷ δεῖνι ἐλθεῖν· τὸ γὰρ εἶπον ὁριστικόν ἐστι πρώτου προσώπου· δεῖ δὲ προστακτικῷ χρῆσθαι, εἰπὲ ἐλθεῖν. πλεῖσται δὲ ἐν τοῖς εἴδεσι περὶ τὰ ἐπιζευκτικὰ γίνονται σολοικισμοί, ἐνίων ὁμοίως καθάπερ ἐπὶ τῶν ὁριστικῶν λέγομεν τὸ γράφω γράφεις γράφει καὶ κατὰ τὸ ἐπιζευκτικὸν τὸ αὐτὸ νοούντων, ἐὰν γράφω, ἐὰν γράφεις, ἐὰν γράφει· δεῖ δὲ ὅσα τῶν ὁριστικῶν διὰ τοῦ εις ει ἢ εἷς εἶ τὴν ἔξοδον ἔχει, ἐπὶ δευτέρου καὶ τρίτου προσώπου ἐν τοῖς ἐπιζευκτικοῖς διὰ τοῦ η ἐκφέρεσθαι, ποιεῖς, ποιεῖ, ἐὰν ποιῇς, ἐὰν ποιῇ· ἐὰν δὲ διὰ τοῦ α καὶ ι, ὁμοίαν τοῖς ὁριστικοῖς προφορὰν ἔχει τὸ ἐπιζευκτικόν, οἷον γελῶ γελᾷς γελᾷ, ἐὰν γελῶ, ἐὰν γελᾷς, ἐὰν γελᾷ.

παρέπονται δὲ καὶ χρόνοι τοῖς ῥήμασιν, ἐνεστώς, παρεληλυθώς, μέλλων. καὶ ἐνεστὼς μέν ἐστι τὸ γράφω, παρεληλυθὼς δὲ τὸ ἔγραψα, μέλλων γράψω. ἔτι δὲ ὁ παρεληλυθὼς ἐν τέσσαρσι διαφοραῖς βλέπεται, μίαν μὲν ἔχων τοῦ παρακειμένου καὶ παρῳχημένου, οἷον γέγραφα, δευτέραν δὲ τοῦ παρατατικοῦ, οἷον ἔγραφον, τρίτην δὲ τοῦ ἀορίστου συντελικοῦ, οἷον ἔγραψα, τετάρτην δὲ τοῦ ὑπερσυντελίκου, οἷον ἐγεγράφειν. πολὺ τοίνυν ἀραίωμα περὶ τοὺς χρό-

---

1. 2. τὸ γὰρ — εἰπὲ ἐλθεῖν om. BD. Boissonadii haec est adnotatio: «severior esse videtur grammaticus. nam εἶπον potest esse imperativus, et praesertim, si pronuntietur εἰπόν, nemo legens vel audiens impedietur. vide de imperativo εἶπον, εἰπόν, Buttmann. Excurs. ad Menon.; Boeckh. not. crit. ad Pind. p. 381.» 2. πλεῖσται] πλεῖστον B. 3. περὶ] παρὰ A. 4. γράφεις γράφει καὶ] καὶ γράφεις A. 5. 6. ἐὰν γράφω, ἐὰν γράφεις, ἐὰν γράφει Boiss., ἐὰν γράφω, ἐὰν γράφῃς A, ἐὰν (κἂν B) γράφω, ἐὰν γράφῃς, ἐὰν γράφῃ BD. 6. διὰ τοῦ εις ει ἢ εἷς εἶ Boiss., διὰ τοῦ εις ἢ εἷς εἶ A, διὰ τοῦ εἷς BC. 7. καὶ] ἢ BD 8. διὰ τοῦ η om. A. 9. τοῦ α καὶ ι] τοῦ ο καὶ ι A, τῶν ο α καὶ ι coniecit Boiss. τὸ ἐπιζευκτικὸν om. A. 11. καὶ om. BD. 12. μέλλων] καὶ μέλλων BD, quos secutus est Boissonadius. καὶ ἐνεστὼς] ἐνεστὼς B. δὲ τὸ] δὲ BD. 13. ἔτι δὲ] ἔστιν ὅτι A. 14. παρακειμένου καὶ om. BD. 15. τοῦ] τὴν BD. 16. ἀορίστου συντελικοῦ] ἀοριστοσυντελίκου BD, ἀοριστώδους συντελικοῦ malim. 17. ἀραίωμα] ἀρέωμα BD. περὶ] παρὰ A.

νους· αὐτὴ γὰρ ἡ φύσις τῇ προφορᾷ τοὺς λόγους ἐφαρμόζει· καὶ ὁ μέλλει τις ποιήσειν οὐ λέγει ὅτι πεποίηκα οὐδὲ ἐποίησα, ἀλλὰ ποιήσω, καὶ ὃ πεποίηκεν, οὐ ποιήσω, ἀλλὰ πεποίηκα. ἔσθ' ὅτε δέ τινες ἀντὶ παρῳχημένου τῷ ἐνεστῶτι χρῶνται, οἷον

γαμεῖ δ' ὁ μὲν δὴ Τυνδάρεω κόρην μίαν,

ἀντὶ τοῦ ἐγάμησε· καὶ

Θύρσον δέ τις λαβοῦσ' ἔπαισεν εἰς πέδον,
ὅϑεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτίς,

ἀντὶ τοῦ ἐξεπήδησεν. ἐκεῖνον δὲ μᾶλλον ἄξιον τὸν σολοικισμὸν ἀπακριβῶσαι, ἀναιδέστερον δ' ἐπιτολμῶντα τῷ περὶ τοὺς χρόνους ἁμαρτήματι. λέγουσι γάρ τινες «γέγραφα πέρυσιν» καὶ χρῶνται τῷ παρῳχημένῳ παρακειμένῳ ἀντὶ τοῦ ἀοριστώδους συντελικοῦ ἔγραψα. ὁ μὲν γὰρ ἀοριστώδης συντάσσεσϑαι δύναται καὶ ἐπὶ τοῦ πάλαι, ἔγραψα ἄρτι καὶ ἔγραψα πάλαι, διὰ τὸ τῆς συντελείας ἀόριστον·

---

1. αὐτὴ] αὕτη A. τῇ προφορᾷ] τῆς προφορᾶς BD. καὶ ὃ] καὶ ὁ BD. 2. μέλλει τις scripsi, μέλλεταί τις BD, λέγει τις A. ποιήσειν οὐ λέγει om. A. πεποίηκα οὐδὲ ἐποίησα scripsi, πεποίηκα οὐ λέγει ἐποίησα A, simpliciter πεποίηκα BD. 3. οὐ ποιήσω scripsi, ὅτι ποιήσω BD, ὅτι ποιήσω οὐ λέγει A. Boissonadius haec habet: καὶ ὃ λέγει τις ὅτι οὐ πεποίηκεν, οὐ λέγει ἐποίησα, ἀλλὰ ποιήσω, καὶ ὃ πεποίηκεν, ὅτι ποιήσω οὐ λέγει, ἀλλὰ πεποίηκα. 4. ἀντὶ παρῳχημένου] sic A, ἀντὶ τοῦ παρῳχημένῳ χρῆσϑαι Boiss. ed. χρῶνται, οἷον] χρῶντι A. 5. γαμεῖ — μίαν] Trag. adesp. 158. δὴ om. BD. κόρην] κορῶν Herwerdenus Exerc. crit. p. 85. lenius fuerit κόραιν. 7. 8. Θύρσον — νοτίς] Eur. Bacch. 704 sq. 7. Θύρσον] Θύρσου BD. ἔπαισεν] ἔπεσεν ABD. πέδον] πέτραν Eur. 8. ὅϑεν] ἡ μὲν BD. 9. ἐξεπήδησεν] διεπήδησεν A, ἐπήδησεν D. ἄξιον τὸν σολοικισμὸν] τὸν σολοικισμὸν ἄξιον BD. 9. 10. ἐπακριβῶσαι ed. Boiss., ἀπακριβῶσαι A. 10. ἀναιδέστερον δ'] ἀναιδέστερόν γ' malim. τῷ — ἁμαρτήματι] τοῖς — ἁμαρτήμασι BD. περὶ] παρὰ A. 11. λέγουσι γάρ] λέγουσιν δέ A. πέρυσιν] περίσυ BD. 12. τοῦ om. BD. ἀοριστώδους] ἀορίστου D. συντελικοῦ] συντακτικοῦ BD. 13. συντάσσεσϑαι om. A, fortasse συντελικὸς τάσσεσϑαι leg. 14. ἔγρα-

τὸ δὲ γέγραφα συντετέλεσται μὲν καὶ παρῴχηκεν, ἐπεὶ δὲ τὸν χρόνον παρακείμενον ἔχει τὸ γέγραφα, ἄρτι, οὐ πέρυσιν, ὤφειλε λέγειν. τοιούτους καὶ ἐν τοῖς ῥήμασι σολοικισμοὺς ἐννοοῦμεν.

μετοχὴ δέ ἐστι ῥῆμα εἰς πτῶσιν κεκλιμένον, οἷον ῥῆμά ἐστι γράφω, μετοχὴ δὲ γράφων, γράφοντος. μετοχὴ δὲ εἴρηται ἀπὸ τοῦ μετέχειν καὶ τῶν τοῖς ῥήμασι παρεπομένων καὶ τῶν τοῖς ὀνόμασι· μετέχει γὰρ ἁπάντων, ἄρθρων, γενῶν, πτώσεων, ἀριθμῶν, χρόνων, παθῶν καὶ ἐνεργειῶν. περὶ ταῦτα πάντα γίνονται σολοικισμοί, ὡς ὑπεδείξαμεν· δεδήλωται γὰρ ὡς περὶ τὰ γένη, περὶ τοὺς ἀριθμούς, περὶ τὰς πτώσεις, περὶ τοὺς χρόνους, περὶ τὰ πάθη, περὶ τὰς ἐνεργείας γίνονται σολοικισμοί.

ἄρθρον δέ ἐστι λέξις ἐν συλλαβικῇ δυνάμει προτακτικὴ καὶ ὑποτακτικὴ τῶν ἐμφαινόντων γένη καὶ πτώσεις. προτακτικὰ μὲν ἀρσενικὰ ὁ, τοῦ, τῷ, τόν· ὑποτακτικὰ δὲ ὅς, οὗ, ᾧ, ὅν· πληθυντικὰ δὲ ἀρσενικὰ προτακτικὰ οἱ, τῶν, τοῖς, τούς· ὑποτακτικὰ δὲ οἵ, ὧν, οἷς, οὕς. κατὰ μέντοι Ὅμηρον πληθυντικὰ ὑποτακτικὰ οὐκ ἔστιν, ἀλλὰ τὸ αὐτὸ τῷ προτακτικῷ, καθά φησι· *τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον*. γίνεται τοίνυν σολοικισμὸς περὶ τὰ ἄρθρα ἀρρενικοῖς ἀκολούθως· *αὐλῶνά θ' ἣν ἄρδουσι*, δέον λέγειν «ὃν ἄρδουσιν»· ἢ ὅταν ἀντὶ πτώσεως ἑτέρα πτῶσις παραληφθῇ· ὁ μὲν

ψα ἄρτι καὶ ἔγραψα πάλαι] ἔγραψα καὶ ἄρτι ἔγραψα πάλαι A, ἐπὶ τοῦ ἄρτι καὶ ἐπὶ τοῦ πάλαι ci. Boiss.

1. συντετέλεσται] συντετέλεται B, συντέλεται D. ἐπεὶ Boissonadius, ἐπὶ BD, ἔτι A, fortasse εἰ leg. **2.** παρακείμενον ἔχει] παρακείμενος ἔχειν BD. τὸ om. A. πέρυσιν] περίσυ BD. ὤφειλε λέγειν om. A. **3.** καὶ om. BD. ἐν τοῖς ῥήμασι σολοικισμοὺς] σολοικισμοὺς ἐν τοῖς ῥήμασι BD. ἐννοοῦμεν] νοοῦμεν BD. **4.** κεκλιμένον] hic deficit codex A. ῥῆμά ἐστι] ῥῆμα ἐστὶ ed. **6.** παρεποχημένων BD, παρεπομένων Boiss. **9.** γὰρ ὡς addidit Boiss.

17. τῷ προτακτικῷ] τὸ προτακτικόν B. **17. 18.** τοὶ δ' — ῥέζον] Od. γ, 5. **18.** γίνεται] γίγνεται ed. **19.** ἀρρενικοῖς] ἀρσενικοῖς ed. «locus est lacunosus, sine codice non restituendus». Boiss. αὐλῶνα — ἄρδουσι] Trag. adesp. 159. αὐλῶνά θ'] αὐλῶνά τε ed. **20. p. 307, 1.** ὁ μὲν — ἐλαίης] Od. ε, 477.

πτελέης, ὁ δ' ἐλαίης· ἢ ὅταν ἀντὶ προτακτικοῦ χρήσηταί τις τῷ ὑποτακτικῷ·

τοίων γὰρ ἀνδρῶν σπέρμ' ἔδωσεν Ἑλλάδος

τῆς κατὰ Τροίαν. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων προτακτικῶν ἄρθρων καὶ ὑποτακτικῶν.

εὐπαρατήρητος δὲ ὁ περὶ τὰς προθέσεις σολοικισμός· γίνεται δὲ ἄλλης εἰς ἄλλην μετατεθείσης. ἐλέγχεται δὲ περὶ τὴν διάνοιαν τῶν πραγμάτων καὶ συνεργίαν, οἷον εἰς ἐλάτην ἀναβὰς περιμήκετον ἀντὶ τοῦ ἐν ἐλάτῃ, καὶ ὡς ἁμαρτάνουσι περὶ τὴν κοινὴν ὁμιλίαν πολλοί· ποῦ ἐστιν ὁ πατήρ; εἰς βαίταν, ἀντὶ τοῦ ἐν βαίτῃ. ὅμοιον γάρ ἐστι τοῦτο, ἐάν τις πυθομένῳ τινὶ ποῖ πορεύεται, ἀποκριθῇ «ἐν βαίτῃ».

ἀντωνυμία δέ ἐστι λέξις ἀντὶ ὀνόματος τιθεμένη, ἢ ἐνέργεια καλεῖται. ἐπιδέχεται δὲ πρόσωπα μὲν ὁμοίως τοῖς ῥήμασι, πτώσεις δὲ ὁμοίως τοῖς ὀνόμασιν, οἷον ἐγώ, σύ, οὗτος, ἐκεῖνος, ἡμέτερος, ὑμέτερος, νωίτερος, σφωίτερος. εἰσὶ δὲ καὶ ἁπλαῖ τινὲς τῶν ἀντωνυμιῶν καὶ σύνθετοι· ἁπλαῖ μὲν ἐμέ, σέ, ἕ· σύνθετοι δὲ ἐμαυτόν, σαυτόν, ἑαυτόν.

[ὑποτακτικόν, μὴ πίῃς. περὶ πρόσωπα, ὡς ἐν ἀντωνυμίᾳ· σφέτερον πατέρ' ὑμνείουσαι, ἀντὶ τοῦ ὑμέτερον. περὶ τὰς μετοχάς, ὡς

---

3. τοίων — Ἑλλάδος] Trag. adesp. 160. σπέρμα ἔδωσεν BD, σπέρμ' ἔδωκεν Wagner. ceterum locus lacuna laborare videtur. **7.** ἄλλως εἰ ἄλλης vulgo, ἄλλης εἰς ἄλλην scripsi. **8.** συνεργίαν] συνάφειαν scripserim. **8. 9.** εἰς — περιμήκετον] Il. Ξ, 287. περιμήκετον] περιμήκεστον BD. **9.** καὶ ὡς] καὶ ὣς Boiss. **11.** ποῦ ed., ποῖ scripsi. πορεύηται BD, πορεύεται Boiss. **11. 12.** ἀπεκρίθη ed., ἀποκριθῇ scripsi. **13. 14.** ἢ ἐνέργεια καλεῖται] verba mihi obscura. **17. 18.** «B pro σαυτὸν ἑαυτὸν lacunulam exhibet». Boiss.

19 — p. 308, 13. quae hoc loco subiciuntur e commentario supra edito neglegenter excerpta sunt, cf. p. 291, 15 — 293, 2. **19.** μὴ πίῃς] respicitur, quod Boissonadius vidit, Callimachi versus supra p. 291 sq. allatus. **20.** σφέτερον πατέρ' ὑμνείουσαι] Hesiod. Op. 2.

οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ

ἀντὶ τοῦ πληγεῖσαι. περὶ τὰ ἄρϑρα·

μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο.

περὶ τὰς προϑέσεις· κάππεσον ἐν Λήμνῳ. καὶ παρὰ Θουκυδίδῃ κεῖται· εἰς τὸ Ἡραῖον ἐκαϑέζοντο, καὶ παρὰ Μενάνδρῳ·

καϑιζάνει μὲν ἐνίοτ' εἰς τὰ σήσαμα,

καὶ ἐν Ψοφοδεεῖ ἐπίσημον. παρ' Εὐριπίδῃ·

πολλὴ μὲν κοὐκ ἀνώνυμος
ϑεὰ κέκλημαι Κύπρις οὐρανοῦ τ' ἔσω,

ἀντὶ τοῦ ἔνδον. περὶ τοὺς συνδέσμους, ἐάν τις τῷ μὲν τὸ δὲ μὴ ἐπενέγκῃ, οἷον

Τρωσὶν μὲν προμάχιζεν Ἀλέξανδρος ϑεοειδής,
παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα.]

Τοῦ λόγου ἀρεταὶ μὲν ἕξ, ἑλληνισμός, σαφήνεια, συντομία, κυριολογία, εὐσυνϑεσία, εὐπρέπεια· κακίαι δὲ ταύταις ἀντικείμεναι, ἀσάφεια, μακρολογία, ἀκυρολογία, κακοσυνϑεσία, ἀπρέπεια, βαρ-

---

1. οὐκ ἂν — κεραυνῷ] Il. Θ, 455. 3. μακροῖσι — ἔκειτο] Il. Ο, 388. σφ'] σφιν BD. 4. κάππεσον ἐν Λήμνῳ] Il. Α, 593. Λήμνῳ] λίμνῳ B. παρὰ Θουκυδίδῃ] περὶ Θουκυδίδει B. vide Thucyd. I, 24, 7. 5. Ἡραῖον] ὅραιον BD. παρὰ Μενάνδρῳ] Men. Com. 4 p. 328. 7. ψεύδει D, ψευδεεῖ B, Ψοφοδεεῖ Boissonadius. v. Men. Com. 4 p. 225. παρ' Εὐριπίδῃ] Eur. Hipp. 1 sq. 8. πολλὴ μὲν] ἐν βροτοῖσι Boissonadius addit. 9. οὐρανοῦ] οὐρανῶν B. 12. 13. Τρωσὶν — τόξα] Il. Γ, 16 sq. 13. δὲ ante ὤμοισιν sustulit et καὶ addidit Boiss. 14. quae sequuntur consentiunt fere cum grammatico eo quem Valckenarius in Ammon. p. 193 sqq. edidit: cui disputationi emendandae inserviunt quae e Venetis codicibus Villoisonus Anecd. II p. 175 sqq., ex Hamburgensi apographo Preller *Ausgew. Aufsätze* p. 81 protulerunt. ego Parisinos potissimum libros BD et Boissonadium secutus sum.

βαρισμός. ἑλληνισμὸς μὲν οὖν ἐστὶ λέξις ὑγιὴς καὶ ἀδιάστροφος ἢ λόγου μερῶν πλοκὴ κατάλληλος· βαρβαρισμὸς δέ ἐστι λέξις ἡμαρτημένη περὶ τὴν συνήθειαν. διαφέρει δὲ βαρβαρισμὸς σολοικισμοῦ, ὅτι ὁ μὲν σολοικισμὸς τὴν τάξιν βλάπτει τοῦ λόγου, ὁ δὲ βαρβαρισμὸς τῆς λέξεως. γίνεται δὲ ὁ βαρβαρισμὸς κατὰ τρόπους ὀκτώ, κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν ἢ ἐναλλαγὴν ἢ συναλοιφὴν ἢ διαίρεσιν ἢ τόνους ἢ χρόνους ἢ πνεῦμα.

περὶ μὲν οὖν πρόσθεσιν βαρβαρίζουσιν οἱ λέγοντες Σωκράτην, Δημοσθένην· τὰ γὰρ εἰς ης λήγοντα σύνθετα οὐ προσλαμβάνει ἐπὶ τῆς αἰτιατικῆς τὸ ν, ὅταν παρ' οὐδέτερον πρὸς τὴν κατάληξιν ἢ ῥῆμα ἐπὶ τέλος ἐμφαίνηται. περὶ δὲ ἀφαίρεσιν, ὡς εἴ τις λέγει τὸν Ἑρμῆ· δεῖ γὰρ τὸν Ἑρμῆν. περὶ δὲ μετάθεσιν οἱ λέγοντες τὸν δίφρον δίρφον καὶ τὸν Μυτιληναῖον Μιτυληναῖον· ἀπὸ γὰρ Μύτωνος τοῦ κτίστου Μυτιλήνη καλεῖται. περὶ δὲ ἐναλλαγήν, ὅσοι λέγουσιν ἀντὶ τοῦ ἐβουλόμην ἠβουλόμην, ἐδυνάμην ἠδυνάμην· ὅσα γὰρ ἀπὸ συμφώνων ἄρχεται τῶν φωνηέντων ἐν τῷ ἐνεστῶτι χρόνῳ, ταῦτα κατὰ παρατατικὸν ἀπὸ τοῦ ε ἄρχεται, οἷον λέγω ἔλεγον· οὕτω καὶ μέλλω ἔμελλον καὶ βούλομαι ἐβουλόμην καὶ δύναμαι ἐδυνάμην. περὶ συναλοιφήν, ὡς Μένανδρος λέγει·

---

1. ἀδιάστροφος] διάστροφος BD. 3. περὶ] παρὰ Boiss. 5. τῆς λέξεως] τὰ ἔπη τῆς λέξεως ed. Valck., τὰ ἐπὶ τῆς λέξεως praebent codices Veneti, τὰ τῆς λέξεως coniecit Bastius in Greg. Cor. p. 254.

8. περὶ μὲν οὖν πρόσθεσιν] παρὰ μὲν οὖν πρόθεσιν B. 10. παρ' οὐδὲ BD, ἢ παρ' οὐδετέρων ed. Valck., ἢ παρ' οὐδέτερα alter cod. Ven., παρῇ οὐδέτερον coniecit Boissonadius. 12. τὸν Ἑρμῆ] cf. Herodianus q. d. in Anecd. Oxon. vol. 3 p. 251. δεῖ γὰρ τὸν Ἑρμῆν] δεῖ γὰρ τὸν Ἑρμῆ D. περὶ δὲ μετάθεσιν] «erunt ergo barbarismi species novem. et supra Valck. ἐννέα pro ὀκτὼ exhibuit, ac in indice μεταθέσει est post ἐναλλαγῇ». Boiss. οἱ λέγοντες] ὡς οἱ λέγοντες ed. Boiss., at ὡς om. B, delendum significat D. 13. Μυτιληναῖον Μιτυληναῖον] Μιτυληναῖον Μυτιληναῖον BD. 16. τῶν φωνηέντων] τῶν ῥημάτων recte alii libri. 19. Μένανδρος] Men. Com. 4 p. 278. Chrysippum Menandri loco nominat Eust. Od. p. 1573, 61: Χρύσιπ-

ὁ ϑάτερος δὲ τῶν δυοῖν Διοσκόρων,

ἀντὶ τοῦ φάναι ὁ ἕτερος· ἡ γὰρ τοιαύτη συναλοιφὴ γίνεται ἐπὶ οὐδετέρου ἄρϑρου, ὅταν αὐτῷ ὄνομα ἀπὸ φωνήεντος ἀρχόμενον ἐπιφέρηται, οἷον τὸ ἕτερον λέγω ϑάτερον, ἐπὶ δὲ ἀρρενικοῦ οὐδαμῶς. περὶ δὲ διαίρεσιν, ὡς ὅταν Ἡσίοδος λέγῃ·

Μάγνης δὲ κατ' αὐτὸ καὶ ἀντίϑεον Πολυδεύκεα·

οὐ γὰρ διαιρεῖται ὧν ἡ αἰτιατικὴ εἰς ν λήγει, ἀλλ' εἰς η, οἷον Δημοσϑένεα Διογένεα, Δημοσϑένη Διογένη. περὶ δὲ χρόνους βαρβαρίζουσιν οἱ λέγοντες «ἐὰν βούλομαι» καὶ «ἐὰν ἔρχομαι», ἐπειδὴ τὰ ὑποτακτικὰ τοῖς ὁριστικοῖς μιγνύουσι· φέρομαι, ἐὰν φέρωμαι, λέγομαι, ἐὰν λέγωμαι· οὕτω καὶ ἐὰν βούλωμαι, ἐὰν ἔρχωμαι. ὁμοίως καὶ περὶ τόνους βαρβαρίζουσιν οἱ λέγοντες ἀκρᾶτον προπερισπωμένως· δεῖ γὰρ λέγειν ἄκρατόν ἐστιν. ἡ γὰρ στέρησις προτιϑεμένη τῶν δισυλλάβων ὀνομάτων εἰς ος ληγόντων ἀναβιβάζει τὸν τόνον, οἷον ἄκακος, ἄφϑαρτος· οὐκοῦν ἄκρατος. περὶ χρόνους βαρβαρίζουσιν οἱ λέγοντες πίνακις ἐκτεταμένως· δεῖ γὰρ λέγειν πινακὶς καὶ κεραμίς, ὡς ϑυρὶς καὶ σανίς. περὶ δὲ πνεῦμα βαρβαρίζουσιν οἱ λέγοντες αὔριον δασέως· δεῖ γὰρ ψιλῶς, ἐπεὶ εἴρηται παρὰ τὴν αὔ-

---

πος δὲ λέγων τὸν ϑάτερον τῶν Διοσκούρων ἐσχάτως βαρβαρίζει. Menandrum secuti sunt sequiores scriptores, ut Tatianus c. 8 et alii in Thes. Gr. L. vol. 4 p. 256 indicati.

1. δὲ τῶν] μὲν τοῖν al. Διοσκόρων] Διοσκόροιν al. 3. αὐτῷ] αὐτὸ BD. 4. ἀρρενικοῦ] ἀρσενικοῦ ed. 5. Ἡσίοδος] Hesiod. fr. 33. λέγῃ] λέ B, λέγει D. 6. δὲ κατ' αὐτὸ] δ' αὖ Δίκτην τε al., δ' αὖ Δίκτυν τε Goettlingius. Πολυδεύκεα] si non Πολυδέκτην, certe Πολυδέκτεα scribendum: v. Apollod. II, 4, 2. 3. Zenob. 1, 41. Schol. Apoll. Rhod. 4, 1091. Schol. A Il. Ξ, 319. Paus. I, 22, 7. etiam alibi Πολυδέκτης nomen in Πολυδεύκης a librariis mutatum videmus, cf. Apollod. I, 9, 6. Eratosth. Catast. 22. Palaephat. de incred. 32. Schol. BD Il. Ξ, 319. 7. λήγει] λήγουσα B. 12. καὶ] δὲ D. 15. περὶ] ἐπὶ D. 16. πίνακις BD, πινακὶς al., πινάκις ci. Boissonadius, ego πινακῖς malim. 18. παρὰ] περὶ B.

ραν, ἥτις ἔωθεν ἐκ τῶν ποταμῶν ἀναδίδοσθαι φιλεῖ·

αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό·

ἄλλως τε καὶ διὰ ψιλοῦ ἀντιστοίχου ἐστὶν ἡ συναλοιφή· εἰ γὰρ ἐδασύνετο, διὰ τοῦ θ ὤφειλε συνηλεῖφθαι.

ἔνιοι μὲν λέγουσιν ἑλληνισμὸν εἶναι τὸν ποιητήν, ἔνιοι δὲ τὴν κοινὴν διάλεκτον, ἥτις ἐγένετο συνελθόντων τῶν Ἑλλήνων εἰς Ἴλιον, ἄλλοι δὲ τὴν ἐτυμολογίαν, ἥτος ἄχρι τοσούτου ... ... ἦλθεν εἰς Κόρινθον καὶ πρὸς παίδευσιν γραμματικῆς ἔλαβε τοὺς παῖδας τῶν πολιτῶν. ἔπειτα ἐρωτηθείς τις τί ἐστιν ἑλληνισμός, ἔφη «τὸ πάσαις ταῖς διαλέκτοις ὀρθῶς χρῆσθαι».

βαρβαρισμός ἐστιν ἁμάρτημα ἐν λόγῳ γινόμενον περὶ τὴν τῶν ἑλληνιζόντων συνήθειαν. βαρβαρισμὸς εἴρηται οἱονεὶ βαρυαυδησμός τις ὤν. γίνεται δὲ τρόποις πέντε, προσθέσει, ἀφαιρέσει, ἐναλλαγῇ, μεταθέσει καὶ περὶ προσῳδίας. προσθέσει γράμματος, ὡς ἐάν τις λέγῃ Αἰσχίνους δέον εἰπεῖν Αἰσχίνου· ἀφαιρέσει, ὡς ἐάν τις λέγῃ Δημοσθένου δέον εἰπεῖν Δημοσθένους· ἐναλλαγῇ γράμματος, ὡς τὸ δίρφος δέον εἰπεῖν δίφρος· μεταθέσει γράμματος, ὡς κίσηλις δέον εἰπεῖν κίσηρις. γίνονται δὲ βαρβαρισμοὶ καὶ περὶ προσῳδίας. λέ-

1. ἀναδίδοσθαι] ἀναδιδόσθαι ed. 2. αὔρη — πρό] Od. ε, 469. ψυχρὴ] ψυχὴ BD. ἠῶθι] ἠῶθε ed. 3. ἀντιστοίχου] ἀντιστίχου BD. ἡ συναλοιφή] alii libri versum addunt Hesiodeum (Op. 410), μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔννηφι. 4. τοῦ] τὸ B. συνηλεῖφθαι] συνειλῆφθαι BD. 5. «quae inde sequuntur non comparent in Valckenarii editione praeter unam sententiam suo loco infra indicandam. alius sunt, opinor, auctoris». Boiss. τὸν ποιητήν] τὴν ποιητικήν ci. Boissonadius, fortasse τὴν ποιητῶν praestat. 7. post τοσούτου lacunae signa posui. quae sequuntur ad Dionysium Siculorum tyrannum spectant. 11. ἐν] οὐ B. περὶ] παρὰ Boissonadius. 12. βαρυαυδησμός] βαρυαυτισμός D. cf. p. 290, 2. 16. 17. «male sedem permutaverunt nomina ἐναλλαγῇ et μεταθέσει». Boiss.

17. δέον εἰπεῖν δίφρος om. B. 18 — p. 312, 2. «haec sententia, λέγομεν — μάππαν, est apud Valckenarium pag. 192.» Boiss.

γομεν δὲ βαρβαρίζειν καὶ τὸν ἀλλοφύλῳ λέξει χρώμενον, ὡς εἴ τις τὸ μὲν ὑπαυχένιον κερβικάριον λέγει, τὸ δὲ χειρόμακτρον μάππαν.

[ἔμφασις δέ ἐστιν ἥπερ δι' ὑπονοίας ἐπίτασιν τοῦ λεγομένου παρίστησιν, οἷον

αὐτὰρ ὅτ' εἰς ἵππον καταβαίνομεν ὃν κάμ' Ἐπειός.

ἐν τῷ καταβαίνομεν τὸ μέγεθος τοῦ ἵππου ἐμφαίνει. ὅμοιον δὲ κἀκεῖνο· πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματος· καὶ γὰρ ἐν τούτῳ παρέχει μείζονα ἔννοιαν, ὡς βαπτισθέντος τοῦ ξίφους οὕτως ὥστε θερμανθῆναι.]

---

1. λέξει om. BD. 2—9. «sequentia de emphasi sua sede mota sunt, pertinueruntque ad librum de figuris. similia reperi in Vita Homeri pag. 297 Galeanae.» Boissonadius. 5. αὐτὰρ — Ἐπειός] Od. λ, 523. αὐτὰρ] ἀτὰρ BD. ὃν] ὃ ed. 7. πᾶν — αἵματος] Il. Π, 333. unde αἵματι legendum.

HERODIANVS

DE IMPROPRIA DICTIONE.

(V. Boissonadii Anecd. Vol. III p. 262—269).

Ἀκυρολογία ἐστὶ λέξεων τῶν περὶ τὸν αὐτὸν τρόπον ἀναστρεφομένων οὐ προσεχὴς χρῆσις. γίνεται δὲ ἀκυρολογία, ὅταν τις ἀκύρῳ φωνῇ χρήσηται παρεὶς τὴν κυριωτέραν, οἷον ἐάν τις εἴπῃ ῥύγχος ἀνθρώπου ἀντὶ τοῦ προσώπου. ῥύγχος μὲν ἐπὶ τετραπόδων ζῴων τάσσεται, ῥάμφος δὲ ἐπὶ πτηνῶν, ὄψις δὲ καὶ πρόσωπον ἐπὶ ἀνθρώπου. διαφέρει δὲ ῥύγχος καὶ πρόσωπον ὥσπερ τοῦ φωνεῖν τὸ ὠρύεσθαι καὶ τοῦ γῆμαι τὸ γήμασθαι καὶ τοῦ τεκεῖν τὸ γεννῆσαι καὶ τὰ λοιπὰ τὰ ἑξῆς ἐπαγόμενα κατ' ἀντιπαράθεσιν.

διαφέρει μὲν οὖν τὸ φωνεῖν τοῦ ὠρύεσθαι, ὅτι τὸ μὲν φωνεῖν ἐπ' ἀνθρώπου τάσσεται, τὸ δὲ ὠρύεσθαι ἐπὶ λύκου. παρατηρητέον οὖν καὶ ἐπὶ τῶν λοιπῶν τὸ οἰκεῖον ἑκάστου ὄνομα, οἷον μηκᾶσθαι ἐπὶ αἰγῶν,. βληχᾶσθαι ἐπὶ προβάτων, βρωμᾶσθαι ἐπὶ ὄνων, χρεμετίζειν ἐπὶ ἵππων, βρυχᾶσθαι ἐπὶ λεόντων, ἀρράζειν ἐπὶ κυνῶν παρ' Ἀθη-

---

Ἡρωδιανοῦ περὶ ἀκυρολογίας libellum Boissonadius edidit e codicibus Parisinis 2551 (B) et 2929 (D). initium e libro D protulerat I. Bekker Anecd. p. 1452. **1.** τὸν a se insertum dicit Boiss., habet Bekker. τρόπον] τόπον requiri videtur. **3. 4.** ῥύγχος ἀνθρώπου] praeter Ararotis versum, cuius Boissonadius admonet, ὁ γὰρ θεὸς τὸ ῥύγχος εἰς ἡμᾶς στρέφει (Com. 3 p. 273), cf. Meinek. Com. 2 p. 715. **9 — p. 314, 1.** cf. Ammon. Valck. p. 144 sq. **11.** μυκᾶσθαι ed., μηκᾶσθαι scripsi. fortasse μυκᾶσθαι ἐπὶ βοῶν, μηκᾶσθαι ἐπὶ αἰγῶν praestat. **13.** ἀρρίζειν ed., ἀραρίζειν Ammon., ἀρράζειν correxit

ναίοις ἀπὸ τῆς αρ φωνῆς· παρ' ἡμῶν τούτοις τὸ ὑλακτεῖν λέγεται· καὶ ἐπὶ τῶν πτηνῶν, κρώζειν μὲν ἐπὶ κορωνῶν καὶ κοράκων, κοκκύζειν δὲ ἐπὶ ἀλεκτρυόνων καὶ κοκκύγων, τρύζειν δὲ ἐπὶ τρυγόνων.

τὸ δὲ γῆμαι τοῦ γήμασθαι διαφέρει, ὅτι γαμεῖ μὲν ὁ ἀνήρ, γαμεῖται δὲ ἡ γυνή. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν αὐτῶν, ἐπὶ τοῦ γήμασθαι εἰπών·

γημαμένη ᾧ υἱῷ· ὁ δ' ὃν πατέρ' ἐξεναρίξας
γῆμε,

καὶ διασύρων τινὰ Ἀνακρέων ἐπὶ θηλύτητι·

καὶ θάλαμος, ἐν ᾧ κεῖνος οὐκ ἔγημεν ἀλλ' ἐγήματο,

καὶ Αἰσχύλος ἐν Ἀμυμώνῃ·

σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δ' ἐμοί.

τὸ μὲν γεννῆσαι ἐπὶ τοῦ πατρός, τὸ δὲ τεκεῖν ἐπὶ τῆς μητρός· ὅθεν οὐ κυρίως εἴρηκεν Ὅμηρος·

Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,

καὶ τίκτε μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων.

L. Dindorfius in Thes. Gr. L. vol. I, 2 p. 1858 D. alibi βαΰζειν et ῥύζειν de canibus dicitur. vitiosum vero est quod Polluci V, 89 tribuitur: εἴποις δ' ἂν κλάζειν μὲν ἀετούς — ἱέρακας δὲ ῥύζειν, ubi corrigendum ἱέρακας δὲ κρίζειν.

1. αρ] ἄρ ed. Bekk. **2. 3.** κοκκύζειν] κοκύζειν BD. **3.** τρυγόζειν ed., τρύζειν δὲ correxi, cf. Lex. Vind. p. 171, 5. **4—12.** cf. Ammon. Valck. p. 36 sq. Etym. Gud. p. 125, 2. **5.** Ὅμηρος] Hom. Od. λ, 273 sq. **7. 8.** ὅδ' ὅνπερ ἐξαναρίξας γῆμαι BD. **9.** Ἀνακρέων] Anacr. fr. 86 in Bergkii Lyr. p. 793 ed. alt. **10.** ἐν ᾧ] ἐν τῷ Elmsleius in Ar. Ach. 850. κεῖνος] ἐκεῖνος D. ἐγήματο] ἐγημᾶτο BD. **11.** Αἰσχύλος] Aesch. fr. 13. Ἀμυμώνῃ] ἀσυμβάνῃ BD. **12.** σοὶ] σὺ BD. γαμεῖν δ' ἐμοί] ἐμοὶ δὲ γαμεῖν BD. **13—15.** cf. Etym. Gud. p. 123, 10. **15.** Ξάνθου — Ζεύς] Il. Ξ, 434. τέκετο] τέκε BD. **16.** τίκτε — ἀνάσσων] Il. Φ, 188. τίκτε] τίκτει BD.

θῦσαι μὲν τὸ θυμιᾶσαι· θύει γὰρ τὰ βρώματα· σφάξαι δὲ τὸ ζῷον ἱερουργῆσαι. καὶ Ὅμηρος τὴν διαφορὰν αὐτῶν τετήρηκεν, ἐπὶ μὲν τοῦ θῦσαι εἰπὼν

θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον· ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς,

ἐπὶ δὲ τοῦ σφάξαι

αὖ ἔρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν.

τὸ δὲ ἀγανακτεῖν ἐπὶ τοῦ ὀργίζεσθαι· διαπονεῖν δὲ τὸ περί τι καταγίνεσθαι καὶ ἐνεργεῖν, ὡς Ὅμηρος· ὣς οἱ μὲν πονέοντο, τοῦτ' ἔστιν ἐπόνουν καὶ ἐνήργουν· καὶ τὸ σύνθετον διεπονοῦντο. καὶ πάλιν αὐτὰρ ἐπεὶ παύσαντο πόνου.

πορεύεσθαι βαδίζειν· ὑπάγειν ὑπὸ ζυγὸν ἄγειν βόας ἢ ἵππους ἢ γυναῖκα ὑπὸ τὸν ἄνδρα, ὃ καὶ βέλτιον κατ' ἐμὴν δόξαν, ἤ τι τοιοῦτον, ὡς Ὅμηρος· ὕπαγε ζυγὸν ὠκέας ἵππους. οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν ὅτι ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν, ὥσπερ ὑπογραμμὸν ἀντὶ τοῦ προγραμμὸν καὶ ὑφηγητὴν ἀντὶ τοῦ

1—7. cf. Ammon. Valck. p. 132 et quae attulit Lehrsius de Aristarchi stud. Hom. edit. alt. p. 82 sq. **1.** θυσιάσαι ed., θυμιᾶσαι scripsi. θύει γὰρ τὰ βρώματα] θύη γὰρ τὰ ἀρώματα expectes. σφάξαι τό τε ed., σφάξαι δὲ τὸ scripsi. **4. 5.** θεοῖσι — θυηλάς] Il. I, 219 sq. unde post Πάτροκλον verba ὃν ἑταῖρον addenda sunt. in BD Boissonadius legi dicit ἀνώγει καὶ ὅλον ἐν πυρὶ βάλε θραύσας et θράλας. **7.** αὖ ἔρυσαν — ἔδειραν] Il. A, 459. αὖ ἔρυσαν] αὐέρυσαν Boissonadius. μὲν] ἐπὶ ed. πρῶτα] πρῶτον et πρώτου libri. **8—11.** ex hoc loco Etym. Gud. p. 144, 29 emendandum esse vidit Boissonadius. **8.** μὲν τοῦ BD, μὲν τὸ Boissonadius, ἐπὶ τοῦ ego praetuli. **9.** Ὅμηρος] Il. E, 84. **10.** τοῦτ' ἔστιν] τουτέστιν ed. ἐνήργουν] ἐνέργουν BD. **11.** πάλιν] Il. A, 467. αὐτὰρ] ἀτὰρ BD. **12 — p. 316, 5.** eadem Ammon. Valck. p. 140. **13.** ἢ γυναῖκα — ἐμὴν δόξαν] ista verba Ammonio ignota haud scio an interpolatori debeantur. **14.** ὡς] καὶ ed. Ὅμηρος] Il. II, 148. **16.** ὑπογραμμὸν ἀντὶ τοῦ προγραμμὸν] ὑπόγραμμον ἀντὶ τοῦ πρόγραμμον ed.

προηγητὴν καὶ ὑφηγεῖσθαι ἀντὶ τοῦ προηγεῖσθαι, ὥς φησιν Ἀριστοφάνης ὁ κωμικός· ἐγὼ δ' ὑπερῶ τὸν ὅρκον, ἀντὶ τοῦ προερῶ. καὶ οὕτως ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν, τοῦτ' ἔστιν εἰς τὸ ἔμπροσθεν πορεύεσθαι, καὶ κέχρηται τῇ λέξει καὶ Εὔπολις ἐν Βάπταις· σὺ δ' ὕπαγ' εἰς τοὔμπροσθεν.

τὸ ἰχθυᾶσθαι τοῦ κυνηγετεῖν διαφέρει· κυνηγετεῖν μὲν γάρ ἐστι τὸ κύνας ἄγειν, ἰχθυᾶσθαι δὲ τὸ ἰχθύας ἀγρεύεσθαι. ὁ οὖν λέγων «ἐκυνηγέτησα τοὺς ἰχθύας» ἀκυρολογεῖ.

ὁ τρίβων τοῦ ῥάκους διαφέρει· ὁ τρίβων γὰρ τὸ ἤδη ἀποβεβληκὸς τὰς κροκύδας παρὰ τὸ ἤδη τετρῖφθαι, ῥάκος δὲ τὸ διερρωγὸς ἱμάτιον, ὡς Ὅμηρος· ἠῶθεν, δὲ τὰ σὰ ῥάκεα δνοπαλίξεις, τοῦτ' ἔστι διὰ χειρῶν ἄξεις, περιβάλλεσθαι μὴ δυνάμενος.

λίβανος μὲν αὐτὸ τὸ δένδρον καὶ ὁ τόπος· λιβανωτὸς δὲ ὁ καρπὸς αὐτοῦ, τὸ θυμιώμενον. ὁ γοῦν λέγων λίβανον τεθυμένον ἀκυρολογεῖ· δέον γὰρ λέγειν λιβανωτόν.

πένης μέν ἐστιν ὁ διὰ τῆς πενίας τὰ πρὸς τὴν τροφὴν πορίζων· πένεσθαι γὰρ τὸ ἐνεργεῖν, ὡς Ὅμηρος· ὣς οἱ μὲν πονέοντο, τοῦτ'

---

1. Ἀριστοφάνης ὁ κωμικός] Aristoph. Com. 2 p. 1188. **2.** ὑπερῶ τὸν ὅρκον, ἀντὶ τοῦ προερῶ] ὑπέρω τὸν ὄρθρον παντὶ προεὶς BD et Boissonadius, cui locus desperatus visus est. **3.** καὶ οὕτως] οὕτως οὖν καὶ Ammon., quod praefero. τοῦτ' ἔστιν] τουτέστιν ed. **4.** Εὔπολις] Eupol. Com. 2 p. 447. **5.** Βάπταις] Βάκχαις BD. ὕπαγ' εἰς] ὑπάγεις BD. **6—8.** cf. Etym. Gud. p. 354, 28. **6. 7.** ἰχθυᾶσθαι] ἰχθύεσθαι ed. **8.** ἀκυρολογία BD, ἀκυρολογεῖ Boiss. **9—12.** cf. Etym. Gud. p. 535, 2. **9.** τρίβων τοῦ BD, ὁ τρίβων τοῦ Boiss. **10.** κροκύδας] κροκίδας BD. antea ὁ ἤδη ἀποβεβληκὼς malebat Boissonadius; fortasse ὁ τρίβων in τρίβων mutari sufficit. **10.** ἤδη delendum erit. τετρῖφθαι] τετρίφθαι ed. **11.** Ὅμηρος] Od. ξ, 512. ἠῶθεν δὲ] εἴωθε δὲ BD, ἠῶθέν γε Hom. δνοπαλίξεις] δροπαλίζειν BD. **12.** τοῦτ' ἔστι] τουτέστι ed. **13—15.** cf. Ammon. Valck. p. 89. **14.** θυμιώμενον] θυώμενον BD. τιθυμένον BD, τεθυμένον Boiss. **16—p. 317, 5.** Etym. Gud. p. 459, 14. cf. Ammon. Valck. p. 111. **16.** τῆς πενίας] τοῦ πονεῖν requiri videtur. **17.** Ὅμηρος] Il. E, 84. **17. p. 317, 1.** τοῦτ' ἔστιν] τουτέστιν ed.

ἔστιν ἐπόνουν καὶ ἐνήργουν. πτωχὸς δὲ ὁ δι' ἔνδειαν τῶν πρὸς τὴν τροφὴν πτώσσων, ὡς Ὅμηρος·

ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.

οὐλὴ μέν ἐστιν ἡ ὑγιασμένη σὰρξ ἐκ τραύματος παλαιοῦ, ὡς Ὅμηρος· οὐλὴν τήν ποτέ μιν σῦς ἤλασεν· ὠτειλὴ δὲ τὸ πρόσφατον τραῦμα παρὰ τὸ οὐτᾶσθαι, ὡς Ὅμηρος·

αὐτίκα δ' ἔρρεεν αἷμα κατ' οὐταμένην ὠτειλήν,

καὶ «κελαινεφὲς ἐξ ὠτειλῆς».

νεαρὸν μέν ἐστι τὸ νεωστὶ ἀρυσθὲν ὕδωρ, πρόσφατον δὲ τὸ κρέας τοῦ νεωστὶ ἐσφαγμένου ζῴου ἀντὶ τοῦ πεφονευμένου· σφάξαι γὰρ τὸ φονεῦσαι, ὡς Ὅμηρος· τρεῖς ἑνὸς ἀντὶ πεφάσθαι. ὁ οὖν λέγων νεαρὸν τὸ κρέας καὶ πρόσφατον τὸ ὕδωρ ἀκυρολογεῖ.

τὸ μὲν φωλεὸς ἐπὶ τῶν ἑρπετῶν ζῴων τάσσεται, κοίτη δὲ ἐπὶ ἀνθρώπων, ὥστε ἐπὶ μὲν ἀνθρώπων ῥητέον τὸ κοιτάζειν, ἐπὶ δὲ τῶν ἑρπετῶν τὸ φωλεύειν, ἐπὶ δὲ τῶν πτηνῶν τὸ νοσσεύειν. ὁ γοῦν λέγων «νοσσιὰν τέκνων» ἀκυρολογεῖ· τέκνα γὰρ ἐπὶ ἀνθρώπων, νεοσσοὶ

---

1. ἐνήργουν] ἐνέργουν BD. τῶν] τῷ BD. 2. Ὅμηρος] Od. ρ, 226—228. 3. ἐπεὶ οὖν δὴ] ἐπειδὴ BD. verba κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει om. BD. 4. πτώσσων] πτωχὸς BD. 5. βόσκειν ἣν γαστέρ'] βόσιν ἣν γαστέρα BD. 6—10. Ammon. Valck. p. 107. Etym. Gud. p. 440, 17. 6. ὑγιασμένη] ὑγιαμένη BD. 7. Ὅμηρος] Od. τ, 393. ποτέ μιν] ποτ' ἐμὴν BD. 8. Ὅμηρος] Il. P, 86: ἔρρει δ' αἷμα κατ' οὐταμένην ὠτειλήν. Δ, 140: αὐτίκα δ' ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς. 11—14. aliquantum discrepat Ammon. Valck. p. 97 sive Etym. Gud. p. 403, 38. 12. ἐσφαγμένου] ἐσφαμένου BD, ἐσφασμένου Boiss., fortasse πεφασμένου leg. σφάξαι] φάσαι cum Ammonio scripserim. 13. Ὅμηρος] Il. N, 447. 14. ἀκυρολογία BD, ἀκυρολογεῖ Boissonadius. 15—p. 318, 1. Ammon. Valck. p. 145. Etym. Gud. p. 560, 28. 15. δὲ om. BD et Boiss. 16. ὥστε ἐπὶ μὲν ἀνθρώπων om. BD, addidit Boiss. 18. νοσσιὰν τέκνων] tragici

ἐπὶ ὀρνίϑων, σκύλακες δὲ κυνῶν, νεβροὶ ἐλάφων, σκύμνοι λεόντων. παρατηρητέον δὲ καὶ περὶ τῶν λοιπῶν τὰ οἰκεῖα ἑκάστου, ὡς ἔφην, ὀνόματα πρὸς τὸ μὴ ἀκυρολογεῖν.

τὸ ἕνεκεν τοῦ χάριν διαφέρει περὶ τὴν τῶν προσώπων διαφοράν· τὸ μὲν γὰρ ἐπὶ τῶν ἐχϑρῶν καὶ ἐναντίων, τὸ δὲ ἐπὶ τῶν οἰκείων καὶ φίλων· ὥστε ἄν τις εἴπῃ «Ὀδυσσεὺς ἐστράτευσεν εἰς Ἴλιον χάριν Ἀλεξάνδρου», ἀκυρολογεῖ· τὸ γὰρ ὀρϑὸν οὕτως ἔχον ἐστίν, «ἕνεκεν Ἀλεξάνδρου, χάριν δὲ Μενελάου καὶ Ἀγαμέμνονος».

τὸ ϑράσος τοῦ ϑάρσους διαφέρει ὡς ἀρετὴ κακίας· τὸ μὲν γὰρ ἐπ᾽ ἀγαϑοῦ λαμβάνεται, τὸ δὲ ἐπὶ κακοῦ· καὶ τὸ μὲν ϑαρσεῖν ἐπὶ τοῦ ἀνδρείου τάσσεται, τὸ δὲ ϑρασύνεσϑαι ἐπὶ κακοῦ καὶ ῥιψοκινδύνου. διὸ καὶ οἱ παλαιοὶ οὕτως αὐτὸ ὁρίζονται· ϑάρσος μὲν ...... ϑράσος δὲ ἀλόγιστος τόλμα. ὅϑεν Εὐριπίδης ἁμαρτάνει λέγων·

οὔτι ϑράσος τόδ᾽ ἐστὶν οὐδ᾽ εὐτολμία
φίλους κακῶς δράσαντ᾽ ἐναντίον βλέπειν.

Σικελοὶ μὲν λέγονται οἱ ἐν τῇ Σικελίᾳ βάρβαροι, οἱ ἀπὸ Σικελοῦ τοῦ Ἰταλοῦ βασιλέως κατοικήσαντες τὴν νῆσον· Σικελιῶται δὲ οἱ ἀπὸ τῶν Ἑλληνίδων πόλεων Ἕλληνες μετοικήσαντες εἰς Σικελίαν.

τὸ πρότερος ἐπὶ δυοῖν τάσσεται, ὡς Ὅμηρος ἐπὶ Τληπολέμου

---

poetae haec esse verba arbitror. νεοσσοὶ ἀντὶ τοῦ τέκνα praebet Etym. Gud., νοσσιὰν τῶν τέκνων Ammonius.

2. περὶ] ἐπὶ malim. 4—8. cf. Ammon. Valck. p. 53. 4. περὶ] κατὰ malim. 6. ὡς τὸ BD, ὥστε Boiss. Ὀδυσσεὺς] ὁ Ὀδυσσεὺς Boiss. 9—15. Etym. Gud. p. 255, 27. 9. ϑάρσους] ϑάρσου BD.

12. 13. ϑάρσος δὲ ἀλόγιστον τόλμα BD, ϑάρσος μὲν ...... ϑράσος δὲ ἀλόγιστος τόλμα scripsi. requiritur ϑράσος μέν ἐστι ψυχῆς παράστημα μετὰ λογισμοῦ sive εὔλογον ψυχῆς παράστημα, cf. Etym. Gud. p. 255, 29. Schol. Il. E, 2. 13. Εὐριπίδης] Eur. Med. 469 sq. 14. οὔτι] οὔτοι meliores libri Eur. 15. δράσαντ᾽] δραπέντ᾽ BD. 16—18. cf. Etym. Gud. p. 500, 29. 16. 17. Σικελοῦ τοῦ Ἰταλοῦ βασιλέως] Ἰταλοῦ τοῦ Σικελῶν βασιλέως malim. 19 — p. 319, 4. Etym. Gud. p. 481, 62. 19. πρότερον BD, πρότερος Boiss. Ὅμηρος] Il. E, 632.

καὶ Σαρπηδόνος·

τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔειπε·

τὸ δὲ πρῶτος ἐπὶ πλειόνων, ὡς Ὅμηρος ἐπὶ τῶν ἀριστέων·

ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

τὸ μὲν ἕτερος ἐπὶ δυοῖν τάσσεται, ὡς Ὅμηρος· φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα· τὸ δὲ ἄλλος ἐπὶ πλειόνων, ὡς Ὅμηρος

οἴσετε δ' ἄρν', ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν,
Γῇ τε καὶ Ἠελίῳ· Διὶ δ' ἡμεῖς οἴσομεν ἄλλον.

τὸ ἕκαστος ἐπὶ πλειόνων, οἷον «ἑπτὰ ἦσαν οἱ ἐπὶ Θήβας στρατεύσαντες· τούτων ἕκαστος μὲν πύλην κατέσχε».

τὸ μὲν πότερος ἐπὶ δυοῖν τάσσεται, οἷον «πότερος ἀνδρειότερος, Αἴας ἢ Ἕκτωρ». τὸ δὲ τίς ἐπὶ πλειόνων, οἷον «τίς ἀνδρειότατος τῶν ἐπ' Ἰλίῳ στρατευσάντων;»

τὸ μὲν δύο ἐπὶ προσώπων τάσσεται, οἷον «δύο ἦσαν οἱ Διόσκουροι»· τὸ δὲ δεύτερος ἐπὶ τάξεως, οἷον «πρῶτοι παρέταξαν Θηβαῖοι, δεύτεροι Πλαταιεῖς». τὸ δὲ ὅμοιον παρατηρητέον καὶ ἐπὶ τρεῖς· καὶ τρίτον ἀντὶ τοῦ τρεῖς καὶ τέταρτον ἀντὶ τοῦ τέσσαρα ἀκυρολογία περὶ τὴν τάξιν τῶν ἀριθμῶν. τινὸς ἀντὶ ἀλλήλοις.

---

3. Ὅμηρος] Il. Η, 162. 5—8. Ammon. Valck. p. 61. 5. τὸ μὲν] τὸ δὲ ed. ἕτερον BD, ἕτερος Boiss. Ὅμηρος] Il. Β, 217. 6. Ὅμηρος] Il. Γ, 103 sq. 7. ἄρν'] ἀρνὸν BD. ἑτέρην] ἕτερον BD. μέλαιναν] μέλανα alter codex. 9. ἕκαστον BD, ἕκαστος Boiss. ceterum suppleverim τὸ μὲν ἑκάτερος ἐπὶ δυοῖν τάσσεται, οἷον ...., τὸ δὲ ἕκαστος ἐπὶ πλειόνων. 10. πύλην] πάλιν BD, πόλιν Boiss. 12. ἀνδρειότερος ed., ἀνδρειότατος scripsi. 13. ἐπ' Ἰλίῳ] ἐπ' Ἴλιον malim. 15. παρέταξαν] παρετάξαντο Boissonadius cum Lexico cod. Paris. 2552. 16. δεύτεροι] δεύτερον BD. 16. 17. ἐπὶ τρεῖς — ἀκυρολογία] scripserim ἐπὶ τοῦ τρεῖς καὶ τρίτος· ὁ γὰρ λέγων τρίτος ἀντὶ τοῦ τρεῖς καὶ τέταρτος ἀντὶ τοῦ τέσσαρες ἀκυρολογεῖ.

18. τινὸς ἀντὶ ἀλλήλοις] «puto haec corrupta et hiulca pertinere ad sequentem regulam qua discrimen vocum ἑαυτοὺς et ἀλλήλους grammaticus explicabat». Boissonadius, qui ἀντὶ ἀλλήλων correxit.

τὸ μὲν ἑαυτοὺς ἐπὶ τῶν καθ' ἑαυτοὺς λεγομένων ἐστίν, οἷον «Αἴας ὁ Τελαμώνιος καὶ Μενοικεὺς ὁ Κρέοντος ἑαυτοὺς ἀπέκτειναν», τοῦτ' ἔστιν ἑκάτερος ἑαυτόν· τὸ δὲ ἀλλήλους ἐπὶ τῶν συμπεπλεγμένων, οἷον «Ἐτεοκλῆς καὶ Πολυνείκης ἀλλήλους ἀπέκτειναν», τοῦτ' ἔστιν ἕτερος τὸν ἕτερον. ὅθεν καὶ Μένανδρος ὁ κωμικὸς ἀκυρολογεῖ λέγων

οὐκ ὁρίσαμεν αὐτοῖς ἤδη εἰμὶ σῶς.

1—4. Etym. Gud. p. 156, 16. 1. καθ' ἑαυτοὺς] καθ' ἑαυτῶν BD. 2. Μενοικεὺς καὶ Κρέων ed., Μενικὲς ὁ Κρέων Etym. Gud., Μενοικεὺς ὁ Κρέοντος scripsi cum Eust. Od. p. 1547, 26. 3. τοῦτ' ἔστιν] τουτέστιν ed. 3—5. ἑκάτερος — τοῦτ' ἔστιν om. BD, supplevit Boissonadius ex Etym. Gud. ubi extrema verba ὅθεν — σῶς omittuntur. 5. Μένανδρος ὁ κωμικὸς] Men. Com. 4 p. 301.
7. ὁρίσαμεν] ἠρκέσαμεν Eust. Od. p. 1547, 28. ἠρέσαμεν Schneiwinus Coni. crit. p. 117. αὐτοῖς] αὐτοῖς B, ἑαυτοῖς Eust., αὐτοῖσιν Schneidewinus. ἤδη] ἤδη δ' idem.

ANONYMVS

DE LYRICIS POETIS.

(V. Boissonadii Anecd. Vol. IV p. 458 sq.)

Λυρικοὶ δέ εἰσιν οὗτοι· Ἀλκμάν, Στησίχορος, Ἀλκαῖος, Ἴβυκος, Ἀνακρέων, Σιμωνίδης, Πίνδαρος, Βακχυλίδης. οὕτω δὲ προσηγορεύϑησαν διὰ τὸ πρὸς λύραν ᾄδεσϑαι τὰ ποιήματα αὐτῶν· διὸ ᾠδαὶ τὰ παρ' αὐτοῖς. μέλη δὲ τὰ ἐν αὐτοῖς ἤτοι διὰ τὸ ἀπὸ τελείων ἀφαιρεῖσϑαι μέτρων· καὶ γὰρ ἡμεῖς τὰ ἀπὸ τελείων ἀφαιρούμενα μέτρων μέλη καλοῦμεν· ἢ ἀπὸ Μελίας τῆς Ὠκεανοῦ ϑυγατρός, καϑὰ Λυ-

---

De lyricis poetis quae hoc loco subiungimus debentur codici Parisino 2551. inscriptio opusculi in codice desideratur, περὶ λυρικῶν titulum praefixit Boissonadius, qui cum e Didymeo de lyricis poetis libro disputationem derivatam esse suspicatus sit, effecit ut M. Schmidtius in Didymi fragm. p. 395 sq. reciperet opusculum et docte quaedam illustraret. **1.** Ἀλκμάν] Ἀλκμᾶν ed. Boiss. Ἀλκαῖος] Σαπφώ, Ἀλκαῖος scripserim. certe Sapphonis memoriam omissam esse a grammatico non crediderim. **3.** διὸ δεῖ ταῦτα cod., διὸ ᾠδαὶ τὰ scripsi. **6.** Μέλας cod., Μελίας coniecit Boissonadius coll. Apollod. II, 1, 1. adde Tzetz. in Lycophr. 177. 1211. Paus. IX, 10, 5. 26, 1. Schol. Eur. Or. 932 al. Μηλίαν falso scribitur in Ioh. Antioch. fr. 6, 14 (Mülleri Fragm. Hist. Gr. IV p. 544). τοῦ Ὠκεανοῦ ed. Boissonadius, qui τῶν Ὠκεανοῦ in codice esse dicit, ego τῆς Ὠκεανοῦ scripsi.

6 — p. 322, 1. καϑὰ Λυσανίας φησίν] Aelius Festus Aphthonius ap.

σανίας φησίν, ἢ παρ' ὅσον μέλιτι παραπλησίαν ἔχει τὴν ἡδονήν· δύναται δὲ καὶ διὰ τὸ κροῦμα ᾠδὴ καὶ μέλος ὁμωνύμως λέγεσθαι· καὶ κῶλα δὲ ὁμοίως, ἐπειδὴ μὴ τέλειόν ἐστι μέτρον. τῶν δὲ ᾠδῶν αἱ μέν εἰσι μονόστροφοι, αἱ δὲ τριαδικαί· καὶ μονόστροφοι μὲν αἱ Σαπφοῖ καὶ Ἀλκαίῳ καὶ Ἀνακρέοντι διὰ τριῶν ἢ τεσσάρων κώλων ὡρισμένην ἔχουσαι τὴν κατάστασιν καὶ ὑπὸ περιγραφῆς διειργόμεναι, τριαδικαὶ δὲ αἱ συνεστῶσαι ἔκ τε στροφῆς καὶ ἀντιστρόφου καὶ ἐπῳδοῦ. στροφὴ μὲν οὖν ἐστι κώλων ποσῶν εὔρυθμος σύνθεσις ἑτεροίας στροφῆς ἀντιστρόφου καὶ ἐπῳδοῦ. κέκληται δὲ ἡ μὲν στροφή, καθά φησι Πτολεμαῖος ἐν τῷ περὶ στατικῆς ποιήσεως, διὰ τὸ τοὺς ᾄδοντας κύκλῳ κινεῖσθαι περὶ τὸν βωμόν, σημαίνοντας τὴν τοῦ κόσμου κίνησιν· ἀντίστροφος δὲ παρὰ τὸ ἀναστρέφοντας αὐτοὺς εὐρύθμως κινεῖσθαι, ἄχρις ἂν ἔλθωσιν ἐπ' ἐκεῖνον τὸν τόπον ἀφ' οὗ ἤρξαντο πρῶτον κινεῖσθαι· ἠνίσσοντο δὲ διὰ τούτου τὴν τοῦ ἡλίου κίνησιν, ἐπειδὴ τὴν ἐναντίαν οὗτος δοκεῖ τῷ κόσμῳ ποιεῖσθαι· ἐπῳδὸς δέ, ἐπειδὴ ἱστάμενοι ἐπῇδον, διὰ τούτου τὸ ἔμμονον καὶ στερεὸν τῆς γῆς παριστῶντες.

λύρα τοίνυν προσηγορεύθη διὰ τὸ λύτρον ὑπὸ Ἑρμοῦ δεδόσθαι

Mar. Victor. p. 241 ed. Gaisf.: μέλος *autem*, *quod ex his nascitur*, *dictum putant a Meline* (l. *M‹e›lia*) *Oceani filia*, *quam primam quattuor chordis usam adfirmat Lysanias*. indicavit hunc locum M. Schmidtius, qui de Lysania plurimos testes addit.

6. ἔχουσα cod., ἔχουσαι Boissonadius. 8. 9. ἑτεροίας — ἐπῳδοῦ] verba vitiosa, quorum medelam aliis relinquo. 10. Πτολεμαῖος ἐν τῷ περὶ στατικῆς ποιήσεως] qui dicatur Ptolemaeus non magis scio quam quae sit στατικὴ ποίησις. διὰ τοὺς ed., διὰ τὸ τοὺς scripsi. 12. βίου cod., ἡλίου Boissonadius, ego κόσμου scripsi. cf. Mar. Victor. ed. Gaisf. p. 78 sq. Schol. Hephaest. p. 200. 15. ποιεῖσθαι] πορεύεσθαι legendum suspicor. aliter Boissonadius: «deesse videtur ὁδὸν vel πορείαν. potest et scribi, ἐπειδὴ ταύτην ἐναντίαν...» 16. διὰ τοῦτο ed., διὰ τούτου scripsi. 18. λύθρον ed., λύτρον Schneidewinus in Eust. Prooem. comm. Pind. p. 26.

τῆς κλοπῆς τῶν βοῶν τοῦ Ἀπόλλωνος, καθάπερ φησὶν Εὐριπίδης ἐν Ἀντιόπῃ· λύρα βοῶν ῥύσι' ἐξερρύσατο.

---

1. Εὐριπίδης ἐν Ἀντιόπῃ] Eur. fr. 190. 2. ῥύσα cod., ῥύσια Boissonadius, qui λύρα in λύρᾳ mutandum esse coniecit. ceterum emendatio loci admodum incerta: λύρᾳ βοῶν γὰρ ῥύσι' ἐξελύσατο proposuit Schneidewinus, λύρα βοῶν νιν ῥύσι' ἐξερρύσατο Vnger Theb. Parad. p. 33.

EXCERPTA BAROCCIANA.

(V. Mus. philol. Cantabr. Vol. II p. 114. 429—431.)

Cod. Barocc. 216 fol. 163 sq. Βαρεώτερος ἀπὸ τῆς γενικῆς εἶπον, βαρέως, βαρεώτερος, σπανίως μέντοι· καὶ ἔτι Αἰσχύλος μειζονώτερος ὑπερτερώτερός τε, καὶ χερειότερος, καὶ ῥηίτερος, καὶ πλειότερος. ὧς δὲ καὶ τοῦ ὑπερθετικοῦ τὸ πρώτιστος· «εἵλκυσαν εἰς τὸ πρώτιστον.»

Cod. Barocc. 159. Ἐπιμερισμοί. Κηδεία ἡ ἐπιγάμβρευσις παρ' Αἰσχύλῳ.

Cod. Barocc. 76 fol. 254. Νὺξ νυχὸς κατὰ τὸν κανόνα, ὅτι τὰ εἰς νυξ λήγοντα ὀνόματα ἀπὸ ῥημάτων μελλόντων γινόμενα κατὰ ἀποβολὴν τοῦ ω ἔχουσιν ἐν τῇ τελευτῇ τῆς γενικῆς τὸ σύμφωνον τῆς τελευταίας συλλαβῆς ἢ τοῦ ἐνεργητικοῦ παρακειμένου ἐκείνου τοῦ ῥήματος, ἀφ' οὗ τὰ τοιαῦτα ὀνόματα γέγονε, καὶ μετεχόντων τὸ τοῦ ἐνεργητικοῦ παρακειμένου σύμφωνον ἔστω σοι παράδειγμα τὸ

---

2. βαρέως, βαρεώτερος] βαρεώς βαρεώτερός ed. Αἰσχύλος] Aesch. fr. 425. ubi attuli Maximi Planudis locum quo forma μειζονώτερος Aeschylo tribuitur. eundem poetam Agam. 428 ὑπερτερώτερα dixisse probabiliter coniecit H. Weilius. 3. ὑπερτερώτερός τε] ὑπερτερώτερώς τε ed. 4. ὧς δὲ] ὡς δὲ ed. εἵλαυσαν ed., ἤλασαν coniecit Cramer, ego εἵλκυσαν scripsi. cuius scriptoris sint quae afferuntur verba, ignoro. 7. παρ' Αἰσχύλῳ] Aesch. fr. 159. 8 — p. 325, 11. cf. Etym. M. p. 609, 5. 12. μετεχόντες ed., μετεχόντων scripsi. 13. σύμφωνον] σύμφονον ed.

πτὺξ πτυχός, ὃ δηλοῖ τὴν θύραν, γίνεται δὲ ἀπὸ τοῦ πτύσσω τὸ ἀσφαλίζω· τῶν δὲ ἐχόντων βουπλὴξ βουπλῆγος. κατὰ τοῦτον οὖν τὸν κανόνα ἐκλίθη καὶ νὺξ νυχός, λαβοῦσα κατὰ τὴν γενικὴν τὸ τοῦ ἐνεργητικοῦ παρακειμένου σύμφωνον· εἶτα πλεονάσαντος τοῦ τ γέγονε νυχτός· ἐπεὶ δὲ ψιλὰ ψιλῶν ἡγεῖται ἢ προηγεῖται καὶ δασέα δασέων, μετεβλήθη τὸ δασὺ χ εἰς ψιλὸν κ καὶ γέγονε νυκτός, ἵνα προηγήσηται τοῦ ψιλοῦ τ ἕτερον ψιλὸν κ. ὅμοιον δέ ἐστι καὶ τὸ ἄναξ ἄνακτος· γέγονε δὲ ἀπὸ τοῦ ἀνάσσω ἀνάξω, ἀποβολῇ τοῦ ω ἄναξ ὁ βασιλεὺς καὶ κλίσει ἄναχος ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου, εἶτα πλεονάσαντος τοῦ τ καὶ τροπῇ τοῦ χ εἰς κ ἄνακτος γέγονε.

κανόνισον εἴκω τὸ θέλω καὶ τὸ ὑποχωρῶ καὶ ὑποτάσσομαι καὶ πρέπω καὶ ὁμοιῶ· εἴξω, ὁ ἀόριστος εἶξα, ὁ δεύτερος εἶκον· ἡ μετοχὴ ὁ ἑκὼν ὤφειλε ψιλογραφεῖσθαι, ἀλλ' ἔστιν ὁ κανὼν ὁ λέγων, τὸ ε πρὸ τοῦ κ, εἰ μὴ ἀπὸ ληκτικῆς ἐκτάσεως εἴη, δασύνεται, οἷον ἑκάς, ἑκάεργος, ἕκαστος, Ἑκάτη ἡ σελήνη· καὶ ἔτι εἴρηται «εἰ μὴ ἀπὸ ληκτικῆς ἐκτάσεως εἴη» διὰ τὸ ἐκαρτέρησα, ἔκειρα ἀντὶ τοῦ ἔκοψα, ἔκλεπτον, ἐκαινοτόμουν, ἔκοπτον καὶ τὰ παραπλήσια.

καρδία πέντε· τὸ σωματικὸν μόριον· τὸ βαθὺ τοῦ ἐγκεφάλου, ὡς τὸ «διὰ τί ἀναλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν;» τὴν ψυχήν, ὡς τὸ «καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός»· τὴν γνώμην, ὡς τὸ «ἡ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ»· καὶ τὴν εὐδοκίαν καὶ ἀρέσκειαν, ὡς τὸ «εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου».

βίος ἕξ· τὴν τέχνην, ὡς τὸ «βίον ἐμπορικὸν ἢ φιλόσοφον ζῆν»· τὸν τρόπον, ὡς τὸ «χρηστοῦ βίου ἐστί»· τὸν παρόντα κόσμον· τὸν

---

3. ἐκλήθη ed., ἐκλίθη scripsi. **5.** verba ἡγεῖται ἢ melius aberunt. **13.** βλέπω ed., πρέπω scripsi ex Etym. M. p. 297, 6. **14.** ἔστιν ὁ] ἔστι malim. **19.** πέντε] ε ed. **20.** διὰ τί — ὑμῶν] Evang. Luc. 24, 38. διὰ τί] διατὶ ed. ἀναλογισμοὶ] διαλογισμοὶ N. T. libri. **21.** καρδίαν — θεός] Psalm. 50, 12. ὁ θεός] ὦ θεὸς ed. Cram. codice invito. **22.** ἡ καρδία — ἀπ' ἐμοῦ] Ies. 29, 13 sive Matth. 15, 8. **23. 24.** εὗρον — μου] Act. Apost. 13, 22. **25.** ἕξ] ϛ ed.

ἑνὸς ἑκάστου χρόνον· τὴν τῆς ζωῆς περιουσίαν, ὡς τὸ «πολὺς ἦν αὐτῷ βίος»· καὶ τὰς πρὸς τὸ ζῆν συντεινούσας τροφάς.

τὰ παρὰ τὸ κέρας καὶ γέρας συντιθέμενα ὀνόματα διὰ τοῦ ω μεγάλου γράφεται, οἷον εὔκερως· τὰ παρὰ τὸ γῆρας, οἷον εὐγήρως, πολυγήρως, κακογήρως· κλίνεται δὲ κατ' ἀποβολὴν τοῦ σ. συντάττεται δὲ καὶ τὰ παρὰ τὸ χρέος συγκείμενα διὰ τοῦ ω μεγάλου· χρέος γὰρ μόνη διὰ ο μικροῦ, τὰ δὲ παρ' αὐτὸ διὰ ω μεγάλου, οἷον ὑπόχρεως, κακόχρεως, ἀξιόχρεως.

διδάσκω καὶ τὸ παθητικὸν διδάσκομαι· τὰ εἰς κω λήγοντα ῥήματα ὅσα ἐνδέχεται ἀναδιπλασιασμὸν μέλλοντα οὐ δέχεται.

βουλὴ τρία· τὴν ἄθροισιν·

βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων·

τὴν γνώμην· Διὸς δ' ἐτελείετο βουλή, καὶ τὴν θέλησιν· Θέτιδος δ' ἐξήνυσε βουλάς.

πέττω τὸ πίπτω ἄχρηστον καὶ πάντα ἐνεργητικά· ὁ μέλλων πέσω καὶ Δωρικῶς πεσῶ, καὶ ὁ μέσος μέλλων πεσοῦμαι πεσῇ πεσεῖται.

λέγω ὅτι εὕρηται θέλω καὶ ἐθέλω· τῶν ἀπὸ τοῦ θέλω γίνεται ὁ παρακείμενος τεθέλησθαι ἀπὸ συμφώνου ἀρχόμενος, καὶ τὸν ἐνεστῶτα θέλει ἔσχεν ἀπὸ συμφώνου ἀρχόμενον· ἀπὸ δὲ τοῦ ἐθέλω τρισυλλάβου γίνεται τὸ ἤθελε. μηδεὶς οὖν οἰέσθω γίνεσθαι τὸ θέλω δισύλλαβον ἀπὸ τοῦ ἐθέλω τρισυλλάβου, ἀφαιρεθέντος τοῦ ε· τὸ ἐθέλω δὲ μᾶλλον ἀπὸ τοῦ θέλω, τοῦ ε πλεονάσαντος, ἐπεὶ κανών ἐστιν ὁ

---

1. 2. πολὺς ἦν αὐτῷ βίος] similia sunt quae habet Eur. Suppl. 861: ᾧ βίος μὲν ἦν πολύς. nec tamen hunc locum spectari crediderim. 4. μᾶλλον ed., μεγάλου scripsi. εὔκερως] εὐκαίρως cod. γῆρας] γήρας ed. 7. μόνη] ὄνομα scripserim. αὐτοῦ μεγάλου ed., αὐτὸ διὰ ω μεγάλου scripsi. 11. τρία] γ̄ ed. 12. βουλὴν — γερόντων] Il. B, 53. 13. Διὸς — βουλή] Il. A, 5. 13. 14. Θέτιδος — βουλάς] Il. Θ, 370. 15. πέττω] saltem πέτω expectes. πάντα] παντὰ ed. 17. λέγω suspectum. 18. τεθέλησθαι] τεθέληκα scribendum videtur: quamquam probati scriptores ἠθέληκα formam praeferunt, cf. Lobeck. in Phryn. p. 332. 20. ἤθελα ed., ἤθελε scripsi. 22. κανὼν ἔστιν] κανών ἐστιν ed.

λέγων· τὰ εἰς λω λήγοντα ῥήματα τῷ ε παραληγόμενα ὑπερβαίνοντα τὴν δισυλλαβίαν, εἰ μὴ καὶ ἕτερον λ προηγούμενον ἔχει, περισπῶνται, οἷον ὠφελῶ, ἀμελῶ, συντελῶ· εἰ δὲ μὴ ὑπερβαίνουσι τὴν δισυλλαβίαν, βαρύνονται, οἷον ϑέλω, μέλλω καὶ τὰ ὅμοια.

ἐπὶ τῶν μεγάλων προσώπων, ἐφ' ὧν ἐδόκει βαρὺ τὸ φανερῶς προστάττειν, ἐχρῶντο οἱ Ἀττικοὶ εὐκτικῷ μετὰ τοῦ ἄν, ὡς Εὐριπίδης ἐν τῷ δευτέρῳ δράματι·

κλύοις ἄν, Φοῖβε προστατήριε,

ἀντὶ τοῦ ἐπάκουε

ὅτι εἰσὶ παρακείμενοι οἵτινες ἐπισημείωσιν ἐνεστώτων λαμβάνονται ἀεί, ὡς ὁ δέδορκα, δέδοικα, πέφρικα· εἰσὶ δὲ ἄλλοι οἵτινες ἀεὶ ἐπὶ παρεληλυϑότος λαμβάνονται, ὡς τὸ πέπονϑα καὶ πεποίηκα· εἰσὶ δὲ καὶ ἄλλοι οἵτινες ἐνίοτε μὲν ἐπὶ ἐνεστῶτος, ἐνίοτε δὲ ἐπὶ παρεληλυϑότος.

ἀλλὰ ἐνίοτε μὲν συμπλεκτικὸν λέγεται ἐπὶ ἀναιρέσει τινὸς καὶ συστάσει ἑτέρου, οἷον «οὐκ ἔστι τόδε ἀλλὰ τόδε»· καὶ ὅτε ἐφ' ἑτέρῳ ἕτερον ἐπάγεται νοούμενον ἑτέρας ἀναιρέσεως· «ἔστιν τόδε, ἀλλὰ καὶ τόδε». καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλως γινομένων, ὡς ἔχει τὸ «ἀσπίδα, φρῦνον, ὄφιν καὶ Λαδικεύς· ἀλλὰ τὰς πινακίδας ἄϑλιος ὁ Λαδι-

---

1. εἰς ω cod., εἰς λω Cram. 6. Εὐριπίδης] immo Sophocles El. 637. 7. δευτέρῳ] β^{ω} ed. δεύτερον δρᾶμα Sophocleum dicitur Electra (cf. Schol. Eur. Or. 23), sicut Aeschyleum τρίτον δρᾶμα sunt Persae (Schol. Eur. Or. 220), Euripideum δεύτερον δρᾶμα Orestes (Schol. Eur. Hec. 1277), τρίτον Phoenissae (Schol. Eur. Or. 1472. 1492).

8. κλύοις ἄν] κλύοις ἂν ἤδη Soph. 9. ἀντὶ ἐπακουε ed., ἀντὶ τοῦ ἐπάκουε scripsi. 15. συμπλεκτικὸν] συμπλεκτικῶς malim. 16. οὐκ ἔστι] οὐκ ἐστὶ ed. 17. ἑτέρας ἀναιρέσεως] ἐξ ἀναιρέσεως scribendum videtur, cf. Rhet. Gr. vol. 8 p. 638. 18. ἄλλως] ἀλλῶς ed. 18 — p. 328, 1. ἀσπίδα — ἔχει λαβών] Synes. Epist. 127 p. 262 A, cuius haec verba feruntur: Ἀσπίδα, φρῦνον, ὄφιν καὶ Λαδικέας περίφευγε καὶ κύνα λυσσητὴν καὶ πάλι Λαδικέας. ἀλλὰ μετὰ τὸν ἡμερώτατον καὶ φιλοσοφώτατον Πεντάδιον τὰς πινακίδας, ἃς ἡ πολιτεία σύνϑημα ποιεῖται τῆς Αἰγυπτίας ἀρχῆς, Εὐϑάλιος ὁ Λαδικεὺς ἔχει λαβών. 18. ἀσπίδα] ἄσπιδα ed.

κεὺς ἔχει λαβών». ἐνίοτε δὲ ὁ ἀλλά ἐστι συλλογιστικὸς καὶ λέγεται ἐπὶ βεβαιώσει πράγματος, ὡς ἐνταῦθα τοῦ Σοφοκλέους «ἀλλ' ἢ μέμηνας» καὶ «ἀλλὰ μὴν τόδε ἐστίν».

1. ἀλλά ἐστι] ἀλλὰ ἐστὶ ed. 2. ἐνταῦθα] ἐν τῷ δευτέρῳ scribendum suspicor. 2. 3. ἀλλ' ἢ μέμηνας] Soph. El. 879.

LEXICON RHETORICVM CANTABRIGIENSE

a P. P. Dobraeo editum.

Ἀγωγεὺς ὁ ἐνάγων τὴν δίκην, ὁ διώκων· καὶ ὁ λῶρος ᾧ ἄγονται οἱ ἵπποι.

ἀγραφίου δίκη κατὰ τοῦ τὸν ὀφείλοντα τῷ δημοσίῳ μὴ ἐγγράψαντος καὶ τὸν τὸ ῥητὸν ἀποδόντα οἷς ὤφειλεν.

---

1. 2. similiter Suid. v. ἀγωγεύς et Zon. Lex. p. 19. ἐνάγονται C (i. e. codex Cantabr.), ἐν ᾧ ἄγονται cum Zonara Dobraeus, ᾧ ἐπάγονται cum Phrynicho Bekk. p. 22, 20 aut ᾧ ἄγονται cum Suida, Photio, Lex. Bekk. p. 333, 17 Meier. οἱ ἱππεῖς cod., οἱ ἵπποι Dobraeus secundum Suidam et alios grammaticos. Meier haec addit: «significationum, quae hic commemorantur, neutra in usum oratorum Atticorum cadit, sed prior sequioris est aetatis, quae ἀγωγὴν et ἐναγωγὴν de iudiciali actione, ἐνάγειν autem de ea instituenda dicebat; posterior autem comicorum fuerit, ut Strattidis». praeter Strattidem Com. 2 p. 783 afferri poterat Xenoph. de re eq. c. 6, 5. 8, 3. 3. ἀγραφίου] .γραφίου C. ita saepius literae initiales in codice omittuntur, id quod singulis locis indicari inutile ducimus. ἀγραφίου iudicio plerique grammatici debitorem aerarii arcessitum tradunt (v. Boeckh. *Staatshaushaltung der Ath.* I p. 510 ed. alt. et Lex. Vind. p. 3, 3), cum hoc grammatico facit Lex. Bekk. p. 199, 30 sive Etym. M. p. 13, 17: ἐνίοτε δὲ καὶ κατὰ τῶν ἐγγραφόντων τοὺς μὴ ὀφείλοντας, ubi τῶν μὴ ἐγγραφόντων τοὺς ὀφείλοντας scribendum esse vidit Meier. extrema huius loci verba, καὶ τὸν τὸ ῥητὸν ἀποδόντα οἷς ὤφειλεν, medelam vix admittunt: μὴ ἀπαλείψαντος post ὤφειλεν addi iussit Kiesslingius, καὶ κατὰ τοῦ ἐγγράψαντος τὸν τὸ ῥητὸν ἀποδόντα οἷς ὤφειλεν suasit Fixius in Thes. Gr. L., denique Meier violenta temptavit remedia, «ῥητέον δὲ καὶ

ἀντιδόσεως, ὅταν τις προκληθεὶς εἰς λειτουργίαν ἀποφαίνῃ ἕτερον εὐπορώτερον ἑαυτοῦ· προκαλεῖ.... αὐτὸν λειτουργεῖν ἢ δόντα μὲν τὴν οὐσίαν τὴν ἑαυτοῦ, λαβόντα δὲ τὴν ἐκείνου, ἀπηλλάχθαι.

ἀγωνία φόβος πτώσεως ἢ ἥττης, ἐπὶ τοῦ εἰς ἀγῶνα μέλλοντος ἀπιέναι, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἁπλοῦ φόβου· Ξενοφῶν δὲ τὸ ἀγωνία ἐπὶ τοῦ ἀγῶνος, ὡς ἐν τῷ ἀγῶνι ὁ φόβος.

ἀγωνοθέτης ὁ ἐν τοῖς σκηνικοῖς· ἀθλοθέτης ὁ ἐν τοῖς γυμνικοῖς.

ἄγαυρος καὶ ἀγαυρὸς ὁ κομψός· τινὲς δὲ ὁ κακός.

ἀγήνωρ ὁ ἀνδρεῖος καὶ ὁ ἄγαν ὑβριστικός. [ὑπὸ Ἰώνων δὲ ὁ ἄπορος, ὑπὸ Ἀττικῶν ὁ τρυφερός.]

ἀγύρτης ὁ ἀλαζών, καὶ εἶδος βόλου.

κατὰ τοῦ τὸν μὴ ἀποδόντα ἃ ὤφειλεν ἐξαλείψαντος» aut «καὶ κατὰ τοῦ τὸν μὴ ἀποδόντα ἃ ὤφειλεν ἐξαλείψαντος. εἰς τὸ ῥητορικόν.»

1—3. cf. Boeckh. *Staatshaush.* I p. 749 sq. 1. τις] τὶς C. λειτουργίαν] extrema syllaba in C parum perspicua est. 2. προκαλεῖ.... αὐτὸν] ὃν δὲ προκαλεῖται, δεῖ ἢ αὐτὸν Meier. λειτουργεῖν] .ειτουργεῖν C. 3. ἀπηλλάχθαι Scholefieldius, α...λάχθαι C. 4—6. Zon. Lex. p. 25. initium (ἀγωνία — φόβου) recurrit in Etym. M. p. 15, 42, ubi accedit οὕτως Ὠρίων. 5. ἀπιέναι] κατιέναι recte Etym. M. ἐπὶ ἁπλοῦ] ἐπὶ τοῦ ἁπλοῦ Zon., ἐπὶ τοῦ ἁπλῶς recte Etym. M. Ξενοφῶν] Xenoph. Cyri inst. II, 3, 15: οἱ ἄνδρες εἰλημμένοι εἰσὶν ἐν δημοτικῇ ἀγωνίᾳ. 5. 6. Meiero scribendum videbatur «Ξενοφῶν δὲ τὸ ἀγωνίαν ἐπὶ τοῦ ἀγῶνος. ἀγώνιος ὁ ἐν τῷ ἀγῶνι, καὶ ἀγωνία ὁ φόβος». 7. 8. Zon. Lex. p. 19. similiter Ammon. Valck. p. 4. Lex. Bekk. p. 333, 28. Phot. Suid. v. ἀγωνοθέτης. aliquantum discrepat Hesychius. 9. eadem fere Suidas v. ἄγαυρος, qui verba καὶ ἀγαυρός omittit, et Zon. p. 14. ἀγαυρός] ἀγαυός Meier, qui cum verbis τινὲς δὲ ὁ κακός coniungenda vidit quae sequenti glossae annexa sunt, ὑπὸ Ἰώνων ὁ ἄπορος, ὑπὸ Ἀττικῶν δὲ ὁ τρυφερός. haec enim ad ἄγαυρος sive ἀγαυρός spectare docent Etym. M. p. 6, 34. Zon. p. 14. Suid. v. ἄγαυρος. 10. ἀγήνωρ ὁ ἄγαν ἀνδρεῖος καὶ ὁ ὑβριστικός Meier. idem verba ὑπὸ Ἰώνων — τρυφερός ab hoc loco aliena ad glossam ἄγαυρος revocavit. 12. cf. Zon. p. 18. ἀγύρτης] .γήρτης C. ὀβολοῦ C, βόλου Dobraeus ex Suida et aliis grammaticis.

ἀβροχίτων ὁ τρυφερὰ φορῶν· ἀβροείμων ὁ λαμπροφόρος.

ἀγὼν σημαίνει πέντε· τὸν τόπον· «καλὸν δ' εὔρυναν ἀγῶνα»· τὸ πλῆθος, ὡς τὸ «λῦτο δὲ ἀγών»· τὸ ἄθροισμα, ὡς τὸ «Ἥρη μὲν μετ' ἀγῶνα θεῶν», καὶ τὸ ἆθλον, καὶ τὸν ναόν, ὡς τὸ «θεῖον δύσονται ἀγῶνα», καὶ ἡ πρὸς τοὺς ἀγῶνας ἄσκησις.

ἀγνώμονες οἱ ἀχάριστοι· παρὰ δὲ Πλάτωνι οἱ ἀμαθεῖς.

ἀγυιὰ ἡ ἄμφοδος, ἡ κοινῶς ῥύμη.

ἄγροικος ὁ ἀμαθής, ἀγροῖκος ὁ ἐν τῷ ἀγρῷ αὐλιζόμενος· Πλάτων δὲ τὸ ἐναντίον τούτου. καὶ ἀγροιώτης ὁ γεωργικὸς λαός.

ἀγχιστεῖς οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τοῦ τελευτήσαντος· οἱ δὲ ἔξω τούτων συγγενεῖς μόνον· οἱ δὲ κατ' ἐπιγαμίαν ζευχθέντες τοῖς οἴκοις οἰκεῖοι λέγονται.

---

1. duas hic coaluisse glossas adnotat Meier, cf. praeter alios Zon. p. 6. 7. 2—5. «coaluerunt hic quoque duae glossae, quarum prior derivata est ex Schol. in Iliad. Σ, 376, posterior ἡ πρὸς τοὺς ἀγῶνας ἄσκησις legitur etiam apud Suid. et Phot. p. 7, 2». Meier. cf. Anecd. Paris. 4 p. 87. 2. καλὸν — ἀγῶνα] Od. θ, 260. 3. λῦτο δὲ ἀγών] Il. Ω, 1. 3. 4. Ἥρη — ἀγῶνα θεῶν] Il. Υ, 33. θεῶν in νεῶν mutandum duce Zon. p. 18 et Lex. Vind. p. 30, 16. 4. τὸ ἆθλον] τὸν ἆθλον H. Stephanus. 4. 5. θεῖον — ἀγῶνα] Il. Η, 298. 6. eadem Lex. Vind. p. 8, 15 sive Zon. p. 18. Πλάτωνι] Plat. Reip. V p. 450 D. 7. cf. Zon. p. 24. Lex. Bekk. p. 332, 13 al. 8. idem vv. ἄγροικος et ἀγροῖκος discrimen statuunt Ammonius Valck. p. 3. Thomas M. p. 40, 4. Etym. Gud. p. 6, 28. alii rem invertunt, velut Zon. p. 23 et Eust. Od. p. 1409, 52. Πλάτων] nomen mihi suspectum. scimus quidem ἀγροίκου nomen utraque potestate a Platone esse usurpatum (v. Ruhnken. in Tim. p. 13 sq.); verum hoc loco, ubi de accentu agitur, grammaticum potius memorari expectes. 9. ἀγροιώτης — λαός] Zon. p. 19 et Suid. 10—13. eadem Zon. et alii grammatici, v. quae attulimus in Aristoph. Byz. p. 129 sq. 10. ἀπὸ] ὑπὸ C. 10. 11. κατὰ πατέρα καὶ μητέρα] κατὰ πρα καὶ πρα C. 12. ἐπιγαμίαν] ἐπιγαμΐ C. 13. «ad Harpocr. v. ἀδοκίμαστος tum m. pr. tum hic scriba addunt, δοκιμασθεὶς, καὶ (m. pr. γὰρ) ἀντὶ τοῦ κριθεὶς καὶ βεβαιωθείς». Dobraeus.

ἀγορὰ ἡ ἐκκλησία καὶ ἡ συνάθροισις, ὡς Νέστωρ ἀγορητής. ἀγορὰς Ὑπερίδης καὶ τὰς συνόδους· οὗτοι πολλάκις ἀγορὰς ποιοῦνται. καὶ ἀγοραία δίκη ἡ δικαιολογία.

ἀγωγὴ ἡ ἀναστροφὴ καὶ ὁ τρόπος καὶ τὸ βάρος ἢ ἡ κομιδὴ καὶ ἡ τῶν ἠθῶν τοῦ τρόπου κατακόσμησις.

ἀλογίου δίκη, ὅταν τινὲς λαβόντες χρήματα εἰς ἀναλώματα δημόσια μὴ ὦσιν τοὺς λόγους ἀνενηνοχότες τοῖς δικασταῖς.

ἀντιγραφή. πρὸς τὸ τοῦ διώκοντος ἔγκλημα ὁ φεύγων ἀντιγράφει, ὡς τὰ τοῦ Δημοσθένους· κατεμαρτύρησε Στέφανος, μαρτυρήσας τὰ ἐν τῷ γράμματι γεγραμμένα· ἵνα ᾖ τῶν ἑκάστου φάσεων τοῖς δικασταῖς μαρτυρία, τοῦ μὲν ἐφ' οἷς ἐγκαλεῖ, τοῦ δὲ ἐφ' οἷς μαρτυρεῖται.

ἀνθυπώμοσα οἷον ἀντεῖπον τῇ ὑπωμοσίᾳ, δημοσίᾳ στρατευόμενον αὐτὸν ἀπεῖναι.

1—3. «coaluerunt hic tres glossae, quarum primam sic habet Suid. ἀγορὰ ἡ ἐκκλησία, ὅθεν ὁ Νέστωρ ἀγορητής [cum Lex. Cantabr. consentit Zon. p. 27], altera ἀγορὰς — ποιοῦνται conspirat fere cum Harpocr. Pal. p. 3, 12. Bekk. Anecd. p. 330, 10. Suid., tertia ἀγοραί — ἡ δικαιολογία reperitur etiam ap. [Zon. p. 27 et] Suid.» Meier.

1. Νέστωρ ἀγορητής] respiciuntur Iliadis loci, quibus Nestor λιγὺς Πυλίων ἀγορητής dicitur, Α, 248. Δ, 293. **2.** Ὑπερίδης] ὑπερὶ C. ἐν τῷ κατὰ Πολυεύκτου περὶ τοῦ διαγράμματος addit Harpocr.

3. ἀγοραία] quod Bernhardy in Suid. requirit ἀγόραια, id qua sive ratione sive auctoritate nitatur, ignoramus. **4. 5.** Suid. Zon. p. 27. **5.** τῶν ἠθῶν] διὰ τῶν ἠθῶν Suid. **6. 7.** discrepant quae alii grammatici de ἀλογίου iudicio tradunt. **7.** τοὺς λόγους — τοῖς δικασταῖς] τοὺς λογισμοὺς — τοῖς λογισταῖς coniecit Meier. **9.** δημοσίου C, Δημοσθένους Dobraeus. vide Demosth. 45, 46. **10.** γράμματι] γραμματείῳ recte Dem. ἑκάστου] ἑκατέρου recte Meier. φάσεων] φασέων C, si Dobraeo fides. φράσεων ci. Meier. **11.** μαρτυρία] μαρτύρια scripserim. **12.** μαρτυρεῖται] «malim μεμαρτύρηται; verius fortasse fuisset ἀπολογεῖται». Meier. ego ipsum ἀπολογεῖται restituendum suspicor. Dobraeus haec adnotat: «sequitur in MS. articulus ἀντομοσία (sic, non τω): τινὰ γράμματα — ἀπολογήσεσθαι, plane ut Harpocr. editus, et ipse MS. suo loco». **13. 14.** hunc ar-

ἀντιλαχεῖν καὶ ἀντίληξις. ἀντιλαχεῖν μέν ἐστι τὸ εἰς ἀκέραιον πάλιν καθιστάναι τὰς δίκας· ἀντελάγχανον δὲ τοῖς διαιτητα ς καὶ οἱ ἐρήμην ἐπὶ διαιτητῶν ἁλόντες ὡς τὴν μὴ οὖσαν δίκην καταδικασθέντες.

ἀπωμοσία. δύο σημαίνει τροπὰς ἡ λέξις· μίαν μὲν ὅταν γράψηται νόμον παρανόμων ἢ καὶ αὐτὸς εἰσηγήσηται, ἔπειτα καταγνοὺς αὐτοῦ ἐξομόσηται παραλελογίσθαι· ἀπωμοσία δὲ λέγεται, ὅτι ὀμνύοντες ἀφίενται μήτε ἀργυρίῳ πεισθῆναι μήτε καταχαρίσασθαι τὴν σιγήν. μνημονεύει τοῦ τρόπου τούτου καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου. κατὰ μίμησιν δέ ἐστι τὸ ὑπερτίθεσθαι δίκην προ-

---

ticulum post ea quae de ἀπωμοσίᾳ mox traduntur collocat Dobraeus. respicitur Demosth. 48, 25: ὑπωμοσάμεθα ἡμεῖς τουτονὶ Ὀλυμπιόδωρον δημοσίᾳ ἀπεῖναι στρατευόμενον. cf. Harpocr. p. 21, 14. Lex. Bekk. p. 404, 17. Suid. **13.** ἀνθυπώμοσα Dobraeus, ἀνθύπωμοσία C.

2. καθιστάναι Meier, καθεστάναι C. διαιτηταῖς] διώκουσι vel καταδιαιτησαμένοις vel ἑλοῦσι suasit Dobraeus. Meiero haec placuit medicina ut scriberetur ἀντελάγχανον δὲ οἱ ἐν τοῖς δικασταῖς ἐρήμην καταδικασθέντες, ὡς οἱ ἐρήμην ἐπὶ διαιτητῶν ἁλόντες τὴν μὴ οὖσαν δίκην. mihi τοῖς διώκουσι pro τοῖς διαιτηταῖς et καὶ οἱ pro ὡς scribendum videtur. cf. Lex. Bekk. p. 199, 12 et Hesych. **5 — p. 334, 5.** «quae hic de ἀπωμοσίᾳ traduntur, sunt ὑπωμοσίας potius». Meier.

5 — 8. haec emendanda sunt ex allato ab editoribus Lex. Bekk. p. 313, 8: ὑπωμοσία· ὁπόταν τις νόμον ὑπ' ἄλλου εἰσηγηθέντα γράψηται παρανόμων ἢ αὐτὸς εἰσηγησάμενος (αὐτὸς ὁ εἰσηγ. ed.) καταγνοὺς αὐτοῦ ἐξομόσηται παραλελογίσθαι. ὑπωμοσία δὲ ἐκλήθη, ὅτι ὀμνύντες οἱ εἰσηγησάμενοι, μήτε ἐπ' ἀργυρίῳ τὸν νόμον θέσθαι μήτε κατὰ χάριν, ἀπελύοντο. **5.** ὅταν] τις e Lex. Bekk. addi iussit Meier. **6.** νόμον] νόμων C. ἢ ἐπειδὰν αὐτὸς εἰσηγήσηται Meier, ego εἰσηγήσηται in εἰσηγησάμενος mutarim. **7.** αὐτοῦ] αὐτοὺς C, αὐτοῦ Meier. ἐξομόσηται] ἐξωμόσηται C. **8.** ὀμνύοντες] οἱ τοιοῦτοι vel οἱ εἰσηγησάμενοι addi iussit Meier. **9.** Δημοσθένης ἐν τῷ περὶ στεφάνου] Dem. 18, 103. **10.** κατὰ μίμησιν in ὑπόμνυσθαι aut κατὰ Μειδίου mutari volebat Dobraeus. Meier proposuit κατὰ μίμησιν δὲ ἐκείνης ὑπωμοσία ἑτέρα ἐστὶ τὸ ὑπερτίθεσθαι κτέ. de verbis quae sequuntur idem attulit Harpocr. p. 180, 3.

φάσει χρώμενον ἢ ἀποδημίαν ἢ νόσον ἢ ἄλλο τι τῶν παραπλησίων μεθ' ὅρκου, καὶ τὸ ποιεῖν τοῦτο ὑπόμνυσθαι λέγουσιν. ἑτέρως οὖν λέγεται πάλιν, ὡς ἔφημεν, ἀπωμοσία, ὅταν ὁ κρινόμενος σκήπτηται τὸ μὴ εὐκαιρεῖν πρὸς τὴν δίκην, ἀνθυπόμνυται δὲ ὁ ἀντίδικος, καὶ περὶ αὐτοῦ προδικάζονται.

ἀπρόσκλητος ἡ μὴ τυχοῦσα τῶν καλουμένων κλητήρων κατὰ νόμον.

ἀποστασίου δίκη κατὰ τῶν ἀφισταμένων ἀπελευθέρων τοῦ ἀπελευθερώσαντος.

ἀργίας δίκη. Λυσίας ἐν τῷ κατὰ Ἀρίστωνος φησὶν ὅτι Δράκων ἦν ὁ θεὶς τὸν νόμον, αὖθις δὲ καὶ Σόλων ἐχρήσατο, θάνατον οὐχ ὁρίσας ὥσπερ ἐκεῖνος, ἀλλ' ἀτιμίαν, ἐάν τις ἁλῷ τρίς, ἐὰν δ' ἅπαξ, ζημιοῦσθαι δραχμὰς ἑκατόν.

ἀτίμητος δίκη ἡ τοσούτου οὖσα ὅσου ἐπιγέγραπται, ἣν οὐχ οἷόν τε ὑποτιμήσασθαι ἐλάττονος.

ἄτοπον Πλάτων τὸ μέγα καὶ θαυμαστόν.

βιαίων δίκη. εἴ τις βίᾳ ἐπεισελθὼν τι ἔλαβεν ἀλλότριον ἢ

1. ἢ ἀποδημίας ἢ νόσου ἢ ἄλλου τινὸς τῶν παραπλησίων Meier, ἀποδημίᾳ ἢ νόσῳ ἤ τινι τῶν παραπλησίων Harpocr. accusativi servari poterunt, si προφάσει χρώμενον in προφασιζόμενον mutaris. 3. ὅταν κρινόμενοι C, ὅταν τις κρινόμενος Hesych., ὅταν ὁ κρινόμενος Meier. 4. ἀνθυπόμνυται C, ἀνθυπόμνυται δὲ scripsi, καὶ ἀνθυπομνύηται Meier. 5. περὶ αὐτοῦ] περὶ αὐτοῦ τούτου Hesych., quod probat Meier. προδικάζονται] προδικάζωνται Meier. 6. 7. cf. Lex. Bekk. p. 199, 14 et Hesych., ubi non κλητήρων, sed κλητόρων legitur. 8. ἀπελευθέρων τοῦ Dobraeus, ἀπελευθεροῦσα τοῦ C, ἀπελευθέρων ἀπὸ τοῦ Meier. 10. Λυσίας ἐν τῷ κατὰ Ἀρίστωνος] orationis memoria hoc uno loco nititur. 11. τὸν νόμον] τὸν περὶ ἀργίας νόμον coniecit Meier. ἐχρήσατο] ἐκαινώσατο Meier. οὐχ] οὐχ' C ut v. 14. 12. τίσαι· ἂν δ' ἅπαξ C, τρίς· ἐὰν δ' ἅπαξ Dobraeus e Polluce VIII, 42. 14. τοσοῦτον C, τοσούτου Dobraeus e Polluce VIII, 63. 16. Πλάτων] «cf. Stallbaum in Platon. Phileb. § 109.» Meier. 17 — p. 335, 4. eadem fere, ut Meier vidit, Schol. Plat. p. 405 ed. Bekk. (p. 930 a 35 ed. Turic.) 17. ἥτις C, εἴ τις Schol. Plat. ἐπεισελθών τι] ἐπεισελθὼν τὶ C.

ἐκ χωρίου ἢ ἐξ οἰκίας, βιαίων ἐκρίνετο· ἐν δὲ ταῖς σχολικαῖς ὑποθέσεσι βίας ἔγκλημά ἐστι κατὰ τῶν κόρην ἁρπασάντων ἢ παῖδα ἐλεύθερον. ἰστέον ὅτι βιαίων γράφουσι τὴν δίκην οἱ παλαιοὶ καὶ οὐδεὶς βίας.

διαδικασία ἐστὶν ἣν τοῖς ἄρχουσι καὶ τοῖς τριηράρχαις ποιοῦνται ὧν δεῖ ἄρχειν ἢ τριηραρχεῖν· τὸ δὲ αὐτό ἐστι καὶ δοκιμασία.

γραφὴ καὶ παραγραφὴ καὶ ἐπιγραφὴ διαφέρουσι τίνι; γραφὴ μέν ἐστιν ἡ εἰς δικαστήριον δημοσίου ἐγκλήματος κλῆσις· παραγραφὴ δὲ ἡ πρὸς τὴν κλῆσιν ἀμφισβήτησις· ἐπιγραφὴ δὲ τὸ ἕτερον τόπον ἐπιγράφειν τῷ κριτηρίῳ ἴδιον ἐν πόλει ἢ ἐν τῷ δικαστηρίῳ ἢ ἐπιχωρίῳ, οἷον Φαληροῖ ἢ ἑτέρωθι. καλεῖται δὲ ἐπὶ μὲν τῶν δημοσίων ἀγώνων τὸ γραφόμενον ὑπὸ τοῦ κατηγόρου ἔγκλημα καὶ τὸ ἀποφερόμενον πρὸς τὴν ἀρχὴν γραφή. τὸ δ' αὐτὸ ἐπὶ τῶν ἰδιωτικῶν ἐγκλημάτων ἔγκλημα· ἐπὶ δὲ τῶν ἀμφισβητήσεων λῆξις.

δεκάζειν καὶ δεκάζεσθαι. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου τὸ

---

1. βιαίως C, βιαίων Schol. Plat. σχολαστικαῖς ed. Dobraeus, σχολικαῖς Meier cum Schol. Plat. idque ipsum C praebere videtur. ἔγκλημά ἐστι] ἔγκλημα ἐστὶ C. **5. 6.** «pessima glossa, quippe quae διαδικασίαν, quae sane nonnumquam ἐπίκρισις erat τοῦ ἐπιτηδείου πρὸς λειτουργίαν (Etym. M. p. 267, 10), id est locum etiam tum habebat, ubi ad χορηγίαν vel τριηραρχίαν qui vocati essent, id oneris in alios potius convenire contendebant, eam igitur confundat cum δοκιμασίᾳ sive cum iudicio quod apud Athenienses omnes pati debebant, quicumque vel suffragiis vel sorte magistratum populi Attici cepissent». Meier. **5.** ἐστὶν] ἐστὶ C. **7.** διαφέρουσι τινί C, διαφέρουσι τίνι Meier. **9.** πρὸς suspectum. **9—11.** «quae hic de ἐπιγραφῇ narrantur, ea vehementer corrupta videntur neque scio quorsum spectent. pro ἐπιχωρίῳ malim ἐπὶ χωρίῳ». Meier. Dobraeus attulit Poll. VIII, 57. 63. **10.** πόλει] πο C. **13.** καὶ τὸ] καὶ Dobraeus. **15.** «ultima vox non prorsus certa: κλῆσις, ut videtur in λῆξις mutavit. Poll. VIII, 29 e MS. lege, δίκης μὲν λῆξις εἴη ἂν ὁ νῦν καλούμενος τύπος, τὸ ἰδιωτικὸν ἀμφισβήτημα». Dobraeus. **16.** Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου] Aeschines 1, 87: τὸν μὲν ὡς ἐδέκαζε, τὸν δὲ ὡς ἐδεκάζετο.

παρακρούεσθαι τοὺς δικαστὰς δεκάζειν ἔλεγε· δεκάζειν δὲ παρόσον κατὰ δέκα συντασσόμενοι ἐμισθάρνουν.

διάγραπτος δίκη ἡ αὐτὴ καὶ διεξυσμένη λέγεται, καθ' ἧς ἴσχυσεν ἡ παραγραφή, οἷον ἤρθη ἡ δίκη· οὐ γὰρ εἰσαγώγιμός ἐστιν, ἠκυρωμένη ὑπὸ τῆς παραγραφῆς.

διαγραφή. καὶ ὅταν ἀπαλλαγῇ τοῦ ἐγκλήματος ὁ φεύγων ἢ κατὰ συγχώρησιν τοῦ διώκοντος ἢ κατὰ διάγνωσιν τυχόντος καὶ μηκέτι περὶ μηδενὸς ἐγκαλῆται, λέγεται διαγραφὴ δίκης. λέγεται διαγραφὴ καὶ τὸ καθυποβάλλεσθαι ζημίαις πολλαῖς.

διαψήφισίς ἐστιν, ὅταν συνελθόντες κατὰ δῆμον οἱ δημόται ψῆφον φέρωσι κατὰ τῶν δοκούντων ἐγγεγράφθαι καὶ μὴ ὄντων Ἀθηναίων· ὃς δ' ἂν ψηφηφορηθῇ, πολίτης ἐστίν· οὗ δ' ἂν καταψηφί-

---

1. παρακρούεσθαι] διαφθείρειν δώροις vel χρήμασι dicendum erat iudice Meiero. δεκάζειν δὲ] ἐλέγετο addi iubet Meier. **3—5.** «iusto arctior ea enarratio, διάγραπτος enim omnis et actio et accusatio dicebatur, quae ab magistratu recepta primum et dein reiecta esset, quacumque ex caussa factum esset, ut reiiceretur; neque enim ea in re παραγραφὴ victrix plus valebat quam reliquae caussae; cf. de lit. Attic. p. 27. ceterum mallem verba οὐ γὰρ εἰσαγώγιμός ἐστιν post ἠκυρωμένη ὑπὸ τῆς παραγραφῆς collocata». Meier. **3.** διεξυσμένη] διεζευγμένη primum legit Dobraeus, qui postea διεξυσμένη in codicis compendio agnovit, cf. Hesych. v. διάγραπτος, ubi ἐξεσμένη in διεξυσμένη mutandum videtur. **6—9.** cf. Suid. v. διαγραφή et Lex. Vind. p. 51, 1. **7.** τυχόντος] in vitiosa lectione consentit Suidas, τοῦ ἄρχοντος requiri intellexit Hemsterhusius in Thom. M. p. 212. **9.** τὸ καθυποβάλλεσθαι ζημίας πολλαῖς] eadem praebet Lex. Vind. p. 51, 2. paulo uberiora sunt nec tamen magis perspicua Suidae verba, καὶ τοῦτο ἐπὶ Ἰουστινιανοῦ ἐγένετο ζημίαις πολλαῖς καθυποβάλλεσθαι τὴν πόλιν, ubi Procopii orationem agnoscere sibi visus est Bernhardy. **10.** διαψήφισίς ἐστιν] διαψήφησις ἐστιν C. κατὰ δῆμον] κατὰ δήμους Meier. δημόται] δημῶται C. **11.** φέρουσι C, φέρωσι Meier. ἐγγεγράφθαι καὶ μὴ ὄντων] καὶ particulam delevit Meier, ego παρεγγεγράφθαι καὶ μὴ ὄντων malim. **12.** πολίτης] ἤδη ἀναμφισβητήτως πολίτης Meier praeter necessitatem. ἐστίν] ἐστί C.

σωνται, τούτῳ ἔξεστι τὴν διαψήφισιν αἰτιασαμένῳ ἀναπεμφθῆναι εἰς τὸ κοινόν.

διαμαρτυρία ἐστὶν ἣν τῶν κλήρων ἀντιποιούμενοι γράφονται, ἐν ᾗ τὸ ἔγκλημά ἐστι καὶ ἡ αἰτία δι᾽ ἧς ἕκαστος ἴδιον εἶναι τὸν κλῆρον ἀξιοῖ· καὶ ὅτι τὸ ὄνομα ὁποῖον ἕτοιμον· ἃ γὰρ ἂν ἄλλου ἀμφισβητοῦντος εἴποι μαρτυρῶν, ταῦτα ὑπὲρ αὐτοῦ ἐν τῇ γραφῇ τοῦ ἐγκλήματος διαμαρτύρεται.

δίκη τὸ ἐκτῖσαι τιμωρίας λέγεται καὶ ἣν ὑπὲρ τῶν ἰδίων συμβολαίων λαγχάνουσιν, ἧς τὸ ἐπιτίμιον ὥρισται· ὑπὲρ δὲ τῶν κοινῶν καὶ ἐπίπαν γράφοντος ταύτην καὶ ἁλόντος διωκομένου τιμᾷ τὸ δικαστήριον ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι.

διωμοσία. ἔθος ἦν τοῖς ἐγκαλοῦσιν ὀμνύναι ὅτι περὶ γεγονότων τὴν κατηγορίαν ποιήσονται, καὶ τοῖς ἐγκαλουμένοις ὡς οὐκ ὄντες ἔνοχοι διώκονται· μάλιστα δὲ ἐγίγνετο ἐπὶ τῶν ἑκουσίων φόνων.

εἰσαγγελία κατὰ καινῶν καὶ ἀγράφων ἀδικημάτων· αὕτη μὲν οὖν ἡ Καικιλίου δόξα. Θεόφραστος δὲ ἐν τῷ τετάρτῳ περὶ νό-

---

1. διαψήφισιν] διαψήφησιν C. 2. τὸ κοινόν] τὸ δικαστήριον Meier. 3. ἣν] ἦν C. ἀντιποιούμενοι] οἱ ἀντιποιούμενοι Meier. 4. ἔγκλημά ἐστι] ἔγκλημα ἐστὶ C. δι᾽ ἧς] δι᾽ ἣν scripserim. 5. ὅτι — ἕτοιμον] verba corrupta, nec probabile arbitror quod Meier suspicatur, μαρτυρία post ὁποῖον excidisse. 6. αὐτοῦ C, αὑτοῦ scripsi. 7. διαμαρτύρηται C, διαμαρτύρεται Meier, qui rectius διαμαρτυρεῖ grammaticum dicturum fuisse existimat. 8. δίκη] δίκην δοῦναι Meier. ἐκτῖσαι] ἐκτίσαι C. καὶ ἣν] καὶ δίκη ἐστὶν ἣν Meier. 9. λαγχάνουσιν, ἧς] λαγχάνουσι· ἧς C, λαγχάνουσι, καὶ ἧς Meier. 10. καὶ ἐπίπαν γράφοντος ταύτην] verba desperata; καὶ ἐπὶ (vel περὶ) παντὸς γραφέντος ταύτην proposuit Dobraeus, καὶ ἐπίγραμμα ἐπιγράφειν ἔστι τοῦ γράφοντος αὐτήν Meier, qui ista verba videtur post ὥρισται voluisse collocare. καὶ ἁλόντος διωκομένου] ἁλόντος τοῦ διωκομένου Meier. 11. ὅ τι] ὅτι ed. Dobr. ἢ καὶ C, ἢ Meier. ἀποτῖσαι] ἀποτίσαι C. 12. ὀμνύναι] ὠμνῦναι C. 14. ἐγίγνετο] ἐγίγνετο τοῦτο Meier. φόνων addidit Meier. 15. κοινῶν C, καινῶν Dobraeus. 16. Κικίνου C, Καικιλίου Dobraeus. Θεόφραστος δὲ ἐν τῷ τετάρτῳ περὶ νόμων] cf. Poll. VIII, 52. 53. ubi pro ἐν

μων φησὶ γενέσθαι, ἐάν τις καταλύῃ τὸν δῆμον ῥήτωρ ἢ μὴ τὰ ἄριστα συμβουλεύσῃ χρήματα λαμβάνων, ἢ ἐάν τις προδιδῷ χωρίον ἢ ναῦς ἢ πεζὴν στρατιάν, ἢ ἐάν τις εἰς τοὺς πολεμίους ἀφικνῆται ἢ νικοίη παρ᾽ αὐτοῖς ἢ στρατεύηται μετ᾽ αὐτῶν ἢ δῶρα λαμβάνῃ. συνομολογεῖ δὲ τοῖς ὑπὸ Θεοφράστου ἡ κατὰ Θεμιστοκλέους εἰσαγγελία, ἣν εἰσήγγειλεν, ὡς Κρατερός, Λεωβώτης Ἀλκμαίωνος Ἀγραυλῆθεν. ἔνιοι δὲ τῶν ῥητόρων εἰώθεσαν καλεῖν καὶ τὰ μὴ μεγάλα ἀδικήματα εἰσαγγελίαν. ἔστι δ᾽ ὅτε ἐμβάλλοντες τοὺς συκοφαντουμένους εἰσήγγελλον, ὡς μὲν Φιλόχορος, χιλίων καθεζομένων, ὡς δὲ

τῷ περὶ νόμων cum Meiero ἐν τῷ τετάρτῳ περὶ νόμων scribendum erit. cum iis quae e Theophrasto afferuntur componas cuius Sauppius admonuit Hyperideae pro Euxenippo orationis locum p. 5 ed. Schneidew.

1. φησὶ] φασὶ C. γενέσθαι] γενέσθαι αὐτήν Meier. **2.** συμβουλεύσῃ] συμβουλεύῃ τῷ δήμῳ Meier. προδιδοὺς C, προδιδῷ Meier. **2. 3.** χωρίον] φρούριον cum Polluce Meier. **3. 4.** πολέμους ἀφικνεῖται C, πολεμίους ἀφικνῆται Meier, qui ἄνευ τοῦ πεμφθῆναι παρὰ τοῦ δήμου addi iubet, sicut verba ἄνευ τοῦ πεμφθῆναι adduntur a Polluce. **4.** νικοίη] οἰκοίη (debebat οἰκῇ) Dobraeus, μισθοφορῇ Meier, μετοικῇ Car. Lugebil. **4. 5.** δῶρα λαμβάνῃ] ἐπὶ βλάβῃ τοῦ δήμου addit Meier coll. Demosth. 21, 113. **5. 6.** εἴτε Θεμιστοκλέα εἰσαγγε ἢ εἰσήγγειλε Κρατερὸς C, ἡ κατὰ Θεμιστοκλέους εἰσαγγελία, ἣν εἰσήγγειλεν, ὡς Κρατερός Dobraeus, qui postea maluit εἴγε (vel εἴπερ) Θεμιστοκλέα εἰσήγγειλεν, ὡς Κρ. deleta v. l., cuius signum putavit ἤ. Meier proposuit ὅτι Θεμιστοκλέα εἰσήγγειλε κατὰ Κρατερὸν Λ. **6.** Λεωβώτης] Λεσβώτης C, Λεωβότης Dobraeus e Plut. Them. 23. **8. 9.** ἐμβάλλοντες τοὺς συκοφαντουμένους] τοὺς ἐμβάλλοντας συκοφαντίαις Meier. **9.** εἰσήγγελλον] εἰσήγγειλον C. Φιλόχανος C, Φιλόχορος Dobraeus. ante verba ὡς μὲν Φιλόχορος quaedam desiderari vidit Meier, qui ἔκρινον δὲ τὰς εἰσαγγελίας suppleri volebat. «Philochorus quod mille iudices de εἰσαγγελίαις iudicasse scripsit, ad veterem Solonis legem, Demetrius quod mille quingentos iudices in illis accusationibus sedisse tradidit, ad morem postea, nescio quando, introductum respexisse putandus est». Meier. idem quod Pollux VIII, 53 et 102 habet κατὰ τὸν Φαληρέα non de legibus, sed de libris Demetrii Phalerei περὶ τῆς Ἀθήνησι νομοθεσίας intellegendum esse probabiliter iudicat.

Δημήτριος ὁ Φαληρεύς, χιλίων πεντακοσίων. Καικίλιος δὲ οὕτως ὡρίσατο· εἰσαγγελία ἐστὶν ὃ περὶ καινῶν ἀδικημάτων δεδώκασιν ἀπενεγκεῖν οἱ νόμοι. ἔστι δὲ τὸ μελετώμενον ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς.

εἰς δατητῶν αἵρεσιν πρόκλησις νεμήσεως ἢ κληρονομίας ἢ κοινοῦ τινὸς ἀγορασμοῦ· ἐπὶ τῶν διανεμόντων τὰ κοινά τισιν, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ· δίκαι λαγχάνονται πρὸς τὸν ἄρχοντα ἄλλαι τε καὶ ἡ εἰς δατητῶν αἵρεσιν, ὅταν μὴ θέλῃ κοινὰ τὰ ὄντα νέμεσθαι.

ἔκκλητον καὶ τὸ συνηθροισμένον, ὡς Εὐριπίδης· ἐλθὼν γὰρ εἰς τὸν ἔκκλητον λαόν, οἱονεὶ τὸν ἐκκλησιάζοντα.

ἔνδειξις φάσεως διαφέρει, ὅτι τὴν μὲν ἔνδειξιν δύναται ἀντιλέγεσθαι, οἷον ἐνέδειξεν Ἀριστογείτονα Δημοσθένης ὅτι λέγει ὁ φάσκων οὐκ ὀφείλει· φάσις δέ ἐστιν ὅταν φαίνῃ τῶν δημοσίων ἔχοντά τινα

---

1. Κακεῖ C, Καικίλιος Dobraeus. 3. ἔστι δὲ] ἔστι δὲ τοῦτο Meier. σοφῶν C, σοφιστῶν Dobraeus e Lex. Bekk. p. 244, 22. ubi in fine verba τὸ τῶν ἀγράφων ἀδικημάτων accedunt. 5. .ἰς δατητόν C, εἰς δατητῶν αἵρεσιν Meier. νεμήσεως] νεμέσεως C. 6. ἐπὶ τῶν] δατηταὶ γὰρ ἐπὶ τῶν Meier. κοινά τισιν] κοινὰ τισίν C.

7. Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ] Aristot. pseudepigr. fr. 376 p. 431 ed. V. Ros. 8. ἀλλ' εἴ τις καὶ εἰς C, ἄλλαι τε (vel ἄλλαι τινὲς) καὶ εἰς Dobraeus, ἄλλαι τινὲς καὶ ἡ εἰς Meier. δατητῶν] δατήτων C. 8. 9. ὅταν — ὄντα] ὅταν ὁ μὲν θέλῃ ὁ δὲ μὴ θέλῃ τὰ κοινὰ ὄντα Meier. 9. ad Harpocr. v. ἐκκλητεύειν in margine codicis C haec leguntur: γρ. ἐκκλητευθῆναι, τὸ εἰς κρίσεις ἀχθῆναι πρὸς τὸ ἐπάναγκες μαρτυρῆσαι. 10. Εὐριπίδης] Eur. Or. 612: μολὼν γὰρ εἰς ἔκκλητον Ἀργείων ὄχλον, ubi pro ὄχλον alii libri χορόν praebent, rectius fortasse λεών scripseris. 12. 13. ὅτι τὴν μὲν ἔνδειξιν δύναται ἀντιλέγεσθαι] ὅτι πρὸς τὴν ἔνδειξιν οὐ δύναται ἀντιλέγεσθαι proposuit Dobraeus, ὅτι τὴν μὲν ἔνδειξιν διώκεται ὁ πράξεων ἢ τόπων ἀπηγορευμένων ἀντιποιούμενος Meier. 13. ἐνέδειξεν] ἀνέδειξεν C. 13. 14. ὅτι λέγει ὁ φάσκων οὐκ ὀφείλει] ὅτι λέγει ὀφείλων τῷ δημοσίῳ, φάσκων οὐκ ὀφείλειν Dobraeus, ὅτι λέγει ᾧ φάσκει οὐ προσήκειν, ὅτι τῷ δημοσίῳ ὀφείλει Meier. 14. ἔχοντά τινα] ἔχοντα τινὰ C.

μὴ πριάμενον· λέγεται δὲ καὶ ἐπὶ τῶν ὀρφανικῶν· ὁπότε γὰρ μὴ ἐμίσθουν οἱ ἐπίτροποι τὸν οἶκον τῶν ἐπιτροπευομένων, ἔφαινεν αὐτὸν ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα, ἵνα ἐκμισθωθῇ· ἔφαινε δὲ καὶ εἰ ἐλάττονος ἢ κατὰ τὴν ἀξίαν ἐμεμίσθωτο.

ἔννη καὶ νέα παρ' Ἀθηναίοις ἡ τριακάς· φασὶ δὲ οὕτω Σόλωνα αὐτὴν ὀνομάσαι, παρόσον αὐτῆς τὸ μὲν ἥμισυ τοῦ παρεληλυθότος μηνός ἐστι, τὸ δὲ ἥμισυ τοῦ εἰσελθέντος· οὗτος δέ ἐστιν ὁ χρόνος ὅνπερ καταλαμβάνει τὸν ἥλιον ἡ σελήνη, ὁ καλούμενος μήν· ἔστι γοῦν ἡμερῶν κθδ″/· ὥστε εὐλόγως τὴν τριακάδα κοινὴν γενέσθαι τῶν δύο μηνῶν· τὸ γὰρ ἕνον δασυνόμενον τὸ παρεληλυθὸς σημαίνει· τὴν δὲ ἑξῆς καλοῦσι νουμηνίαν ὡς πρῶτον ὁλόκληρον τουτέστι νεόμηνον· καὶ κατὰ τὸ ἑξῆς δὲ δευτέραν ἡμῖν ἀκολούθως λέγουσι προστιθέντες τὸ ἱσταμένου· τὸ δὲ ἑξῆς τρίτην ἱσταμένου καὶ τετάρτην καὶ ἀναλόγως μέχρι τῆς δεκάτης· ἐκεῖθεν δὲ πρώτην ἐπὶ δέκα, δευτέραν ἐπὶ δέκα, τρίτην ἐπὶ δέκα ἕως τῆς δεκάτης, ἣν ἐνίοτε μὲν ὁμοίως τοῖς ἄλλοις εἰκάδα καλοῦσιν, ἐνίοτε δὲ δεκάτην δευτέραν·

---

1. πριάμενον] πριώμενον C. ὀρφανικῶν] οἴκων addit Meier. 2. αὐτὸν] αὐ^τ C. 4. τὴν τάξιν C, τὴν ἀξίαν Dobraeus. 5. ἔννη] rectius ἕνη scripseris. οὕτω] οὐ C, οὕτως Dobraeus. 6. αὐτοῖς C, αὐτῆς Dobraeus. 7. μηνός ἐστι] μηνὸς ἐστὶ C. 9. κθ[illegible] C. «ista valent 29¼. nota postrema eadem atque prima earum quas exhibet Montefalconius Palaeog. p. 361, 10». Dobraeus. 9. γενέσθαι] λέγεσθαι malim. 10. ἓν C, ἕνον Dobraeus. 11. 12. ὡς πρῶτον — νεόμηνον] «an legendum ἢ πρώτην· vel, οὗπερ τὸ ὁλ. ἐστὶ νεομηνίαν. conf. Harpocr. v. ἀγυιᾶς». Dobraeus. nec probare ausim has coniecturas neque habeo quo modo vitium loci tollam. 12. δὲ δύο ἡμῖν C, δὲ δευτέραν ἡμῖν Dobraeus, τὴν δευτέραν Meier. 13. τρίτη C, τρίτην Meier. 14. τετάρτη C, τετάρτην Meier. τῆς δεκάδος C, τῆς δεκάτης scripsi. 14. 15. πρώτην ἐπὶ δεκάδα C, πρώτην ἐπὶ δέκα Dobraeus. 15. verba δευτέραν ἐπὶ δέκα om. C, addidit Meier, nisi quod ἐπὶ δεκάδα scripsit. τρίτην ἐπὶ δεκάδα C. verba ἕως τῆς δεκάτης om. C, supplevit Meier. incertum tamen utrum ἕως an μέχρι grammaticus scripserit. 16. δεκάτην δευτέραν] «vicesimum mensis cuiusvis diem hic, ni fallor, unus est,

τὴν δὲ ἀπὸ ταύτης ἀνάπαλιν καὶ ἀνεστραμμένως ἐνάτην φθίνοντος καὶ ὀγδόην καὶ τὰ ἑξῆς, ἐπὶ τῶν ἐλάττονι προστιθέντες τὸ φθίνοντος ἕως τῆς πρώτης, ἥτις ἐστὶν ἐνάτη καὶ εἰκάς, ἥν τινες πρώτην καλοῦσι· τὴν δὲ ἐπὶ πᾶσι τριακάδα ἕννην καὶ νέαν καλοῦσι. τὰς δὲ μετὰ τὴν εἰκάδα πάσας ἀποφράδας καλοῦσιν, παρόσον ἀποπέφρακται τὸ σελήνης φῶς ἐν αὐταῖς.

ἐπαγγέλλειν καὶ τὸ κατηγορεῖν τῶν αἰτίαν ἐχόντων ἐπὶ τῷ μὴ βεβιωκέναι ὀρθῶς· δηλοῖ δὲ Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου λέγων «ἐπήγγειλα αὐτῶν τὴν δοκιμασίαν».

ἐπιτολὴ ἐπὶ ἄστρων, ἀνατολὴ ἐπὶ ἡλίου.

ἐμφανῶν καταστάντων. ὁπότε ἔδει κλῆρον ἀμφισβητήσιμον εἰς τὸ ἐμφανὲς καταστῆσαι ἢ φώριόν τι τοῖς δικασταῖς, οὕτως ἐκαλεῖτο ἡ δίκη· ἡ δὲ αὐτὴ καὶ ἐφήγησις λέγεται.

---

qui praeter εἰκάδα etiam δεκάτην δευτέραν dici tradat, nam XXI diem ab Atticis ὑστέραν δεκάτην dici tum Phot. p. 664, 9 et Lex. rhet. p. 181, 3 narrant, tum confirmat inscriptio edita ab Curtio de portub. Athen. p. 48». Meier.

1. ἀνεστραμμένως] sic Dobraeus ed., qui literas ρα incertas et ex αλ factas esse, pro μένως autem μέμ (νς) in C legi dicit. ἐνάτην] ἐννάτη C. 2. ὀγδόην] ὀγδόη C. ἐπὶ τῶν ἐλάττονι] sic C, ἐπὶ τῶν ἐλαττόνων Meier. videtur alia medela requiri. 3. ἐνάτη] ἐννάτη C. εἰκάς] εἰκοστή cum Dobraeo malim. 3. 4. ἥν τινες πρώτην καλοῦσι] ἥντινα πρώτην καλοῦσι Dobraeus. Meiero ἥν τινες πρώτην καὶ εἰκάδα καλοῦσι scribendum videbatur, quae verba post ἐνάτην φθίνοντος reponi volebat. 4. πᾶσι] πάσαις coniecit Meier. ἕννην] ἕνην malim. 5. μετ' αὐτὴν εἰκάδα C, μετ' αὐτὴν τὴν εἰκάδα Meier, μετὰ τὴν εἰκάδα Dobraeus. similium errorum exempla habes in *Eurip. Studien* II p. 28. 6. ἀπέφρακται C, ἀποπέφρακται Meier. 7. καὶ delendum iudicat Meier. 8. δη' C, δηλοῖ Dobraeus. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου] Aeschines 1, 2. 9. αὐτῶν] αὐτῷ Aesch. 10. cf. Lobeck. in Phryn. p. 124 sq. 11. ἐμφανῶν καταστάντων] expectes, quod Meier suasit, εἰς ἐμφανῶν κατάστασιν. ἔδει κλῆρον] ἔδει ἢ κλῆρον Meier. 12. φόριόν τι C, φώριόν τι Dobraeus. 13. ἀφήγησις C, ἐφήγησις Barker, ὑφήγησις Meier. vide quae attulit L. Dindorfius in Thes. Gr. L. vol. 3 p. 2560 B.

ἐπιβολή. ἔξεστι τοῖς ἄρχουσιν ἀργυρίῳ ζημιοῦν τοὺς ἁμαρτάνοντας, τὴν δὲ ζημίαν ταύτην ἐπιβολὴν καλοῦσι, καὶ ἥ τε βουλὴ καὶ ὁ δῆμος, ὅταν ἴδῃ τινὰ θρασυνόμενον, κέκραγεν «ἐπίβαλε».

ἐπιδήμιος ἄρχων ὁ δήμου τινὸς τῶν ἐν τῇ Ἀττικῇ ἄρχων.

ἐπίσκημμα καὶ ἐπίσκηψις, ὅταν τις ἐπιλάβηται γραμμάτων ἢ μαρτυριῶν, ἐπιλάβηται δὲ μέχρις οὗ ταῦτα διακρίνας.

ἐπιτίμιον τὴν κατὰ τῶν σιωπησάντων γραφήν. Λυσίας ἐν τῷ κατὰ Ἀντιγένους ἀμβλώσεως· σκέψασθε δὲ καὶ ὡς Ἀντιγένης πεποίηκεν οὗτος· γραψάμενος τὴν μητέρα ἡμῶν ἀξιοῖ λαβεῖν τὴν ἀδελφήν, καὶ ἀγωνίσασθαι μὲν ἵνα μὴ ἀποτίσῃ τὰς χιλίας δραχμάς, ἃς δεῖ ἀποτίνειν ἐάν τις μὴ ἐπεξέλθῃ γραψάμενος. τὸ δ' αὐτὸ φησὶ καὶ Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνους.

---

2. 3. miror Meieri iudicium, qui verba καὶ ἥ τε βουλὴ — ἐπίβαλε non lexicographi sed oratoris nescio cuius esse putarit. 4. ἐπιδήμος C, ἐπιδήμιος Dobraeus. «ἐπιδήμιον quis Atticorum scriptorum ea potestate dixerit, nescimus». Meier. errorem grammatici, qui κατὰ δῆμον dicere debuerit, statuit Dobraeus. 5. ἐπίσκημμα vocabulum Meiero suspectum, qui ἐπισκήψασθαι malit rescribi. 5. 6. γραμμάτων] »γράμματα tabulae dicuntur, quibus inscripta erant testimonia». Meier. 6. ἐπιλάβηται δὲ] ἐπιλαβέσθαι δὲ ἐξῆν Meier. διακρίνας] sic C, in quo διακρίνηται primum legere sibi visus est editor. διακρίνωσι proposuit Dobraeus, διακρίναι Meier. 7. τὴν deleri iussit Meier, in τί ἦν mutari Dobraeus, quo duce ἐπιτίμιόν τι ἦν scripsit Sauppius Orat. Att. ed. Turic. II p. 175. κατὰ τῶν σιωπησάντων] κατασιωπησάντων coniecit Dobraeus. «σιωπᾶν γραφήν dixit quod forensis usus apud Athenienses μὴ ἐπεξέρχεσθαι appellaverit; similiter p. 665, 7 [p. 333, 8 huius edit.] καταχαρίσασθαι τὴν σιγήν dixit». Meier. probabilior est Sauppii suspicio κατὰ τῶν ὀλιγωρησάντων γραφήν ducta e Lex. Bekk. p. 193, 24. 8. ὡς] ἃ Meier. 8. 9. πεποίηκεν· οὗτος γραψάμενος ed. Dobr., πεποίηκεν· οὗτος γὰρ γραψάμενος Meier. interpunctionem mutavit Sauppius, Scheibius praeterea οὑτοσί pro οὗτος substituit. 11. ἀποτίνειν] ἀποτείνειν C. 12. Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνους] Demosth. 58, 6. ceterum κατὰ Θεοκρίνην C, κατὰ Θεοκρίνους Meier.

ἐπιϑαυμάζειν δώροις δεξιοῦσϑαι. Ἀριστοφάνης· ἐπιϑαυμάζειν τὸν διδάσκαλον.

ἐπίταγμα δύο τέλη ἱππέων, ἀνδρῶν ͵ϑϘϜ.

ἐπιγραφέας ἤτοι τοὺς καϑεστηκότας ἐπὶ τῷ γράφειν ἑκάστῳ ὅσον εἰσφέρειν ὀφείλουσιν εἰς τὸ δημόσιον.

ἐπιγραφομένῳ τῷ βεβαιοῦντι καὶ τῷ οἰκειοποιουμένῳ.

ἐπώνυμος ἄρχων, ἀφ' οὗ ἡ πόλις χρηματίζει· ἔχει δὲ ἐπιμέλειαν χορηγοὺς καταστῆσαι εἰς Διονύσια καὶ Θαργήλια. ἐπιμελεῖται δὲ καὶ τῶν εἰς Δῆλον καὶ τῶν ἀλλαχόσε πεμπομένων Ἀϑήνηϑεν χορῶν· λαγχάνονται δὲ πρὸς αὐτὸν καὶ γραφαί, καὶ δίκας εἰς τὸ δικαστήριον εἰσάγει.

